Synesius calvit. encom. c. 22 p. 234 Krab. (1850): εἰ δὲ καὶ ἡ παροιμία σοφόν· πῶς δ' οὐχὶ σοφὸν περὶ ὧν Ἀριστοτέλης φησὶν ὅτι παλαιᾶς εἰσὶ φιλοσοφίας ἐν ταῖς μεγίσταις ἀνθρώπων φθοραῖς ἀπολομένης ἐγκαταλείμματα περισωθέντα διὰ συντομίαν καὶ δεξιότητα.

3.

Diog. Laert. 2, 23: καὶ Πυθώδε ἐλθεῖν (τόν Σωκράτην) Ἀριστοτέλης φησίν· ἀλλὰ καὶ εἰς Ἰσθμόν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων.

4.

Plutarch. adv. Colot. 20: καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον ἐδόκει τὸ γνῶθι σαυτόν, ὃ δὴ καὶ Σωκράτει ἀπορίας καὶ ζητήσεως ταύτης ἀρχὴν ἐνέδωκεν, ὡς Ἀριστοτέλης ἐν τοῖς Πλατωνικοῖς εἴρηκε.

5.

Porphyr. (ἐκ τοῦ ᾱ περὶ τοῦ γνῶθι σεαυτόν) apud Stob flor. 21, 26 (Meineke): τί ποτε ἦν ἄρα καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ, ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεησομένοις προσαγορεύει; ... ἀλλ' εἴτε Φημονόη ... εἴτε Φανοθέα ... εἴτε καὶ Βίαντος ἢ Θαλοῦ ἢ Χίλωνος ἦν ἀνάθημα ... εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χίλωνι τὸ ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ· εἴτε καὶ πρὸ Χίλωνος ἦν ἔτι ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πτέρινόν τε καὶ χαλκοῦν, καθάπερ Ἀριστοτέλης ἐν τοῖς περὶ φιλοσοφίας εἴρηκε.

Clem. Alex. strom. 1, 14, 60 p. 129 Sylb. τὸ μὲν οὖν γνῶθι σαυτὸν οἱ μὲν Χίλωνος ὑπειλήφασι, Χαμαιλέων δὲ ἐν τῷ περὶ θεῶν Θαλοῦ, Ἀριστοτέλης δὲ τῆς Πυθίας.

6.

Clem. Alex. strom. 1, 14, 61 p. 129: πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μηδὲν ἄγαν· Στράτων δὲ ... Δίδυμος δὲ ... τὸ δ' ἐγγύα πάρα δ' ἄτα Κλεομένης μὲν ἐν τῷ περὶ Ἡσιόδου ... οἱ δὲ περὶ Ἀριστοτέλην Χίλωνος αὐτὸ νομίζουσι, Δίδυμος δὲ Θαλοῦ φησὶν εἶναι τὴν παραίνεσιν.

7.

Etymolog. M. p. 722, 16 Sylb. s. σοφιστής: κυρίως ὁ σοφιζόμενος· ὁ δὲ Ἀριστοτέλης σοφιστὰς λέγει τοὺς ἑπτὰ σοφούς.

8.

Diog. L. 1, 8: Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ φιλοσοφίας καὶ πρεσβυτέρους εἶναι (τοὺς μάγους) τῶν Αἰγυπτίων· καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα, καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅιδης καὶ Ἀρειμάνιος.

9.

Io. Philopon. ad Ar. de anima (1, 5. 1410[b] 28 ἐν τοῖς Ὀρφικοῖς καλουμένοις ἔπεσι) f. F 3[a] sup.: λεγομένοις εἶπεν ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ αὐτὸς ἐν τοῖς περὶ φιλοσοφίας λέγει· αὐτοῦ μὲν γάρ εἰσι τὰ δόγματα, ταῦτα δέ φησιν Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι.

Cic. de nat deor. 1, 38: *Orpheum poetam docet Aristoteles numquam fuisse et hoc Orphicum carmen Pythagorei ferunt cuiusdam fuisse Cercopis.*

10.

Proclus apud Ioann. gramm. de mundi aetern. 2, 2 Ven. 1535 f. B 1[b]: „καὶ κινδυνεύει μηδὲν οὕτως ὁ ἀνὴρ ἐκεῖνος (ὁ Ἀριστοτέλης) ἀποποιήσασθαι τῶν Πλάτωνος ὡς τὴν τῶν ἰδεῶν ὑπόθεσιν, οὐ μόνον ἐν λογικοῖς... ἀλλὰ καὶ ἐν ἠθικοῖς ... καὶ ἐν φυσικοῖς ... καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ πολλῷ πλέον ... καὶ ἐν τοῖς διαλόγοις σαφέστατα κεκραγὼς μὴ δύνασθαι τῷ δόγματι τούτῳ συμπαθεῖν κἄν τις αὐτὸν οἴηται διὰ φιλονεικίαν ἀντιλέγειν".

Plutarchus adv. Colot. 14: τάς γε μὴν ἰδέας περὶ ὧν ἐγκαλεῖ τῷ Πλάτωνι πανταχοῦ κινῶν ὁ Ἀριστοτέλης καὶ πᾶσαν ἐπάγων ἀπορίαν αὐταῖς ἐν τοῖς ἠθικοῖς ὑπομνήμασιν, ἐν τοῖς ⟨μετὰ τὰ φυσικά, ἐν τοῖς⟩ φυσικοῖς, διὰ τῶν ἐξωτερικῶν διαλόγων, φιλονεικότερον ἐνίοις ἔδοξεν ἢ φιλοσοφώτερον ἐκ τῶν δογμάτων τούτων ὡς προθέμενος τὴν Πλάτωνος ὑπεριδεῖν φιλοσοφίαν· οὕτω μακρὰν ἦν τοῦ ἀκολουθεῖν.

11.

Syrian. in Ar. metaph. 12, 9 (Schol. in met. ed. Brandis Berol. 1837 p. 322, 4): ἐπεὶ ὅτι καὶ αὐτὸς (Ar.) ὁμολογεῖ μηδὲν εἰρηκέναι πρὸς τὰς ἐκείνων (Platonicorum ante Xenocratem) ὑποθέσεις μηδ' ὅλως παρακολουθεῖν τοῖς εἰδητικοῖς ἀριθμοῖς, εἴπερ ἕτεροι τῶν μαθηματικῶν εἶεν, μαρτυρεῖ τὰ ἐν τῷ β̄ τῶν περὶ τῆς φιλοσοφίας ἔχοντα τοῦτον τὸν τρόπον „ὥστε εἰ ἄλλος ἀριθμὸς αἱ ἰδέαι, μὴ μαθηματικὸς δέ, οὐδεμίαν περὶ αὐτοῦ σύνεσιν ἔχοιμεν ἄν. τίς γὰρ τῶν γε πλείστων ἡμῶν συνίησιν ἄλλον ἀριθμόν;" ὥστε καὶ νῦν ὡς πρὸς πολλοὺς τοὺς οὐκ εἰδότας ἄλλον ἢ τὸν μοναδικὸν ἀριθμὸν πεποίηται τοὺς ἐλέγχους, τῆς δὲ τῶν θείων ἀνδρῶν διανοίας οὐδὲ τὴν ἀρχὴν ἐφήψατο.

12.

Sextus Empir. adv. dogm. 3, 20—22 (p. 395 Bekk.): Ἀριστοτέλης δὲ ἀπὸ δυοῖν ἀρχῶν ἔννοιαν θεῶν ἔλεγε γεγονέναι ἐν τοῖς ἀνθρώποις, ἀπό τε τῶν περὶ ψυχὴν συμβαινόντων καὶ ἀπὸ τῶν μετεώρων. ἀλλ' ἀπὸ μὲν τῶν περὶ τὴν ψυχὴν συμβαινόντων διὰ τοὺς ἐν τοῖς ὕπνοις γινομένους ταύτης ἐνθουσιασμοὺς καὶ τὰς μαντείας. ὅταν γάρ, φησιν, ἐν τῷ ὑπνοῦν καθ' ἑαυτὴν γένηται ἡ ψυχή, τότε τὴν ἴδιον ἀπολαβοῦσα φύσιν προμαντεύεταί τε καὶ προαγορεύει τὰ μέλλοντα. τοιαύτη δέ ἐστι καὶ ἐν τῷ κατὰ τὸν θάνατον χωρίζεσθαι τῶν σωμάτων. ἀποδέχεται γοῦν καὶ τὸν ποιητὴν Ὅμηρον ὡς τοῦτο παρατηρήσαντα· πε-

16 πτέρινον Cas., vulgo πέτρινον. ‖ 44 ed. et codd. vulg. ὄνομα κρεῖττον ἐνέπεσε.

b2 *Cercopis* Victorius: *cerconis* (*cerdonis*) codd. ‖ 16 ἐν τοῖς μετὰ τὰ φυσικὰ suppl. Bernays. ‖ 29 σύνεσιν ego: σύνθεσιν ed. ‖ 40 γένηται Bekker: γενήσεται codd. et edd.

ποίηκε γὰρ τὸν μὲν Πάτροκλον ἐν τῷ ἀναιρεῖσθαι προαγορεύοντα περὶ τῆς Ἕκτορος ἀναιρέσεως, τὸν δ' Ἕκτορα περὶ τῆς Ἀχιλλέως τελευτῆς. ἐκ τούτων οὖν, φησίν, ὑπενόησαν οἱ ἄνθρωποι εἶναί τι θεόν, τὸ καθ' ἑαυτὸ ἐοικὸς τῇ ψυχῇ καὶ πάντων ἐπιστημονικώτατον. ἀλλὰ δὴ καὶ ἀπὸ τῶν μετεώρων· θεασάμενοι γὰρ μεθ' ἡμέραν μὲν ἥλιον περιπολοῦντα, νύκτωρ δὲ τὴν εὔτακτον τῶν ἄλλων ἀστέρων κίνησιν, ἐνόμισαν εἶναί τινα θεὸν τὸν τῆς τοιαύτης κινήσεως καὶ εὐταξίας αἴτιον. τοιοῦτος μὲν καὶ ὁ Ἀριστοτέλης.

13.

Sextus adv. dogm. 3, 26—27 p. 396: ἔνιοι δὲ ἐπὶ τὴν ἀπαράβατον καὶ εὔτακτον τῶν οὐρανίων κίνησιν παραγενόμενοι φασὶ τὴν ἀρχὴν ταῖς τῶν θεῶν ἐπινοίαις ἀπὸ ταύτης γεγονέναι πρῶτον· ὥσπερ γὰρ εἴ τις ἐπὶ τῆς Τρωικῆς καθεζόμενος Ἴδης ἑώρα τὴν τῶν Ἑλλήνων στρατείαν μετὰ πολλοῦ κόσμου καὶ τάξεως τοῖς πεδίοις προσιοῦσαν „ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν, πεζοὺς δ' ἐξόπιθεν", πάντως ἂν ὁ τοιοῦτος εἰς ἔννοιαν ἦλθε τοῦ ὅτι ἔστι τις ὁ διατάσσων τὴν τοιαύτην τάξιν καὶ ἐγκελευόμενος τοῖς ὑπ' αὐτὸν κοσμουμένοις στρατιώταις, οἷον Νέστωρ ἢ ἄλλος τις τῶν ἡρώων ὃς ᾔδει „κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας"· καὶ ὃν τρόπον ὁ ἔμπειρος νεὼς ἅμα τῷ θεάσασθαι πόρρωθεν ναῦν οὐρίῳ διωκομένην πνεύματι καὶ πᾶσι τοῖς ἱστίοις εὐτρεπιζομένην συνίησιν ὅτι ἔστι τις ὁ κατευθύνων ταύτην καὶ εἰς τοὺς προκειμένους λιμένας καταντῶν, οὕτως οἱ πρῶτον εἰς οὐρανὸν ἀναβλέψαντες καὶ θεασάμενοι ἥλιον μὲν τοὺς ἀπὸ ἀνατολῆς μέχρι δύσεως δρόμους σταδιεύοντα, ἀστέρων δὲ εὐτάκτους τινὰς χορείας, ἐπεζήτουν τὸν δημιουργὸν τῆς περικαλλοῦς ταύτης διακοσμήσεως, οὐκ ἐκ ταὐτομάτου στοχαζόμενοι συμβαίνειν αὐτὴν ἀλλ' ὑπό τινος κρείττονος καὶ ἀφθάρτου φύσεως, ἥτις ἦν θεός.

14.

Cicero de natura deorum 2, 37: *praeclare ergo Aristoteles si essent, inquit, qui sub terra semper habitavissent bonis et in lustribus domiciliis quae essent ornata signis atque picturis instructaque rebus iis omnibus quibus abundant ii qui beati putantur, nec tamen exissent unquam supra terram, accepissent autem fama et auditione esse quoddam numen et vim deorum, deinde aliquo tempore patefactis terrae faucibus ex illis abditis sedibus evadere in haec loca quae nos incolimus atque exire potuissent, cum repente terram et maria caelumque vidissent, nubium magnitudinem ventorumque vim cognovissent aspexissentque solem eiusque cum magnitudinem pulcritudinemque tum etiam efficientiam cognovissent quod is diem efficeret toto caelo luce diffusa, cum autem terras nox opacasset tum caelum totum cernerent astris distinctum et ornatum lunaeque luminum varietatem tum crescentis tum senescentis eorumque omnium ortus et occasus atque in omni aeternitate ratos innutabilesque cursus: quae cum viderent, profecto et esse deos et haec tanta opera deorum esse arbitrarentur. atque haec quidem ille.*

15.

Simplicius in Ar. de caelo (1, 9. 279, 30: καὶ γὰρ καθάπερ ἐν τοῖς ἐγκυκλίοις φιλοσοφήμασι περὶ τὰ θεῖα πολλάκις προφαίνεται τοῖς λόγοις ὅτι τὸ θεῖον ἀμετάβλητον ἀναγκαῖον εἶναι πᾶν τὸ πρῶτον καὶ ἀκρότατον· ὃ οὕτως ἔχον μαρτυρεῖ τοῖς εἰρημένοις. οὔτε γὰρ ἄλλο κρεῖττόν ἐστιν ὅ τι κινήσει, ἐκεῖνο γὰρ ἂν εἴη θειότερον, οὔτ' ἔχει φαῦλον οὐθέν, οὔτ' ἐνδεὲς τῶν αὐτοῦ καλῶν οὐδενός ἐστιν) p. 487, 6 Br. (p. 130, 45 Karsten): λέγει δὲ περὶ τούτου ἐν τοῖς περὶ φιλοσοφίας. [καθόλου γὰρ ἐν οἷς ἐστί τι βέλτιον, ἐν τούτοις ἐστί τι καὶ ἄριστον. ἐπεὶ οὖν ἐστὶν ἐν τοῖς οὖσιν ἄλλο ἄλλου βέλτιον, ἔστιν ἄρα τι καὶ ἄριστον, ὅπερ εἴη ἂν τὸ θεῖον. εἰ οὖν τὸ μεταβάλλον ἢ ὑπ' ἄλλου μεταβάλλει ἢ ὑφ' ἑαυτοῦ, καὶ εἰ ὑπ' ἄλλου ἢ κρείττονος ἢ χείρονος, εἰ δὲ ὑφ' ἑαυτοῦ ἢ ὡς πρός τι χεῖρον ἢ ὡς καλλίονός τινος ἐφιέμενον, τὸ δὲ θεῖον οὐδὲ κρεῖττόν τι ἔχει ἑαυτοῦ ὑφ' οὗ μεταβληθήσεται, ἐκεῖνο γὰρ ἂν ἦν θειότερον, οὔτε ὑπὸ χείρονος τὸ κρεῖττον πάσχειν θέμις ἐστί· καὶ μέντοι εἰ ὑπὸ χείρονος, φαῦλον ἄν τι προσελάμβανεν, οὐδὲν δὲ ἐν ἐκείνῳ φαῦλον. ἀλλ' οὐδὲ ἑαυτὸ μεταβάλλει ὡς καλλίονός τινος ἐφιέμενον, οὐδὲ γὰρ ἐνδεές ἐστι τῶν αὐτοῦ καλῶν οὐδενός· οὐ μέντοι οὐδὲ πρὸς τὸ χεῖρον, ὅτε μηδὲ ἄνθρωπος ἑκὼν ἑαυτὸν χείρω ποιεῖ, μήτε δὲ ἔχει τι φαῦλον μηδὲν ὅπερ· ἂν ἐκ τῆς πρὸς τὸ χεῖρον μεταβολῆς προσέλαβεν. καὶ ταύτην δὲ ἀπὸ τοῦ δευτέρου τῆς Πλάτωνος πολιτείας Ἀριστοτέλης μετέλαβε τὴν ἀπόδειξιν.]

16.

Schol. in Proverbia Salomonis (cod. Paris. gr. 174) f. 46ᵃ: Ἀριστοτέλους· ἡ ἀρχὴ ἢ μία ἢ πολλαί. καὶ εἰ μὲν μία, ἔχομεν τὸ ζητούμενον· εἰ δὲ πολλαί, ἢ τεταγμέναι ἢ ἄτακτοι. ἀλλ' εἰ μὲν ἄτακτοι, ἀτακτότερα τὰ ἐξ αὐτῶν, καὶ οὐκ ἐστὶ κόσμος ὁ κό-

19 „καὶ L(ibri) post διατάσσων: transposui cum Wakefieldo" Bekker. ‖ 20 ἐγκοσμουμένοις ante Bekk. libri.

b9 *quae cum* codd., *haec cum* codd. rec. et edd. (*cursus cum viderent* Madvig om. *quae*). ‖ 21 περὶ τούτου: sic (*de hoc*) etiam Guilelmus Brab. ‖ 22 sequentia uncis inclusi, quae non sint Aristotelis sed ex Alexandro Simplicii. ‖ 22 ἐστὶ τὸ βέλτιον ... ἐστὶ καὶ τὸ ἄριστον Karsten (ex cod. Par. 1910), sed *est aliquid melius ... est aliquid et optimum* Guil. ‖ 30 post θέμις ἐστί add. Karsten ἀμετάβλητον ἄρα ἐστί (ex not. marg. cod. Par. 1910 saec. XV, cf. Ravaisson Essai sur la mét. I, 67). ‖ 36 πρὸς K.: εἰς Br.

σμος ἀλλ' ἀκοσμία, καί ἐστι τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν μὴ ὄντος. εἰ δὲ τεταγμέναι, ἢ ἐξ ἑαυτῶν ἐτάχθησαν ἢ ὑπὸ ἔξωθεν τινὸς αἰτίας. ἀλλ' εἰ μὲν ὑφ' ἑαυτῶν ἐτάχθησαν, ἔχουσί τι κοινὸν τὸ συνάπτον αὐτὰς κἀκεῖνο ἡ ἀρχή.

17.

Pseudo-Philo περὶ ἀφθαρσίας κόσμου (t. II p. 489 Mangey): Ἀριστοτέλης δέ, μήποτ' εὐσεβῶς καὶ ὁσίως ἐνιστάμενος, ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι· δεινὴν δὲ ἀθεότητα κατεγίνωσκε τῶν τὰ ἐναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν διαφέρειν τοσοῦτον ὁρατὸν θεὸν ἥλιον καὶ σελήνην καὶ τὸ ἄλλο τῶν πλανήτων καὶ ἀπλανῶν ὡς ἀληθῶς περιέχοντα πάνθειον· ἔλεγέ τε, ὡς ἔστιν ἀκούειν, καὶ κατακερτομῶν ὅτι πάλαι μὲν ἐδεδίει περὶ τῆς οἰκίας, μὴ βιαίοις πνεύμασιν ἢ χειμῶσιν ἐξαισίοις ἢ χρόνῳ ἢ ῥαθυμίᾳ τῆς ἁρμοττούσης ἐπιμελείας ἀνατραπῇ. νυνὶ δὲ φόβον ἐπικεκρεμάσθαι μείζονα πρὸς τῶν τὸν ἅπαντα κόσμον τῷ λόγῳ καθαιρούντων.

18.

Cicero acad. pr. 2, 38, 119 (Halm): *cum enim tuus iste Stoicus sapiens syllabatim tibi ista dixerit, veniet flumen orationis aureum fundens Aristoteles qui illum desipere dicat: neque enim ortum esse unquam mundum, quod nulla fuerit novo consilio inito tam praeclari operis inceptio, et ita esse eum undique aptum ut nulla vis tantos queat motus mutationemque moliri, nulla senectus diuturnitate temporum existere, ut hic ornatus unquam dilapsus occidat.*

19.

Cic. de nat. deor. 2, 15: *cum igitur aliorum animantium ortus in terra sit, aliorum in aqua, in aere aliorum, absurdum esse Aristoteli videtur in ea parte quae sit ad gignenda animantia aptissima, animal gigni nullum putare. sidera autem aetherium locum obtinent. qui quoniam tenuissimus est et semper agitatur et viget, necesse est quod animal in eo gignatur id et sensu acerrimo et mobilitate celerrima esse. quare cum in aethere astra gignantur, consentaneum est in iis sensum inesse et intellegentiam. ex quo efficitur in deorum numero astra esse ducenda.*

20.

Cicero de nat. deorum 2, 16: *nec vero Aristoteles non laudandus in eo quod omnia quae moventur aut natura moveri censuit aut vi aut voluntate, moveri autem solem et lunam et sidera omnia: quae autem natura moverentur, haec aut pondere deorsum aut levitate in sublime ferri, quorum neutrum astris contingeret, propterea quod eorum motus in orbem circumque ferretur. nec vero dici potest vi quadam maiore fieri ut contra naturam astra moveantur. quae enim potest maior esse? restat igitur ut motus astrorum sit voluntarius. quae qui videat, non indocte solum verum etiam impie faciat, si deos esse neget.*

21.

Philodemus περὶ εὐσεβείας (Hercul. vol. coll. alt. t. II, 7 fr. 22, Spengel p. 149 Abh. d. phil. Kl. der baierschen Acad. t. X): παρ' Ἀριστοτέλει δ' ἐν τῶι τρίτωι περὶ φιλοσοφίας...

Cicero de nat. deor. 1, 13 (Baiter in ed. Turic. alt. 1861); *Aristotelesque in tertio de philosophia libro multa turbat a magistro suo Platone non dissentiens. modo enim menti tribuit omnem divinitatem, modo mundum ipsum deum dicit esse, modo alium quendam praeficit mundo eique eas partes tribuit ut replicatione quadam mundi motum regat atque tueatur. tum caeli ardorem deum dicit esse, non intellegens caelum mundi esse partem, quem alio loco ipse designarit deum. quo modo autem caeli divinus ille sensus in celeritate tanta conservari potest? ubi deinde illi tot dii, si numeramus etiam caelum deum? cum autem sine corpore idem vult esse deum, omni illum sensu privat, etiam prudentia. quo porro modo moveri carens corpore, aut quo modo semper se movens esse quietus et beatus potest?*

II. ΠΕΡΙ ΤΑΓΑΘΟΥ.

Simplicius de an. Ven. 1527 f. 6[b] fin.: περὶ φιλοσοφίας νῦν λέγει τὰ περὶ τοῦ ἀγαθοῦ αὐτῷ ἐκ τῆς Πλάτωνος ἀναγεγραμμένα συνουσίας, ἐν οἷς ἱστορεῖ τάς τε Πυθαγορείους καὶ Πλατωνικὰς περὶ τῶν ὄντων δόξας.

Io. Philop. de an. Ven. 1535 f. C 1[b]: τὰ περὶ τἀγαθοῦ ἐπιγραφόμενα περὶ φιλοσοφίας λέγει. ἐν ἐκείνοις δὲ τὰς ἀγράφους συνουσίας τοῦ Πλάτωνος ἱστορεῖ ὁ Ἀριστοτέλης. ἔστι δὲ γνήσιον αὐτοῦ τὸ βιβλίον· ἱστορεῖ οὖν ἐκεῖ τὴν Πλάτωνος καὶ τῶν Πυθαγορείων περὶ τῶν ὄντων καὶ τῶν ἀρχῶν αὐτῶν δόξαν.

16 πνεύμασιν: ῥεύμασιν Bernays. ‖ 26 *inito* P. Victorius: *initio* codd. ‖ 27 aptum *ed. Rom.* (1471): apertum *codd.* ‖ 29 *existere*: *efficere* Walker „recte ut videtur" Halmio.

[b]20 *suo* cod. Rehdiger.: *uno* codd. ant. ‖ *non* Manutius: om. codd. ‖ 32 *moveri* Heindorf: *mundus moveri* codd., *mundum movere* Ernesti.

22.

Vita Aristot. Marc. cod. 257 f. 276[b]: *κα⟨ὶ μάλα⟩ δὲ ὁ Ἀριστοτέλης τὸ ἦθ⟨ος μέτριος⟩ γέγονεν, εἰ ἐν μὲν ταῖς κατηγορίαις φησὶ μὴ δεῖν προχείρως ἀποφαίνεσθαι ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ⟨ν οὐδὲ διαπορ⟩εῖν μόνον ἄχρηστον εἶναι· καὶ ἐν τοῖς περὶ τοῦ ἀγαθοῦ „δε⟨ῖ μεμν⟩ῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον τὸν εὐ⟨τυχοῦντα ἀλλ⟩ὰ καὶ τὸν ἀποδεικνύντα"*.

Vers. lat. vet. (sec. ed. Ven. et codd. a me collatos): *multum autem Aristoteles moderatus fuit moribus, unde in predicamentis ait „non oportet prompte diffinire sed quidem multociens considerare" et dubitare de singulis non esse inutile. et in hiis que de bono „oportet reminisci hominem existentem non solum bene fortunatum sed et demonstrantem"*.

23.

Alexander in Ar. metaph. (1, 6. 987[b] 38) p. 42, 22 (Bonitz): *καὶ διὰ τοιαῦτα μέν τινα ἀρχὰς τῶν τε ἀριθμῶν καὶ τῶν ὄντων ἁπάντων ἐτίθετο Πλάτων τό τε ἓν καὶ τὴν δυάδα, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης λέγει.*

Alex. ad metaph. (1, 9. 990[b] 17) p. 63, 18: *ἀρχαὶ δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ὡς πρὸ ὀλίγου τε εἴρηκε καὶ ἱστόρηκεν αὐτὸς ἐν τοῖς περὶ τἀγαθοῦ.*

Simplicius in phys. f. 32[b] (p. 334[b] 25 Br.): *λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἓν ἐστι καὶ ἡ ἀόριστος δυάς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης μνημονεύει. λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ τοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσι.*

Simplicius in phys. f. 104[b]: *τὸ μέντοι ἄπειρον καὶ ἐν τοῖς αἰσθητοῖς εἶναί φησι* (phys. 3, 4. 203, 9) *καὶ ἐν ταῖς ἰδέαις. ἀρχὰς γὰρ καὶ τῶν αἰσθητῶν τὸ ἓν καὶ τὴν ἀόριστόν φασι δυάδα λέγειν τὸν Πλάτωνα. τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν, καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρα εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης καὶ Ἑστιαῖος καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀνεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς ὡς ἐρρήθη. Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ ... ταῦτα ὁ Πορφύριος εἶπεν αὐτῇ σχεδὸν τῇ λέξει, διαρθροῦν ἐπαγγειλάμενος τὰ ἐν τῇ περὶ τἀγαθοῦ συνουσίᾳ αἰνιγματώδως ῥηθέντα. καὶ ἴσως ὅτι σύμφωνα ἦν τοῖς ἐν Φιλήβῳ γεγραμμένοις. καὶ ὁ Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λόγων τοῦ Πλάτωνος ὁμολογῶν λέγειν οὓς ἱστόρησαν Ἀριστοτέλης τε καὶ οἱ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι, ταδὶ γέγραφεν ...*

24.

Sextus Emp. adv. math. 3, 57: *ἀλλ' ὅ γε Ἀριστοτέλης ... φησὶ μὴ ἀδιανόητον εἶναι τὸ ὑπὸ τούτων (τῶν γεωμετρῶν) λεγόμενον μῆκος ἀπλατές, ἀλλὰ δύνασθαι χωρὶς πάσης περισκελείας εἰς ἔννοιαν ἡμῖν ἐλθεῖν. ἵστησι δὲ τὸν λόγον ἐπί τινος ἐναργεστέρου ὑποδείγματος καὶ σαφοῦς. τὸ γοῦν τοῦ τοίχου μῆκος, φησί, λαμβάνομεν μὴ συνεπιβάλλοντες αὐτοῦ τῷ πλάτει, διόπερ ἐνέσται καὶ τὸ παρὰ τοῖς γεωμέτραις λεγόμενον μῆκος χωρὶς πλάτους τινὸς ἐπινοεῖν.*

Sext. Emp. adv. dogm. 3, 412: *ἀλλ' ὅγε Ἀριστοτέλης οὐκ ἀδιανόητον ἔλεγεν εἶναι τὸ παρὰ τοῖς γεωμέτραις ἀπλατὲς μῆκος· τό γέ τοι τοῦ τοίχου μῆκος λαμβάνομεν χωρὶς τοῦ ἐπιβάλλειν τῷ πλάτει τοῦ τοίχου.*

25.

Alex. in metaph. (1, 6. 988, 11) p. 45, 8: *ζητήσαι δ' ἄν τις πῶς λέγοντος Πλάτωνος καὶ ποιητικὸν αἴτιον ἐν οἷς λέγει „τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τε καὶ δεῖξαι ἔργον", ἀλλὰ καὶ τὸ οὗ ἕνεκεν καὶ τέλος δι' ὧν πάλιν λέγει „περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ κἀκείνου ἕνεκα πάντα", οὐδετέρου τούτων τῶν αἰτίων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τῇ δόξῃ τῇ Πλάτωνος; ἢ ὅτι ἐν οἷς περὶ αἰτίων ἔλεγεν οὐδενὸς τούτων ἐμέμνητο, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ δέδειχεν. ἢ ὅτι τῶν ἐν γενέσει καὶ φθορᾷ οὐ τίθεται ταῦτα αἴτια, ἀλλ' οὐδὲ ἐξειργάσατό τι περὶ αὐτῶν.*

26.

Alex. in metaph. (3, 2. 1004, 2: *τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ ἐκλογῇ τῶν ἐναντίων*) p. 206, 19: *ἀναπέμπει δὲ ἡμᾶς περὶ τοῦ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγεται τό τε ἓν καὶ τὸ πλῆθος εἰς τὴν ἐκλογὴν τῶν ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευσάμενος. εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ περὶ τἀγαθοῦ.*

Alex. in metaph. (3, 2. 1004[b] 34: *πάντα δὲ καὶ τἆλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ πλῆθος· εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν*) p. 218, 10: *διὰ δὲ τοῦ „εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν" ἀναπέμπει πάλιν ἡμᾶς*

2 καὶ μάλα δὲ ὁ ego: καθόλου γὰρ ὁ Robbe, κα .... ὁ cod. (a me exscriptus a. 1857). ‖ 5 καὶ μὴ ..... εἶν cod., suppl. Robbe ex Ar. ‖ 7 οὐ μόνον εὐδαίμονα male suppl. Robbe. τ⟨ὸν⟩ εὐ .. ex cod. certum est.

εἰς τὰ ἐν τῷ β̄ περὶ τἀγαθοῦ δεδειγμένα. „φανερὸν οὖν... (1005, 2): εἰπὼν ὅτι πως τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ πλῆθος ἀνάγεται καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ β̄ περὶ τἀγαθοῦ εἰς ταῦτα πιστωσάμενος... δῆλόν φησι ...

III. ΜΑΓΙΚΟΣ
(Ἀριστοτέλους ἢ Ἀντισθένους).

27.

Diog. L. 2, 45 (Cobet): φησὶ δ' Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας τά τε ἄλλα καταγνῶναι τοῦ Σωκράτους καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὴν τελευτὴν αὐτῷ.

28.

Suidas s. Ἀντισθένης: Ἀθηναῖος ... οὗτος συνέγραψε τόμους δέκα, πρῶτον μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου εὑρόντος τὴν σοφίαν. τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥοδίῳ τινὶ ἀνατιθέασιν.

29.

Plinius n. h. 30, 3 (Sillig): *Eudoxus qui inter sapientiae sectas clarissimam utilissimamque eam (magicam) intellegi voluit, Zoroastren hunc sex milibus annorum ante Platonis mortem fuisse prodidit. sic et Aristoteles.*

30.

Diog. L. 1, 1: Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ γυμνοσοφιστὰς παρ' Ἰνδοῖς, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους δρυίδας καὶ σεμνοθέους, καθά φησιν Ἀριστοτέλης ἐν τῷ μαγικῷ καὶ Σωτίων ἐν εἰκοστῷ τρίτῳ τῆς διαδοχῆς. Φοίνικά τε γενέσθαι, Ὤχον καὶ Θρᾷκα Ζάμολξιν καὶ Λίβυν Ἄτλαντα.

31.

Diog. L. 1, 6—8: τοὺς δὲ μάγους περί τε θεραπείας θεῶν διατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους ἀκουομένους. ἀποφαίνεσθαί τε περί τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ· τῶν δὲ ζῴων καταγινώσκειν καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων· ἀσκεῖν τε μαντικὴν καὶ πρόρρησιν, καὶ θεοὺς αὐτοῖς ἐμφανίζεσθαι λέγοντας. ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα κατ' ἀπόρροιαν ὑπ' ἀναθυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι τῶν ὀζυδερκῶν· προκοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν. τούτων δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ λάχανον τροφὴ τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος ἡ βακτηρία, ᾧ κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνῃροῦντο καὶ ἀπήσθιον. τὴν δὲ γοητικὴν μαγείαν οὐδ' ἔγνωσαν, φησὶν ὁ Ἀριστοτέλης ἐν τῷ μαγικῷ καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν· ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος.

IV. ΕΥΔΗΜΟΣ Η ΠΕΡΙ ΨΥΧΗΣ.

Plutarch. de aud. poet. 1: ὅτι δὲ τῶν ἐν φιλοσοφίᾳ λεγομένων οἱ σφόδρα νέοι τοῖς μὴ δοκοῦσι φιλοσόφως μηδὲ ἀπὸ σπουδῆς λέγεσθαι χαίρουσι μᾶλλον καὶ παρέχουσιν ὑπηκόους ἑαυτοὺς καὶ χειροήθεις, δῆλόν ἐστιν ἡμῖν· οὐ γὰρ μόνον τὰ Αἰσώπεια μυθάρια καὶ τὰς ποιητικὰς ὑποθέσεις καὶ τὸν Ἄβαριν τοῦ Ἡρακλείδου καὶ τὸν Λύκωνα τὸν Ἀρίστωνος διερχόμενοι ἀλλὰ καὶ τὰ περὶ τῶν ψυχῶν δόγματα μεμιγμένα μυθολογίᾳ μεθ' ἡδονῆς ἐνθουσιῶσι.

32.

Cicero de divinat. 1, 25: *quid? singulari vir ingenio Aristoteles et paene divino ipsene errat an alios vult errare, cum scribit Eudemum Cyprium familiarem suum iter in Macedoniam facientem Pheras venisse, quae erat urbs in Thessalia tum admodum nobilis, ab Alexandro autem tyranno crudeli dominatu tenebatur. in eo igitur oppido ita graviter aegrum Eudemum fuisse ut omnes medici diffiderent. ei visum in quiete egregia facie iuvenem dicere fore ut perbrevi convalesceret paucisque diebus interiturum Alexandrum tyrannum, ipsum autem Eudemum quinquennio post domum esse rediturum. atque ita quidem prima statim scribit Aristoteles consecuta et convaluisse Eudemum et ab uxoris fratribus interfectum tyrannum. quinto autem anno exeunte cum esset spes ex illo somnio in Cyprum illum ex Sicilia esse rediturum, proeliantem eum ad Syracusas occidisse. ex quo ita illud somnium esse interpretatum ut cum animus Eudemi e corpore excesserit, tum domum revertisse videatur.*

20 τῷ Ῥοδίῳ Bernhardy, Ῥόδωνι vulgo (ῥόδων cod. A).
b8 μαγείαν Cobet: vulgo μαντείαν.

33.

David. proleg. in Ar. categ. p. 24 b10: τῶν δὲ συνταγματικῶν τὰ μέν εἰσιν αὐτοπρόσωπα, ἃ καὶ ἀκροαματικὰ λέγονται, τὰ δὲ διαλογικά, ἃ καὶ ἐξωτερικὰ λέγονται ... ἔγραψε δὲ καὶ πρὸς ἀνεπιτηδείους πρὸς φιλοσοφίαν τὰ διαλογικά ... κατασκευάζων δὲ τὴν ἀθανασίαν τῆς ψυχῆς κἀν τοῖς ἀκροαματικοῖς δι' ἀναγκαστικῶν λόγων κατασκευάζει, ἐν δὲ τοῖς διαλογικοῖς διὰ πιθανῶν εἰκότως. φησὶ γὰρ ἐν τοῖς περὶ ψυχῆς ἀκροαματικοῖς ... ἐν δὲ τοῖς διαλογικοῖς φησὶν οὕτως, ὅτι ἡ ψυχὴ ἀθάνατος, ἐπειδὴ αὐτοφυῶς πάντες οἱ ἄνθρωποι καὶ σπένδομεν χοὰς τοῖς κατοιχομένοις καὶ ὄμνυμεν κατ' αὐτῶν, οὐδεὶς δὲ τῷ μηδαμῇ μηδαμῶς ὄντι σπένδει ποτὲ ἢ ὄμνυσι κατ' αὐτοῦ. ὁ δὲ Ἀλέξανδρος ἄλλην διαφορὰν λέγει τῶν ἀκροαματικῶν πρὸς τὰ διαλογικά, ὅτι ἐν μὲν τοῖς ἀκροαματικοῖς τὰ δοκοῦντα αὐτῷ λέγει καὶ τὰ ἀληθῆ, ἐν δὲ τοῖς διαλογικοῖς τὰ ἄλλοις δοκοῦντα τὰ ψευδῆ ... τοῦτο δὲ εἶπεν Ἀλέξανδρος, ἐπειδὴ τὴν λογικὴν ψυχὴν βούλεται φθαρτὴν εἶναι, ὁ δὲ Ἀριστοτέλης ἐν τοῖς διαλογικοῖς μάλιστα δοκεῖ κηρύττειν τὴν ἀθανασίαν τῆς ψυχῆς. ἵνα οὖν μὴ σχῇ ἐλέγχοντα τὸν Ἀριστοτέλην, διὰ τοῦτο εἶπε τοιαύτην διαφοράν.

Themist. de anima (opp. ed. Ven. 1534) f. 90b (t. II p 196, 21 Spengel): καὶ οἱ λόγοι δὲ οὓς ἠρώτησε (Plato in Phaedone) περὶ ψυχῆς ἀθανασίας εἰς τὸν νοῦν ἀνάγονται σχεδόν τι οἱ πλεῖστοι καὶ ἐμβριθέστατοι, ὅ τε ἐκ τῆς αὐτοκινησίας· ἐδείχθη γὰρ ὡς αὐτοκίνητος μόνος ὁ νοῦς, εἰ τὴν κίνησιν ἀντὶ τῆς ἐνεργείας νοοίημεν· καὶ ὁ τὰς μαθήσεις ἀναμνήσεις εἶναι λαμβάνων καὶ ὁ τὴν πρὸς τὸν θεὸν ὁμοιότητα. καὶ τῶν ἄλλων δὲ τοὺς ἀξιοπιστοτέρους δοκοῦντας οὐ χαλεπῶς ἄν τις τῷ νῷ προσβιβάσειεν, ὥσπερ γε καὶ τῶν ὑπ' αὐτοῦ Ἀριστοτέλους ἐξειργασμένων ἐν τῷ Εὐδήμῳ. ἐξ ὧν δῆλον ὅτι καὶ Πλάτων τὸν νοῦν ἀθάνατον μόνον ὑπολαμβάνει.

34.

Proclus in Plat. Tim. V p. 338d (p. 823 Schn.): τὴν ψυχὴν τῷ σώματι συνῆψεν ἀμέσως πάντα τὰ περὶ καθόδου ψυχῆς ὑπεκτεμὼν προβλήματα ... ἀλλ' οὐδὲ τὰ μετὰ τὴν ἔξοδον αὐτῆς ἐν τούτοις παραδώσει ... ὅτι φήσω τὸ πρέπον διασώζει τῇ τοῦ διαλόγου προθέσει καὶ τῆς περὶ ψυχῆς θεωρίας ὅσον φυσικὸν ἐν τούτοις παραλαμβάνει τὴν πρὸς τὸ σῶμα τῆς ψυχῆς ὁμιλίαν παραδιδούς. ὃ δὴ καὶ Ἀριστοτέλης ζηλώσας ἐν τῇ περὶ ψυχῆς πραγματείᾳ φυσικῶς αὐτὴν μεταχειριζόμενος οὔτε περὶ καθόδου ψυχῆς οὔτε περὶ λήξεων ἐμνημόνευσεν, ἀλλ' ἐν τοῖς διαλόγοις χωρὶς ἐπραγματεύσατο περὶ αὐτῶν καὶ τὸν προηγούμενον κατεβάλλετο λόγον.

35.

Proclus in Plat. remp. (diss. XII) apud Maium Spicileg. Rom. t. VIII Rom. 1842 p. 705: λέγει δὲ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης αἰτίαν δι' ἣν ἐκεῖθεν μὲν ἰοῦσα ἡ ψυχὴ δεῦρο ἐπιλανθάνεται τῶν ἐκεῖ θεαμάτων, ἐντεῦθεν δὲ ἐξιοῦσα μέμνηται ἐκεῖ τῶν ἐνταῦθα παθημάτων. καὶ ἀποδεικτέον τοῦ λόγου· φησὶ γὰρ οὖν καὶ αὐτὸς ἐκ μὲν ὑγείας εἰς νόσον ὁδεύοντας λήθην ἴσχειν τινὰς καὶ αὐτῶν τῶν γραμμάτων ὧν ἐμεμαθήκεισαν, ἐκ νόσου δὲ εἰς ὑγείαν ἰόντα μηδένα πώποτε τοῦτο πάσχειν· ἐοικέναι δὲ τὴν μὲν ἄνευ σώματος ζωὴν ταῖς ψυχαῖς κατὰ φύσιν οὖσαν ⟨ὑγείᾳ, νόσῳ δὲ τὴν ἐν σώματι. ὅθεν⟩ σημαίνει τὰς μὲν ἐκεῖθεν ἰούσας ἐπιλανθάνεσθαι τῶν ἐκεῖ, τὰς δὲ ἐντεῦθεν ἐκεῖσε τῶν ἐνταῦθα διαμνημονεύειν.

36.

Augustinus contra Iulianum Pelag. 4 (15), 78: *quanto ergo te melius veritatique vicinius de hominum generatione senserunt quos Cicero in extremis partibus Hortensii dialogi velut ipsa rerum evidentia ductus compulsusque commemorat. nam cum multa quae videmus et gemimus de hominum vanitate atque felicitate dixisset, ex quibus humanae, inquit, vitae erroribus et aerumnis fit ut interdum veteres illi sive vates sive in sacris initiisque tradendis divinae mentis interpretes, qui nos ob aliqua scelera suscepta in vita superiore poenarum luendarum causa natos esse dixerunt, aliquid vidisse videantur verumque sit illud quod est apud Aristotelem, simili nos affectos esse supplicio atque eos qui quondam, cum in praedonum Etruscorum manus incidissent, crudelitate excogitata necabantur, quorum corpora viva cum mortuis, adversa adversis accommodata quam artissime colligabantur: sic nostros animos cum corporibus copulatos ut vivos cum mortuis esse coniunctos.*

37.

Schol. (Olympiodori et al.) in Plat. Phaed. (p. 111) p. 165 (Finckh): ὅτι δὲ δεῖ τι καὶ ὅλον γένος ἀνθρώπων εἶναι οὕτω τρεφόμενον, δηλοῖ καὶ ὁ τῇδε ταῖς ἡλιακαῖς ἀκτῖσι μόναις τρεφόμενος, ὃν ἱστόρησεν Ἀριστοτέλης ἰδὼν αὐτός.

Schol. al. ad eundem locum p. 203: εἰ ἐνταῦ-

29 εἰ καὶ ed. Ald.
11 ὁδεύοντα Maius. ‖ 14 ὑγείᾳ .. ὅθεν: codicis lacunam sic fere expleas. ‖ 37 *artissime* Bernays: *aptissime* vulgo.

θα ἱστόρησεν Ἀριστοτέλης ἄνθρωπον ἄυπνον καὶ μόνῳ τῷ ἡλιοειδεῖ τρεφόμενον ἀέρι, τί χρὴ περὶ τῶν ἐκεῖ οἴεσθαι;

38.

Plutarch. qu. conv. 8, 9, 3: τὴν δὲ Τίμωνος ἐν Κιλικίᾳ τηθὴν Ἀριστοτέλης ἱστόρηκε φωλεύειν τοῦ ἔτους ἑκάστου δύο μῆνας, μηδενὶ πλὴν μόνῳ τῷ ἀναπνεῖν ὅτι ζῇ διάδηλον οὖσαν.

39.

Olympiodor. in Phaedon. p. 22 (Finckh): καὶ ὁ μὲν Πρόκλος βούλεται τὰ οὐράνια ὄψιν μόνον καὶ ἀκοὴν ἔχειν, καθάπερ καὶ Ἀριστοτέλης· μόνας γὰρ τῶν αἰσθήσεων ἐκείνας ἔχει τὰς πρὸς τὸ εὖ εἶναι συμβαλλομένας, οὐ μὴν τὰς πρὸς τὸ εἶναι, αἱ δὲ ἄλλαι αἰσθήσεις πρὸς τὸ εἶναι συμβάλλονται. καὶ ὁ ποιητὴς δὲ μαρτυρεῖ τούτοις λέγων „ἠέλιος, ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις", ὡς ἂν ὄψιν μόνην καὶ ἀκοὴν αὐτῶν ἐχόντων· καὶ ὅτι αὗται μάλιστα αἱ αἰσθήσεις ἐν τῷ ἐνεργεῖν μᾶλλον γινώσκουσιν ἤπερ ἐν τῷ πάσχειν καὶ οἰκειότεραι αὗται αὐτοῖς ὡς ἀναλλοιώτοις. ὁ δέ γε Δαμάσκιος καὶ τὰς ἄλλας αἰσθήσεις βούλεται αὐτὰ ἔχειν.

40.

Plutarch. consolat. ad Apoll. 27: πολλοῖς γὰρ καὶ σοφοῖς ἀνδράσιν, ὥς φησι Κράντωρ, οὐ νῦν ἀλλὰ πάλαι κέκλαυσται τἀνθρώπινα τιμωρίαν ἡγουμένοις εἶναι τὸν βίον καὶ ἀρχὴν τὸ γενέσθαι ἄνθρωπον συμφορὰν τὴν μεγίστην. τοῦτο δέ φησιν Ἀριστοτέλης καὶ τὸν Σείληνον συλληφθέντα τῷ Μίδᾳ ἀποφήνασθαι. βέλτιον δ' αὐτὰς τὰς τοῦ φιλοσόφου λέξεις παραθέσθαι. φησὶ δὲ ἐν τῷ Εὐδήμῳ ἐπιγραφομένῳ ἢ περὶ ψυχῆς ταυτί· „διὸ περῶσι κράτιστα καὶ μακαριστότατα. καὶ πρὸς τῷ μακαρίους καὶ εὐδαίμονας εἶναι τοὺς τετελευτηκότας νομίζομεν καὶ τὸ ψεύσασθαί τι κατ' αὐτῶν καὶ τὸ βλασφημεῖν οὐχ ὅσιον ὡς κατὰ βελτιόνων καὶ κρειττόνων ἤδη γεγονότων. καὶ ταῦθ' οὕτως ἀρχαῖα καὶ παλαιὰ διατελεῖ νενομισμένα παρ' ἡμῖν, ὥστε τὸ παράπαν οὐδεὶς οἶδεν οὔτε τοῦ χρόνου τὴν ἀρχὴν οὔτε τὸν θέντα πρῶτον, ἀλλὰ τὸν ἄπειρον αἰῶνα τυγχάνουσι διὰ τέλους οὕτω νενομικότες. πρὸς δὲ δὴ τούτοις διὰ στόματος ὂν τοῖς ἀνθρώποις ὁρᾷς ὡς ἐκ πολλῶν ἐτῶν καὶ παλαιοῦ χρόνου περιφέρεται θρυλούμενον — Τί τοῦτ'; ἔφη. Κἀκεῖνος ὑπολαβών· ὡς ἄρα μὴ γίνεσθαι μέν, ἔφη, ἄριστον πάντων, τὸ δὲ τεθνάναι τοῦ ζῆν ἐστὶ κρεῖττον. καὶ πολλοῖς οὕτω παρὰ τοῦ δαιμονίου μεμαρτύρηται. τοῦτο μὲν ἐκείνῳ τῷ Μίδᾳ λέγουσι δήπου μετὰ τὴν θήραν ὡς ἔλαβε τὸν Σειληνὸν διερωτῶντι καὶ πυνθανομένῳ, τί ποτέ ἐστι τὸ βέλτιον τοῖς ἀνθρώποις καὶ τί τὸ πάντων αἱρετώτατον, τὸ μὲν πρῶτον οὐδὲν ἐθέλειν εἰπεῖν ἀλλὰ σιωπᾶν ἀρρήτως· ἐπειδὴ δέ ποτε μόλις πᾶσαν μηχανὴν μηχανώμενος προσηγάγετο φθέγξασθαί τι πρὸς αὐτόν, οὕτως ἀνακαγχάζοντα εἰπεῖν· Δαίμονος ἐπιπόνου καὶ Τύχης χαλεπῆς ἐφήμερον σπέρμα, τί με βιάζεσθε λέγειν ἃ ὑμῖν ἄρειον μὴ γνῶναι; μετ' ἀγνοίας γὰρ τῶν οἰκείων κακῶν ἀλυπότατος ὁ βίος. ἀνθρώποις δὲ πάμπαν οὐκ ἔστι γενέσθαι τὸ πάντων ἄριστον οὐδὲ μετασχεῖν τῆς τοῦ βελτίστου φύσεως· ἄριστον ἄρα πᾶσι καὶ πάσαις τὸ μὴ γενέσθαι· τὸ μέντοι μετὰ τοῦτο καὶ τὸ πρῶτον τῶν ἄλλων ἀνυστόν, δεύτερον δέ, τὸ γενομένους ἀποθανεῖν ὡς τάχιστα. δῆλον οὖν ὡς οὐσης κρείττονος τῆς ἐν τῷ τεθνάναι διαγωγῆς ἢ τῆς ἐν τῷ ζῆν οὕτως ἀπεφήνατο".

41.

Io. Philoponus in Ar. de an. l (c. 4 in.) ed. Ven. 1535 f. E 1ᵃ sup: μεμψάμενος ὁ Ἀριστοτέλης κοινῶς τοὺς περὶ ψυχῆς ἅπαντας εἰπόντας ὅτι μηδὲν περὶ τοῦ δεξομένου αὐτὴν σώματος διελέχθησαν ... οἰκείως ἀκόλουθον τούτοις περὶ ψυχῆς δόξαν συνάπτει. εἰς ταὐτὸ γάρ τινες ἀποβλέψαντες ὅτι οὐχ ὡς ἔτυχε τὸ σῶμα ψυχῆς μετέχει, ἀλλὰ δεῖ τοιᾶσδε κράσεως, ὥσπερ καὶ ἡ ἁρμονία οὐχ ὡς ἔτυχε τῶν χορδῶν ἐχουσῶν γίνεται, ἀλλὰ δεῖ τοσῆσδε τάσεως, ἐνόμισαν καὶ τὴν ψυχὴν ἁρμονίαν εἶναι τοῦ σώματος καὶ πρὸς τοὺς διαφόρους τοῦ σώματος ἁρμονίας τὰ διάφορα εἴδη τῶν ψυχῶν εἶναι. ταύτην οὖν ἐκτίθεται τὴν δόξαν καὶ διελέγχει. καὶ τέως μὲν αὐτὴν τὴν δόξαν μόνην ἐν τούτοις ἱστορεῖ, μετ' ὀλίγα δὲ καὶ τοὺς λόγους δι' ὧν εἰς ταύτην ἐκεῖνοι τὴν δόξαν ὑπήχθησαν τίθησιν. ἤδη δὲ καὶ ἐν ἄλλοις πρὸς ταύτην ἀντεῖπεν τὴν δόξαν, λέγω δὴ ἐν τῷ Εὐδήμῳ διαλόγῳ, καὶ πρὸ αὐτοῦ ὁ Πλάτων ἐν τῷ Φαίδωνι πέντε τισὶ κέχρηται ἐπιχειρήμασι πρὸς ταύτην ἐνιστάμενος τὴν δόξαν . . . (f. E 1ᵇ:) αὗται μὲν οὖν αἱ πέντε ἐπιχειρήσεις αἱ Πλάτωνος. κέχρηται δὲ καὶ αὐτὸς ὁ Ἀριστοτέλης, ὡς ἤδη εἶπον, ἐν τῷ Εὐδήμῳ τῷ διαλόγῳ δύο ἐπιχειρήσεσι ταύταις, μιᾷ μὲν οὕτως· τῇ ἁρμονίᾳ, φησίν, ἔστι τι ἐναντίον, ἡ ἀναρμοστία· τῇ δὲ ψυχῇ οὐδὲν ἐναντίον. οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία ἐστίν. εἴποι δ' ἄν τις πρὸς τοῦτο

32 sic in codd. mel., vulgo διόπερ ὦ κράτιστε πάντων καὶ μακαριστότατε. ‖ 34 νομίζομεν in codd. mel. Usteri, Sauppe: νομίζειν vulgo. ‖ 35 ἡγούμεθα quod vulgo additur post βελτιόνων delevit Bernays. ‖ 40 νενομικότες Vahlen: νενομισμένα codd. ‖ 41 ὃν ego: ἐν vulgo. ‖ 42 καὶ add. Vahlen: om. codd. (quidam omittunt verba παλ. χρόνου). ‖ 44 ἔφη Uster.: ἔφην vulgo.

ᵇ6 ἀρρήτως codd: ἀρρατῶς Bernays. ‖ 8 ἀνακαγχάζοντα Bernays: ἀναγκαζόμενος vulgo. ‖ 14 ἄρα Bernays: γὰρ vulgo.

(ait Alexander) ὅτι τῇ ἁρμονίᾳ ἐναντίον οὐκ ἔστι κυρίως ἐναντίον ἀλλὰ στέρησις ἀόριστος· καὶ τῇ ψυχῇ δ' ὡς εἴδει τινὶ οὔσῃ ἔστι τι ἀντικείμενον ἀόριστον, καὶ ὥσπερ ἐκεῖ φαμὲν τὴν τοιάνδε ἁρμονίαν μεταβάλλειν εἰς τὴν ἀναρμοστίαν, οὕτω καὶ τὴν τοιάνδε στέρησιν μεταβάλλειν εἰς ψυχήν. δευτέρᾳ δέ· τῇ ἁρμονίᾳ, φησί, τοῦ σώματος ἐναντίον ἐστὶν ἡ ἀναρμοστία τοῦ σώματος, ἀναρμοστία δὲ τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος· ὧν τὸ μὲν ἀσυμμετρία τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιομερῶν ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. εἰ τοίνυν ἡ ἀναρμοστία νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ἡ ἁρμονία ἄρα ὑγίεια καὶ ἰσχὺς καὶ κάλλος· ψυχὴ δὲ οὐδέν ἐστι τούτων οὔτε ὑγίεια φημὶ οὔτε ἰσχὺς οὔτε κάλλος· ψυχὴν γὰρ εἶχε καὶ ὁ Θερσίτης αἴσχιστος ὤν. οὐκ ἄρα ἐστὶν ἡ ψυχὴ ἁρμονία. καὶ ταῦτα μὲν ἐν ἐκείνοις. ἐνταῦθα δὲ τέσσαρσι κέχρηται ἐπιχειρήσεσιν ἀνασκευαστικαῖς τῆς δόξης ταύτης, ὧν τὸ τρίτον ἐστὶ τὸ εἰρημένον ἐν τῷ Εὐδήμῳ δεύτερον . . . (f. E 2ᵃ:) „ἁρμόζει δὲ μᾶλλον καθ' ὑγιείας λέγειν ἁρμονίαν καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν ἢ κατὰ ψυχῆς": τοῦτο τρίτον ἐπιχείρημα· ἐστὶ δὲ τὸ δεύτερον τῶν ἐν τῷ Εὐδήμῳ. ὅτι δὲ ἁρμονία ἡ ὑγίεια ἔδειξεν ἐν ἐκείνοις ἐκ τοῦ ἐναντίου τῆς νόσου. εἴπομεν δὲ ἀνωτέρω τὴν ἀγωγὴν τοῦ συλλογισμοῦ.

Simplicius f. 14ᵃ (ed. Ven. Ald. 1527): ἐν κοινῷ δὲ γινομένους λόγους τοὺς συμμέτρως καὶ τοῖς πολλοῖς ἠρωτημένους καλεῖ, αἰνιττόμενος μὲν ἴσως καὶ τοὺς ἐν Φαίδωνι, λέγων δὲ καὶ τοὺς ὑπ' αὐτοῦ ἐν τῷ διαλόγῳ τῷ Εὐδήμῳ γραφέντας ἐλεγκτικοὺς τῆς ἁρμονίας.

Themistius de an f. 70ᵃ (t II p. 54, 3 Speng.): καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς πιθανὴ μὲν οὐδεμιᾶς ἧσσον τῶν λεγομένων, δεδωκυῖα δὲ εὐθύνας καὶ ἐξητασμένη καὶ ἐν τοῖς κοινοῖς λόγοις καὶ ἐν τοῖς ἰδίοις. λέγουσι γάρ τινες αὐτὴν ἁρμονίαν· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν τῶν ἐναντίων εἶναι καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων· τὴν οὖν τἀναντία ταῦτα εἰς συμφωνίαν ἄγουσαν καὶ ἁρμόζουσαν, θερμὰ λέγω καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρὰ καὶ σκληρὰ καὶ μαλακὰ καὶ ὅσαι ἄλλαι ἐναντιώσεις τῶν πρώτων σωμάτων, οὐδὲν ἄλλο εἶναι ἢ τὴν ψυχήν, ὥσπερ καὶ ἡ τῶν φθόγγων ἁρμονία τὸ βαρὺ καὶ τὸ ὀξὺ συναρμόζει. πιθανότητα μὲν οὖν ὁ λόγος ἔχει, διελήλεγκται δὲ πολλαχῇ καὶ ὑπ' Ἀριστοτέλους καὶ ὑπὸ Πλάτωνος. καὶ γὰρ ὅτι τὸ μὲν πρῶτον τοῦ σώματος, τουτέστιν ἡ ψυχή, ἁρμονία δὲ ὕστερον· καὶ ὅτι τὸ μὲν ἄρχει καὶ ἐπιστατεῖ τῷ σώματι καὶ μάχεται πολλάκις, ἁρμονία δὲ οὐ μάχεται τοῖς ἡρμοσμένοις· καὶ ὅτι τὸ μᾶλλον καὶ ἧττον ἁρμονία μὲν δέχεται, ψυχὴ δὲ οὔ· καὶ ὡς ἁρμονία μὲν σῳζομένη οὐ προσίεται ἀναρμοστίαν, ψυχὴ δὲ κακίαν προσίεται· καὶ ὅτι εἴπερ τοῦ σώματος ἡ ἀναρμοστία νόσος ἐστὶν ἢ αἶσχος ἢ ἀσθένεια, ἡ ἁρμονία τοῦ σώματος κάλλος ἂν εἴη καὶ ὑγίεια καὶ δύναμις ἀλλ' οὐ ψυχή, ταῦτα μὲν ἅπαντα εἴρηται ὑπὸ τῶν φιλοσόφων ἐν ἄλλοις· ἃ δὲ νῦν Ἀριστοτέλης φησί, τοιαῦτά ἐστιν . . . ὅτι μὲν οὖν οἱ λέγοντες ἁρμονίαν τὴν ψυχὴν οὔτε ἐγγὺς ἄγαν οὔτε πόρρω τῆς ἀληθείας βάλλειν ἂν δόξειαν, καὶ ἐκ τῶν νῦν εἰρημένων καὶ ἐκ τῶν ἐν ἄλλοις δῆλόν ἐστιν.

Olympiod. vel Procli eclog. schol. in Phaedon. p. 142, 1 (ed. Finckh Heilbr. 1847): Ὅτι ὁ Ἀριστοτέλης ἐν τῷ Εὐδήμῳ οὕτως ἐπιχειρεῖ· τῇ ἁρμονίᾳ ἐναντίον ἐστὶν ἡ ἀναρμοστία, τῇ δὲ ψυχῇ οὐδὲν ἐναντίον· οὐσία γάρ· καὶ τὸ συμπέρασμα δῆλον. ἔτι, εἰ ἀναρμοστία τῶν στοιχείων τοῦ ζώου νόσος, ἡ ἁρμονία εἴη ἂν ὑγίεια ἀλλ' οὐχὶ ψυχή. ib. p. 142, 8: τὸ τρίτον ταὐτὸν τῷ ἐν Εὐδήμῳ δευτέρῳ.

42.

Simplic. in Ar. de an. l. III f. 62ᵃ inf.: ὁ μὲν οὖν Πλάτων καὶ ἐπὶ πάντων εἴωθεν ὁμωνύμως τά τε εἴδη καὶ τὰ κατ' αὐτὰ εἰδοποιούμενα προσαγορεύειν. ὁ δὲ Ἀριστοτέλης ὅταν μὲν μεριστὸν τὸ εἰδοποιούμενον ᾖ, φυλάττεται τὴν ὁμωνυμίαν διὰ τὴν πολλὴν τοῦ μεριστοῦ πρὸς τὸ εἶδος ἀμέριστον ὂν ἀπόστασιν· τὴν δὲ λογικὴν ψυχὴν ὡς μὴ μόνον ὁριζομένην ἀλλὰ καὶ ὅρον οὖσαν· μεταξὺ γὰρ ὡς τοῦ ἀμεριστοῦ καὶ μεριστοῦ ἄμφω πως οὖσα, οὕτω καὶ τοῦ ὅρου καὶ τοῦ ὁριζομένου ἀμφότερον ἐμφαίνουσα, τὸ μὲν ὡς ἀνελιττομένη, τὸ δὲ διὰ τὴν ἀεὶ κατὰ ὅρους μετάβασιν καὶ διὰ τὴν τῶν ἀνειλιγμένων πάντων εἰς ἓν συναγωγὴν ὡς παρισουμένη τῷ ὁρίζοντι νῷ. καὶ διὰ τοῦτο καὶ ἐν τῷ Εὐδήμῳ τῷ περὶ ψυχῆς αὐτῷ γεγραμμένῳ διαλόγῳ εἴδός τι ἀποφαίνεται τὴν ψυχὴν εἶναι, καὶ ἐν τούτοις ἐπαινεῖ τοὺς τῶν εἰδῶν δεκτικὴν λέγοντας τὴν ψυχήν, οὐχ ὅλην ἀλλὰ τὴν νοητικὴν ὡς τῶν ἀληθῶν δευτέρως εἰδῶν γνωστικήν· τῷ γὰρ τῆς ψυχῆς κρείττονι νῷ τὰ ἀληθῆ εἴδη σύστοιχα.

43.

Plutarchus de musica c. 22: δεδειγμένου δὲ ὅτι ὁ Πλάτων οὔτ' ἀγνοίᾳ οὔτ' ἀπειρίᾳ τὰ ἄλλα παρῃτήσατο ἀλλ' ὡς οὐ πρέποντα τοιαύτῃ πολιτείᾳ, δείξομεν

44 πολλαχῇ Spengel: πολλαχοῦ ed. Ald.
b35 ἓν: ὂν ed. ‖ παρισουμένη: -νην ed.

ἑξῆς ὅτι ἔμπειρος ἁρμονίας ἦν. ἐν γοῦν τῇ ψυχογονίᾳ τῇ ἐν τῷ Τιμαίῳ . . . (c. 23:) ὅτι δὲ σεμνὴ ἡ ἁρμονία καὶ θεῖόν τι καὶ μέγα, Ἀριστοτέλης ὁ Πλάτωνος ταυτὶ λέγει „ἡ δὲ ἁρμονία ἐστὶν οὐρανία τὴν φύσιν ἔχουσα θείαν καὶ καλὴν καὶ δαιμονίαν· τετραμερὴς δὲ τῇ δυνάμει πεφυκυῖα δύο μεσότητας ἔχει ἀριθμητικήν τε καὶ ἁρμονικήν, φαίνεταί τε τὰ μέρη αὐτῆς καὶ τὰ μεγέθη καὶ αἱ ὑπεροχαὶ κατ' ἀριθμὸν καὶ ἰσομετρίαν· ἐν γὰρ δυσὶ τετραχόρδοις ῥυθμίζεται τὰ μέρη". ταῦτα μὲν τὰ ῥητά.

V. ΠΕΡΙ ΕΥΧΗΣ.

44.

Seneca quaest. nat. 7, 30, 1: *egregie Aristoteles ait numquam nos verecundiores esse debere quam cum de diis agitur.*

45.

Synesius Dion. 10 p. 271 Krab. (1850): καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους οὐ μαθεῖν τι δεῖν ἀλλὰ παθεῖν καὶ διατεθῆναι, δηλονότι γενομένους ἐπιτηδείους.

46.

Simplicius in Ar. II de caelo p. 218, 20 (Karsten): ὅτι γὰρ ἐννοεῖ τι καὶ ὑπὲρ τὸν νοῦν καὶ τὴν οὐσίαν ὁ Ἀριστοτέλης δῆλός ἐστι πρὸς τοῖς πέρασι τοῦ περὶ εὐχῆς βιβλίου σαφῶς εἰπών, ὅτι ὁ θεὸς ἢ νοῦς ἐστὶν ἢ ἐπέκεινά τι τοῦ νοῦ.

VI. ΠΡΟΤΡΕΠΤΙΚΟΣ.

Vita Salonini Gallieni c. 2 (Script. hist. Aug. ed. Jordan et Eyssenhardt II p. 88, 6): *nec ignota esse arbitror quae dixit Marcus Tullius in Hortensio, quem ad exemplum protreptici scripsit.* cf. Nonius s. contendere: *M. Tullius in Hortensio: magna enim animi contentio adhibenda est explicando Aristotele* (sic) *si leges.*

47.

Io. Stob. floril. 95, 21 (Meineke): ἐκ τῶν Τέλητος ἐπιτομῆς·

. . . Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν σκυτείῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι· πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν ὥστε δαπανᾶν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα καὶ τὸν Κράτητα εἰπεῖν· ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράψειν πρὸς σὲ προτρεπτικόν· πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι ὧν ἔγραψεν Ἀριστοτέλης.

48.

Cic. de fin. 2, 12, 40: *primum (semovendas putabo sententias) Aristippi Cyrenaicorumque omnium, quos non est veritum in ea voluptate quae maxima dulcedine sensum moveret, summum bonum ponere contemnentes istam vacuitatem doloris. hi non viderunt, ut ad cursum equum, ad arandum bovem, ad indagandum canem, sic hominem ad duas res, ut ait Aristoteles, ad intellegendum et agendum esse natum quasi mortalem deum.*

49.

Boethius de consol. phil. 3, 8 p. 1034 Bas: *quod si, ut Aristoteles ait, Lyncei oculis homines uterentur, ut eorum visus obstantia quaeque penetraret, nonne introspectis visceribus illud Alcibiadis superficie pulcerrimum corpus turpissimum videretur?*

50.

Alex. Aphrod. in Ar. top. (Ven. Ald. 1513) p. 80 (p. 266, 15 Br.): ἔστι δὲ ἐφ' ὧν καὶ πάντα τὰ σημαινόμενα λαμβάνοντας ἔστιν ἐπὶ πάντων αὐτῶν ἀνασκευάζειν τὸ κείμενον· οἷον εἰ λέγοι τις ὅτι μὴ χρὴ φιλοσοφεῖν, ἐπεὶ φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο εἴτε χρὴ φιλοσοφεῖν εἴτε καὶ μή, ὡς εἶπεν αὐτὸς ἐν τῷ προτρεπτικῷ, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν μετιέναι, ἑκάτερον αὐτῶν δείζαντες οἰκεῖον τῷ ἀνθρώπῳ πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον. ἐπὶ μὲν οὖν τούτων κατ' ἄμφω ἐνδέχεται δείκνυσθαι τὸ προκείμενον, ἐπὶ δὲ τῶν πρώτων παραδειγμάτων οὐκ ἐπὶ πάντων ἀλλ' ἢ δι' ἑκατέρου ἢ ἔκ τινων.

Anon. schol. in Arist. I analyt. pr. cod. Par. 2064 f. 263[a] (περὶ τῶν εἰδῶν πάντων τοῦ συλλογισμοῦ) . . . τοιοῦτος δὲ (παρασυνημμένος) καὶ ὁ Ἀριστοτέλους λόγος ἐν τῷ προτρεπτικῷ· εἴτε φιλοσοφητέον εἴτε μὴ φιλοσοφητέον, φιλοσοφητέον. ἀλλὰ μὴν ἢ φιλοσοφητέον ἢ οὐ φιλοσοφητέον· πάντως ἄρα φιλοσοφητέον.

9 μέρη R. Westphal: μέλη codd. ‖ 40 ἐπιτομή codd., ut 97, 31 ubi ἐπιτομῇ ed. Tr.
[b]5 γράφειν vulgo, corr. Pflugk. ‖ εἰς σὲ vulgo, corr. Cobet. ‖ 16 *et ad agendum* Halm (Ernesti). ‖ 19 fort. e Ciceronis Hortensio. ‖ 20 *Lyncei* Heitz (cf. Arist. p. 328, 15): *lynceis* codd. ‖ 28 λαμβάνοντες edd.

Olympiodor. in Alcib. (ed. Creuzer 1821) p. 144: καὶ Ἀρ. μὲν ἐν τῷ προτρεπτικῷ ἔλεγεν ὅτι εἴτε φ. φ. εἴτε μὴ φ. φ., πάντως δὲ φιλοσοφητέον.

Elias proleg. philos. prax. 2 (p. 7, 13 Br. = Cramer A. P. IV, 391): ἢ καὶ ὡς φησὶν Ἀριστοτέλης ἐν τῷ προτρεπτικῷ ἐπιγεγραμμένῳ, ἐν ᾧ προτρέπει τοὺς νέους πρὸς φιλοσοφίαν. φησὶ γὰρ οὕτως· εἰ μὲν φιλοσοφητέον φιλοσοφητέον καὶ εἰ μὴ φιλοσοφητέον φιλοσοφητέον· πάντως ἄρα φιλοσοφητέον. τουτέστιν εἰ μὲν γὰρ ἔστι, πάντως ὀφείλομεν φιλοσοφεῖν οὔσης αὐτῆς· εἰ δὲ μή ἐστι, καὶ οὕτως ὀφείλομεν ζητεῖν πῶς οὐκ ἔστι φίλοσοφία, ζητοῦντες δὲ φιλοσοφοῦμεν, ἐπειδὴ τὸ ζητεῖν αἰτία τῆς φιλοσοφίας ἐστίν.

David proleg. philosoph. prax. 4 (p. 13, 2 Br.): καὶ ὁ Ἀριστοτέλης δὲ ἔν τινι προτρεπτικῷ αὐτοῦ συγγράμματι, ἐν ᾧ προτρέπεται τοὺς νέους ἐπὶ φιλοσοφίαν, λέγει ὅτι εἴτε μὴ φιλοσοφητέον φιλοσοφητέον, εἴτε φιλοσοφητέον φιλοσοφητέον, πάντως δὲ φιλοσοφητέον. τουτέστιν ὅτι εἰ λέγει τις μὴ εἶναι φιλοσοφίαν, ἀποδείξεσι κέχρηται δι' ὧν ἀναιρεῖ τὴν φιλοσοφίαν· εἰ δὲ ἀποδείξεσι κέχρηται, δηλονότι φιλοσοφεῖ· μήτηρ γὰρ τῶν ἀποδείξεων ἡ φιλοσοφία. εἴτε λέγει εἶναι φιλοσοφίαν, πάλιν φιλοσοφεῖ· ἀποδείξεσι γὰρ κέχρηται δι' ὧν δείκνυσιν οὖσαν αὐτήν. πάντως οὖν φιλοσοφεῖ καὶ ὁ ἀναιρῶν αὐτὴν καὶ ὁ μὴ ἀναιρῶν· ἑκάτερος γὰρ αὐτῶν ἀποδείξεσι κέχρηται δι' ὧν πιστοῦται τὰ λεγόμενα· εἰ δὲ ἀποδείξεσι κέχρηται, δηλονότι φιλοσοφεῖ· μήτηρ γὰρ τῶν ἀποδείξεων ἡ φιλοσοφία.

VII. ΠΕΡΙ ΠΑΙΔΕΙΑΣ.

51.

Plutarch qu. conviv. 8, 10, 1: αὐτός τε πολλῶν ἀποριῶν ... ὑπεπίμπλατο καὶ τοῖς ἑταίροις μετεδίδου, μαρτυρῶν αὐτῷ τῷ Ἀριστοτέλει λέγοντι τὴν πολυμάθειαν πολλὰς ταραχὰς ποιεῖν.

52.

Diog. Laert. 9, 53: καὶ πρῶτος (ὁ Πρωταγόρας) τὴν καλουμένην τύλην ἐφ' ἧς τὰ φορτία βαστάζουσιν εὗρεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ παιδείας· φορμοφόρος γὰρ ἦν, ὡς καὶ Ἐπίκουρός που φησί. καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημόκριτον, ξύλα δεδεκὼς ὀφθείς.

VIII. ΝΗΡΙΝΘΟΣ.

53.

Themistius orat. 33 p. 356 Dind.: οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ εἴτε παιγνίᾳ ταὐτὸν μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος, οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγραψεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ, αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ πολλῶν ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν ποικίλην.

IX. ΣΟΦΙΣΤΗΣ.

54.

Diog. L. 8, 57: Ἀριστοτέλης δ' ἐν τῷ σοφιστῇ φησὶ πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν.

Diog. L. 9, 25 (de Zenone): φησὶ δ' Ἀριστοτέλης ἐν τῷ σοφιστῇ εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς.

Sextus Empir. adv. dogmat. I, 6 (p. 191 Bekk.): Ἐμπεδοκλέα μὲν γὰρ ὁ Ἀριστοτέλης φησὶ πρῶτον ῥητορικὴν κεκινηκέναι ... Παρμενίδης δὲ οὐκ ἂν δόξαι τῆς διαλεκτικῆς ἀπείρως ἔχειν, ἐπείπερ πάλιν Ἀριστοτέλης τὸν γνώριμον αὐτοῦ Ζήνωνα διαλεκτικῆς ἀρχηγὸν ὑπείληφεν.

55.

Diog. L. 8, 63 (de Empedocle): φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, καθάπερ Θάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας.

15 ex codd. Paris. vid. A. P. p. 72. ‖ 39 ταραχὰς Wytt.: ἀρχὰς codd.
b5 Νήρινθος: fort. leg. Κόρινθος. cf. Κόρινθος ὁ Σωκρατικὸς apud Justin. mart. dial. c. Tryph. in. (Κήρινθος A. P. p. 73). ‖ 10 et 20 fort. τῷ Κορίνθῳ.

56.

Diog. L. 9, 54 (de Protagora): πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν περὶ θεῶν ... ἀνέγνω δ' Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ ἢ ὥς τινες ἐν τῇ Μεγακλείδου, ἄλλοι δ' ἐν Λυκείῳ, μαθητοῦ τὴν φωνὴν αὐτῷ χρήσαντος Ἀρχαγόρου τοῦ Θεοδότου. κατηγόρησε δ' αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων· Ἀριστοτέλης δ' Εὔαθλόν φησιν.

X. ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ Η ΓΡΥΛΛΟΣ.

57.

Diog. Laert. 2, 55: φησὶ δὲ Ἀριστοτέλης ὅτι ἐγκώμια καὶ ἐπιτάφιον Γρύλλου μυρίοι ὅσοι συνέγραψαν, τὸ μέρος καὶ τῷ πατρὶ χαριζόμενοι.

58.

Quintilian. inst. or. 2, 17: *transeamus igitur ad eam quaestionem quae sequitur, an rhetorice ars sit. quod quidem ... ex iis qui praecepta dicendi tradiderunt nemo dubitavit ... sed cum his philosophi et Stoici et Peripatetici plerique consentiunt... (4) equidem illos qui contra disputarunt non tam sensisse quod dicerent quam exercere ingenia materiae difficultate credo voluisse ... (5) quidam naturalem esse rhetoricen volunt ... (7) nihil quod ex arte fiat ante artem fuisse ... (11) non esse artis id quod faciat qui non didicerit, dicere autem homines et qui non didicerint ... (14) Aristoteles ut solet quaerendi gratia quaedam subtilitatis suae argumenta excogitavit in Gryllo. sed idem et de arte rhetorica tres libros scripsit et in eorum primo non artem solum eam fatetur, sed ei particulam civilitatis sicut dialectices assignavit. (15) multa Critolaus contra, multa Rhodius Athenodorus. existens doctrinam eloquencie doctitat, ut declarant Homerica commenta scripta ab eo et Yliadis dictamen quod dedit Alexandro et dyalogus de poetis et tractatus de poetica et rhetorica ...*

59.

Diog. Laert. 8, 57: Ἀριστοτέλης δ' ἐν τῷ σοφιστῇ (fr. 54) ... ἐν δὲ τῷ περὶ ποιητῶν φησὶν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τ' ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος· καὶ δὴ ὅτι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε τοῦ Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ — ἢ θυγάτηρ, ὥς φησιν Ἱερώνυμος — τὸ μὲν προοίμιον ἄκουσα, τὰ δὲ Περσικὰ βουληθεῖσα διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι καὶ πολιτικά.

60.

Diog. L. 8, 51: Ἐμπεδοκλῆς, ὥς φησιν Ἱππόβοτος, Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους, Ἀκραγαντῖνος ... λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις τὴν πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει. (52) Ἀπολλόδωρος δ' ὁ γραμματικὸς ἐν τοῖς χρονικοῖς φησὶν ὡς „ἦν Μέτωνος μὲν υἱός, εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους Γλαῦκος ἐλθεῖν φησίν". εἶθ' ὑποβάς· „οἱ δ' ἱστοροῦντες ὡς οἴκοθεν πεφευγὼς εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι δοκοῦσιν. ἢ γὰρ οὐκέτ' ἦν ἢ παντελῶς ὑπεργεγηρακώς, ὅπερ οὐ φαίνεται. Ἀριστοτέλης γὰρ αὐτόν, ἔτι τε Ἡρακλείδης, ἑξήκοντα ἐτῶν φησὶ τετελευτηκέναι." ὁ δὲ πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα νενικηκὼς κέλητι τούτου πάππος ἦν ὁμώνυμος, ὥσθ' ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι.

Diog. L. 8, 74: περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται· φησὶ γὰρ ἐκεῖνος ἑξήκοντ' ἐτῶν αὐτὸν τελευτῆσαι.

61.

Diog. L. 3, 48: διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην· Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ ποιητῶν Ἀλεξαμενὸν τὸν Στυρέα ἢ Τήιον, ὡς καὶ Φαβωρῖνος ἐν ἀπομνημονεύμασιν. δοκεῖ δέ μοι Πλάτων ἀκριβώσας τὸ εἶδος καὶ τὰ πρωτεῖα δικαίως ἂν ὥσπερ τοῦ κάλλους οὕτω καὶ τῆς εὑρέσεως ἀποφέρεσθαι.

XI. ΠΕΡΙ ΠΟΙΗΤΩΝ.

Vita Aristotelis Marciana (cod. 257) f. 276[a]: ἕως μὲν οὖν ἔτι νέος ἦν, τὴν τῶν ἐλευθέρων ἐπαιδεύετο παιδείαν, ὡς δηλοῖ τὰ γεγραμμένα αὐτῷ Ὁμηρικὰ ζητήματα καὶ ἡ τῆς Ἰλιάδος ἔκδοσις ἣν δέδωκε τῷ Ἀλεξάνδρῳ καὶ ὁ περὶ ποιητῶν διάλογος καὶ τὸ περὶ ποιητικῆς σύγγραμμα καὶ αἱ ῥητορικαὶ τέχναι ...

Vers. lat. vet.: *Aristoteles autem iuvenis adhuc*

30 *in gyrlo* codd. Harl. et Turic.

[b]24 versus senarios cum Meinekio et Clintono restituit Cobet, q. v. ‖ 30 Ἡράκλειτον codd., corr. Sturz. ‖ 32 πάππος Cobet: vulgo πάντως.

Athen. XI p. 505 c: ἐγκώμια αὐτοῦ (τοῦ Μένωνος) διεξέρχεται ὁ τοὺς ἄλλους ἁπαξαπλῶς κακολογήσας (Πλάτων), ἐν μὲν τῇ πολιτείᾳ Ὅμηρον ἐκβάλλων καὶ τὴν μιμητικὴν ποίησιν, αὐτὸς δὲ τοὺς διαλόγους μιμητικῶς γράψας, ὧν τῆς ἰδέας οὐδ' αὐτὸς εὑρετής ἐστι. πρὸ γὰρ αὐτοῦ τοῦθ' εὗρε τὸ εἶδος τῶν λόγων ὁ Τήιος Ἀλεξαμενός, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ καὶ Σωτίων. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ποιητῶν οὕτως γράφει „οὐκοῦν οὐδὲ ἐμμέτρους τοὺς καλουμένους Σώφρονος μίμους μὴ φῶμεν εἶναι λόγους καὶ μιμήσεις, ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηίου τοὺς προτέρους γραφέντας τῶν Σωκρατικῶν διαλόγων"; ἀντικρὺς φάσκων ὁ πολυμαθέστατος Ἀριστοτέλης πρὸ Πλάτωνος διαλόγους γεγραφέναι τὸν Ἀλεξαμενόν.

62.

Diog. L. 3, 37: φησὶ δ' Ἀριστοτέλης τὴν τῶν λόγων ἰδέαν αὐτοῦ (Πλάτωνος) μεταξὺ ποιήματος εἶναι καὶ πεζοῦ λόγου.

63.

Proclus diss. IV (c. 1) in Plat. remp. p. 360 Bas.: Πρῶτον εἰπεῖν χρὴ καὶ διαπορῆσαι περὶ τῆς αἰτίας δι' ἣν οὐκ ἀποδέχεται τὴν ποιητικὴν ὁ Πλάτων ... δεύτερον τί δήποτε μάλιστα τὴν τραγῳδίαν καὶ τὴν κωμικὴν οὐ παραδέχεται καὶ ταῦτα συντελούσας πρὸς ἀφοσίωσιν τῶν παθῶν, ἃ μήτε παντάπασιν ἀποκλίνειν δυνατὸν μήτε ἐμπιπλάναι πάλιν ἀσφαλές, δεόμενα δέ τινος ἐν καιρῷ κινήσεως, ἣν ἐν ταῖς τούτων ἀκροάσεσιν ἐκπληρουμένην ἀνενοχλήτους ἡμᾶς ἀπ' αὐτῶν ἐν τῷ λοιπῷ χρόνῳ ποιεῖν. ... (p. 362:) τὸ δὲ δεύτερον (πρόβλημα), τοῦτο δ' ἦν τὸ τὴν τραγῳδίαν ἐκβάλλεσθαι καὶ κωμῳδίαν ἀτόπως, εἴπερ διὰ τούτων δυνατὸν ἐμμέτρως ἀποπιμπλάναι τὰ πάθη καὶ ἀποπλήσαντας ἐνεργὰ πρὸς τὴν παιδείαν ἔχειν, τὸ πεπονηκὸς αὐτῶν θεραπεύσαντας. τοῦτο δ' οὖν πολλὴν καὶ τῷ Ἀριστοτέλει παρασχὸν αἰτιάσεως ἀφορμὴν καὶ τοῖς ὑπὲρ τῶν ποιήσεων τούτων ἀγωνισταῖς τῶν πρὸς Πλάτωνα λόγων, οὕτωσί πως ἡμεῖς ἑπόμενοι τοῖς ἔμπροσθεν διαλύσομεν ... δεῖν μὲν οὖν τὸν πολιτικὸν διαμηχανᾶσθαί τινας τῶν παθῶν τούτων ἀπεράσεις καὶ ἡμεῖς φήσομεν, ἀλλ' οὐχ ὥστε τὰς περὶ αὐτὰ προσπαθείας συντείνειν, τοὐναντίον μὲν οὖν ὥστε χαλινοῦν καὶ τὰς κινήσεις αὐτῶν ἐμμελῶς ἀναστέλλειν, ἐκείνας δὲ ἄρα τὰς ποιήσεις πρὸς τῇ ποικιλίᾳ καὶ τὸ ἄμετρον ἐχούσας ἐν ταῖς τῶν παθῶν τούτων προκλήσεσι πολλοῦ δεῖν εἰς ἀφοσίωσιν εἶναι χρησίμους· αἱ γὰρ ἀφοσιώσεις οὐκ ἐν ὑπερβολαῖς εἰσὶν ἀλλ' ἐν συνεσταλμέναις ἐνεργείαις, σμικρὰν ὁμοιότητα πρὸς ἐκεῖνα ἔχουσαι ὧν εἰσὶν ἀφοσιώσεις.

64.

Macrob. saturn. 5, 18, 19 (ed. L. Jan p. 460): *morem vero Aetolis fuisse uno tantummodo pede calceato in bellum ire ostendit clarissimus scriptor Euripides tragicus, in cuius tragoedia quae Meleager inscribitur nuntius inducitur describens quo quisque habitu fuerit ex ducibus qui ad aprum capiendum convenerant ... in qua quidem re ... non reticebimus rem paucissimis notam, reprehensum Euripidem ab Aristotele, qui ignorantiam istud Euripidis fuisse contendit, Aetolos enim non laevum pedem habere nudum sed dextrum. quod ne affirmem potius quam probem, ipsa Aristotelis verba ponam ex libro quem de poetis secundo subscripsit, in quo de Euripide loquens sic ait:* τοὺς δὲ Θεστίου κόρους τὸν μὲν ἀριστερὸν πόδα φησὶν Εὐριπίδης ἐλθεῖν ἔχοντας ἀνυπόδετον· λέγει γοῦν ὅτι „τὸ λαιὸν ἴχνος ᾖσαν ἀνάρβυλοι ποδός, τὸ δ' ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ ἔχοιεν". οἷς δὴ πᾶν τοὐναντίον ἔθος τοῖς Αἰτωλοῖς· τὸν μὲν γὰρ ἀριστερὸν ὑποδέδενται, τὸν δὲ δεξιὸν ἀνυποδετοῦσιν. δεῖ γὰρ οἶμαι τὸν ἡγούμενον ἔχειν ἐλαφρόν, ἀλλ' οὐ τὸν ἐμμένοντα.

65.

Diog. Laert. 2, 46 (cf. 8, 49): τούτῳ (τῷ Σωκράτει) τίς, καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ περὶ ποιητικῆς, ἐφιλονείκει Ἀντίλοχος Λήμνιος καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ Κύλων Κροτωνιάτης· καὶ Σύαγρος Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης· καὶ Πινδάρῳ Ἀντιμένης ὁ Κῶος, Θάλητι δὲ Φερεκύδης καὶ Βίαντι Σάλαρος Πριηνεύς, Πιττακῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος καὶ Σιμωνίδῃ Τιμοκρέων.

66.

Pseudo-Plutarch. de vita Hom. 1, 3 (p. 101 Dübner): Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ ποιητικῆς ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ' ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινὰ τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν ταῖς μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρὸς ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην καὶ ἀγαγόντας εἰς Σμύρναν οὖσαν ὑπὸ

11 προτέρους Meineke (Dobraeus): πρώτους vulgo. ‖ 24 συντελοῦσαν et 32 ἀποπλήσαντα, item 39 ἀπεράνσεις (mox om. οὐχ) et 42 τῆς ποικιλίας ed., corr. Bernays.

b20 ᾖσαν (cf. ἐλθεῖν) vel εἶσαν (*instituere* Virg.): vulgo ᾖσαν. ‖ 21 οἷς ego: vulgo ὡς.

Λυδοῖς τότε, τῷ βασιλεῖ τῶν Λυδῶν ὄντι φίλῳ τοὔνομα Μαίονι χαρίσασθαι· τὸν δὲ ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος γῆμαι. ἣν διατρίβουσαν παρὰ τῷ Μέλητι, συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος ἀποκυῆσαι τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ. ὃν ἀναλαβὼν ὁ Μαίων ὡς ἴδιον ἔτρεφε, τῆς Κριθηΐδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης. χρόνου δὲ οὐ πολλοῦ διελθόντος καὶ αὐτὸς ἐτελεύτησε. τῶν δὲ Λυδῶν καταπονουμένων ὑπὸ τῶν Αἰολέων καὶ κρινάντων καταλιπεῖν τὴν Σμύρναν, κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμενον ἀκολουθεῖν ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν Ὅμηρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁμηρεῖν· ὅθεν ἀντὶ Μελησιγενοῦς Ὅμηρος προσηγορεύθη. γενόμενος δ' ἐν ἡλικίᾳ καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος ἤδη ἐπηρώτα τὸν θεόν, τίνων τε εἴη γονέων καὶ πόθεν· ὁ δὲ ἀνεῖλεν οὕτως·

ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

[φέρεται δὲ καὶ ἕτερος χρησμὸς τοιοῦτος . . .] μετ' οὐ πολὺν δὲ χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ Κρόνια· ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικός· ἦλθεν εἰς Ἴον. ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπύθετο εἴ τι ἔχοιεν. οἱ δὲ ἐπὶ τῷ θηράσαι μὲν μηδέν, φθειρίσασθαι δέ, διὰ τὴν ἀπορίαν τῆς θήρας οὕτως ἀπεκρίναντο·

ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσσ' οὐχ ἕλομεν φερόμεσθα,

αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν ἕλαβον τῶν φθειρῶν ἀποκτείναντες κατέλιπον, οὓς δ' οὐκ ἔλαβον ἐν τῇ ἐσθῆτι φέροιεν, ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος διὰ τὴν ἀθυμίαν ἐτελεύτησε. θάψαντες δὲ αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Gellius 3, 11: *Aristoteles tradit ex insulo Io natum.*

Vita Hom. p. 28, 29 (Westerm.): Ὅμηρος ὁ ποιητὴς . . . κατὰ . . . Ἀριστοτέλην τὸν φιλόσοφον Ἰήτης (= vit. al. Hom. ib. p. 31, 6. Cramer A. P. III, 98. Ps. Plut. de vita et poesi Hom. 2, 2. Tzetz. exeg. in Il. p. 8 Herm.).

69.

Antiatticista Bekk. Anecd. I p. 201, 31 s. κυντότατον: Ἀριστοτέλης περὶ ποιητικῆς· „τὸ δὲ πάντων κυντότατον".

XII. ΠΟΛΙΤΙΚΟΣ.

Cic. de fin. 5, 4: *cumque uterque eorum (Aristoteles et Theophrastus) docuisset qualem in republica principem esse conveniret...*

70.

Cicero ep. ad Quintum fr. 3, 5: *hi (de republica) libri cum in Tusculano mihi legerentur audiente Sallustio, admonitus sum ab illo multo maiore auctoritate illis de rebus dici posse, si ipse loquerer de republica, praesertim cum essem non Heraclides Ponticus sed consularis et is qui in maximis versatus in republica rebus essem. quae tam antiquis hominibus attribuerem, ea visum iri ficta esse ... Aristotelem denique quae de republica et praestante viro scribat ipsum loqui.*

XIII. ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Cicero de rep. 3, 8 (p. 248 Mai. class. auct. t. I): *alter autem (Aristoteles) de ipsa iustitia quattuor implevit sane grandes libros.*

71.

Demetrius περὶ ἑρμηνείας c. 28 (Walz. IX, 17): οὔτε δῆτα ἐν δεινότητι χρήσιμα τὰ τοιαῦτα (ὁμοιοτέλευτα), ὡς ἔδειξα, οὔτε ἐν πάθεσι καὶ ἤθεσιν· ἁπλοῦν γὰρ εἶναι βούλεται καὶ ἀποίητον τὸ πάθος, ὁμοίως δὲ καὶ τὸ ἦθος. ἐν γοῦν τοῖς Ἀριστοτέλους περὶ δικαιοσύνης ὁ τὴν Ἀθηναίων πόλιν ὀδυρόμενος εἰ μὲν οὕτως εἴποι ὅτι „ποίαν τοιαύτην πόλιν εἷλον τῶν ἐχθρῶν, οἵαν τὴν ἰδίαν πόλιν ἀπώλεσαν", ἐμπαθῶς ἂν εἰρηκὼς εἴη καὶ ὀδυρτικῶς· εἰ δὲ παρόμοιον αὐτὸ ποιήσει „ποίαν γὰρ πόλιν τῶν ἐχθρῶν τοιαύτην ἔλαβον, ὁποίαν τὴν ἰδίαν ἀπέβαλον" οὐ μὰ τὸν Δία πάθος κινήσει ἀλλὰ τὸν καλούμενον κλαυσιγέλωτα. τὸ γὰρ ἐν πενθοῦσι παίζειν κατὰ τὴν παροιμίαν τὸ τὰ τοιαῦτα ἐν τοῖς πάθεσι κακοτεχνεῖν ἐστί.

72.

Athen. epit. I p. 6[d]: ἄλλοι δὲ φίλιχθυν τὸν Φι-

19 εἰς τὰς Ἀθήνας Ps. Herod. vit. Hom. p. 18, 65 West. et quidem ἐκ τῆς Σάμου, ubi secundum Procli περὶ τῆς τελευτῆς αὐτοῦ λόγον, qui idem est cum Aristoteleo, dicitur p. 25, 27 W. διατρῖψαι μὲν παρὰ Κρεωφύλῳ, γράψαντα δ' Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεωφύλου περιφέρεται. quae manifestum est non nisi Procli errore male aut excerpentis aut excerpti de Io insula potius quam de Samo dicta videri. || 21 Procl. p. 25, 30: θεασάμενον ἁλιεῖς προσειπεῖν αὐτοὺς καὶ ἀνακρῖναι τοῖσδε τοῖς ἔπεσιν· ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες ἦρ' ἔχομέν τι; cf. vit. Hom. p. 28, 20. 30, 37 ubi est ἁλιήτορες ἦ ῥ' ἔχομέν τι; || 28 haec ultima, sicut ex Procli narratione superiora, supplenda sunt ex vit. Hom. p. 30, 43 West. οὐ νοήσας δὲ τὸ λεγόμενον ἀπὸ θλίψεως ἐτελεύτησεν ἐν Ἴῳ τῇ νήσῳ. ἔθαψαν δ' αὐτὸν μεγαλοπρεπῶς οἱ Ἰῆται etc. et ex Procli chrest. gr. p. 25, 38 West. οὕτω δ' ἐκεῖνον ἀθυμήσαντα σύννουν ἀπιέναι τοῦ χρησμοῦ ἔννοιαν λαμβάνοντα καὶ οὕτως ὀλισθέντα περιπταῖσαι λίθῳ καὶ τριταῖον τελευτῆσαι (cf. Cert. Hom. et Hes. p. 45, 29 West.).

[b]19 *viro*: *cive* Bernays. || 35 ἔλαβον: ἀπέλαβον Muretus.

λόξενόν φασιν. Ἀριστοτέλης δὲ φιλόδειπνον ἁπλῶς, ὃς καὶ γράφει που ταῦτα· „δημηγοροῦντες ἐν τοῖς ὄχλοις κατατρίβουσιν ὅλην τὴν ἡμέραν ἐν τοῖς θαύμασι καὶ πρὸς τοὺς ἐκ τοῦ Φάσιδος ἢ Βορυσθένους καταπλέοντας, ἀνεγνωκότες οὐδὲν πλὴν εἰ τὸ Φιλοξένου δεῖπνον οὐδ' ὅλον".

73.

Suidas s. Εὐρύβατος: πονηρὸς ... Νίκανδρος Αἰγιναῖον Εὐρύβατον πανουργότατον, οὗ μνημονεύει Ἀριστοτέλης ἐν α περὶ δικαιοσύνης. . . λέγεται τὸν Εὐρύβατον κλέπτην ὄντα, εἱρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες ἔλυσαν αὐτὸν οἱ φυλάττοντες καὶ ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι, δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενον τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας ἀναδραμεῖν εἰς τοὺς τοίχους. ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὅροφον καὶ ὑπερβάλλοντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπηδῆσαι.

Gregor. Corinth. ad Hermog. περὶ μεθόδου δεινότητος c. 19 (Walz. VII, 2, 1277. cf. Anon. ad eundem Walz. V, 568. Eustath. in Od. p. 1864) Εὐρυβάτου πρᾶγμα: ὁ Εὐρυβάτης οὗτος παλίμβολος γέγονεν ἀνήρ. ὁ δὲ Ἀριστοτέλης κλέπτην μὲν αὐτὸν γενέσθαι, ἁλόντα δὲ ἐπ' αὐτοφώρῳ δεθῆναι καὶ δημοσίᾳ φυλάττεσθαι· κἄπειτα τοὺς φυλάττοντας ἐπιθυμοῦντας θεάσασθαι ὅπως διὰ τῶν τοίχων ἀνιὼν εἰς τὰς οἰκίας παρίοι, λύσαντάς τε αὐτὸν ἐπιδείκνυσθαι παρακαλεῖν. τὸν δὲ τάς τε ἐγκεντρίδας ὑποδυσάμενον καὶ τοὺς σπόγγους λαβόντα ἀναβῆναί τε ῥᾷστα καὶ τὸν ὅροφον τῆς οἰκίας ἐξελεῖν, εἶτα ἐν ὅσῳ περιήεσαν οἱ φύλακες ἑτέρωθεν ὅπως λάβοιεν κατιόντα, οἴχεσθαι φεύγοντα.

74.

Lactant. inst. div. 5, 14: *Carneades autem* (apud Cic. de rep.) *ut Aristotelem refelleret ac Platonem iustitiae patronos, prima illa disputatione collegit ea omnia quae pro iustitia dicebantur, ut posset illa, sicut fecit, evertere.*

Lactant. epitom. 55: *plurimi quidem philosophorum, sed maxime Plato et Aristoteles, de iustitia multa dixerunt, asserentes et extollentes eam summa laude virtutem, quod suum cuique tribuat, quod aequitatem in omnibus servet, et cum ceterae virtutes quasi tacitae sint et intus inclusae, solam esse iustitiam quae nec sibi tantum conciliata sit nec occulta sed foras tota promineat et ad bene faciendum prona sit ut quam plurimis prosit.*

75.

Plutarch. de Stoicorum repugn. c. 13: (ὁ Χρύσιππος ἐν τῷ γ περὶ δικαιοσύνης . . .) Ἀριστοτέλει περὶ δικαιοσύνης ἀντιγράφων οὔ φησιν αὐτὸν ὀρθῶς λέγειν ὅτι τῆς ἡδονῆς οὔσης τέλους ἀναιρεῖται μὲν ἡ δικαιοσύνη, συναναιρεῖται δὲ τῇ δικαιοσύνῃ καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστη.

76.

Porphyrius comm. in Ar. περὶ ἑρμηνείας (ad verba ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα) apud Boethium ed. sec. in l. de interpret. ed. Ven. Io. et Greg. de Gregoriis 1499 fol. 85[b] (Ven. 1491 f. 67[b]): *putabant namque alii res vocibus designari . . . alii vero incorporeas quasdam naturas . . . alii vero sensus, alii imaginationes significari vocibus arbitrabantur. cum igitur ista esset contentio apud superiores et hoc usque ad Aristotelis pervenisset aetatem, necesse fuit ut qui nomen et verbum significativa esse dicturus erat, praediceret quorum ista designativa sint. Aristoteles enim nominibus et verbis res subiectas significari non putat nec vero sensus vel etiam imaginationes. sensuum quidem non esse significativas voces nomina et verba in opere de iustitia sic declarat dicens:* φύσει γὰρ διηνέχθησαν τά τε νοήματα καὶ τὰ αἰσθήματα, *quae interpretari Latine potes hoc modo: natura enim sunt diversa intellectus et sensus. differre igitur aliquid arbitratur sensus atque intellectus, sed qui passiones animae a vocibus significari dicit, is non de sensibus loquitur. sensus enim passiones corporis sunt . . . neque magis de imaginationibus, ut probatur in libris de anima. intellectus igitur vult.*

77.

Athenaeus VIII p. 335[f]: τί γὰρ τῶν ἐπιτριψαι δυναμένων παρέλιπεν ὁ καλὸς οὗτος ἐποποιὸς (Ἀρχέστρατος) καὶ μόνος ζηλώσας τὸν Σαρδαναπάλλου τοῦ Ἀνακυνδαράξεω βίον, ὃν ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη.

Cicero Tuscul. 5, 35: *ex quo Sardanapalli opulentissimi Syriae regis error agnoscitur, qui incidi iussit in busto:*

12 καὶ add. Boissonn.: om. codd. ‖ 15 περιθέμενος codd., corr. Boiss. ‖ 28 πάρεισι cod. Mon. ‖ τὲ: τέως Mon. ‖ 29 ὑποδησάμενον Reiske. ‖ 32 καταλάβοιεν Mon.

[b]20 *haec* ed. Bas. (p. 298). ‖ 22 *s. esset diffinitur*us Bas. ‖ 26 *sensum* Bas. ‖ 27 *sic* om. Bas. ‖ 29 *potest* vulgo. ‖ 33 *de* om. Bas.

haec habeo quae edi quaeque exsaturata libido hausit: at illa iacent multa et praeclara relicta. quid aliud, inquit Aristoteles, in bovis, non in regis sepulcro inscriberes? haec habere se mortuum dicit, quae ne vivus quidem diutius habebat quam fruebatur. (Strabo XIV p. 672: καὶ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί „ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος τέρπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται".

Cicero de fin. 2, 32, 106: *corporis autem voluptas si etiam praeterita delectat, non intelligo cur Aristoteles Sardanapalli epigramma tanto opere derideat, in quo ille rex Syriae glorietur omnes se secum libidinum voluptates abstulisse. quod enim ne vivus quidem, inquit, diutius sentire poterat quam dum fruebatur, quo modo id potuit mortuo permanere?*

Vers. ant. lat.: *ut autem et omnibus hominibus universaliter benefaceret, scripsit Alexandro librum de regno, docens ipsum qualiter oportet regnare. et in tantum movit animam Alexandri ad benefaciendum quod dicebat: quod non benefeci aliquibus hodie, non regnavi.*

79.

Themistius orat. 8 p. 128 Dind.: Πλάτων μὲν οὖν, εἰ καὶ τὰ ἄλλα πάντα θεῖος καὶ αἰδοῖος, ἀλλὰ τοῦτόν γε ἀτεχνῶς ἀποκεκινδυνευμένως προήκατο λόγον, ὅτι μὴ πρότερον τὰ κακὰ λήξει τοῖς ἀνθρώποις πρὶν ἂν ἢ φιλόσοφοι βασιλεύσωσιν ἢ βασιλεῖς φιλοσοφήσωσιν. ἐλήλεγκται δὲ ὁ λόγος καὶ δέδωκεν εὐθύνας τῷ χρόνῳ. ἄγασθαι δὲ ἄξιον Ἀριστοτέλην, ὅτι μικρὸν τὰ Πλάτωνος ῥήματα μεταθεὶς τὸν λόγον πεποίηκεν ἀληθέστερον, φιλοσοφεῖν μὲν τῷ βασιλεῖ οὐχ ὅπως ἀναγκαῖον εἶναι φάσκων ἀλλὰ καὶ ἐμποδών, τὸ δὲ φιλοσοφοῦσιν ἀληθινῶς ἐντυγχάνειν εὐπειθῆ καὶ εὐήκοον· ἔργων γὰρ ἀγαθῶν τὴν βασιλείαν ἐνέπλησεν, οὐχὶ ῥημάτων.

XIV. ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Pseudo-Ammonius introd. in categorias (Ven. 1545 f. 9[b]): μερικὰ μὲν οὖν ἐστὶν ὅσα πρός τινα ἰδίᾳ γέγραπται, ὡς ἐπιστολαὶ ἢ ὅσα ἐρωτηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος περί τε βασιλείας καὶ ὅπως δεῖ τὰς ἀποικίας ποιεῖσθαι γεγράφηκε (cf. Sch. Br. p. 35[b] 14).

Cicero ep. ad Att. 12, 40: συμβουλευτικὸν (*ad Caesarem*) *saepe conor, nihil reperio. et quidem mecum habeo et* Ἀριστοτέλους *et* Θεοπόμπου πρὸς Ἀλέξανδρον. *sed quid simile? illi et quae ipsis honesta essent scribebant et grata Alexandro. ecquid tu eius modi reperis?*

idem ad Att. 13, 28: *sed in mentem nihil venit. nam quae sunt ad Alexandrum hominum eloquentium et doctorum suasiones vides quibus in rebus versentur. adolescentem incensum cupiditate verissimae gloriae, cupientem sibi aliquid consilii dari quod ad laudem sempiternam valeret, cohortantur.*

78.

Pseudo-Ammonii vita Arist. (ante comm. in categ. Ven. 1545 f. 5[b]): τῷ δ' Ἀλεξάνδρῳ καὶ περὶ βασιλείας ἔγραψεν ἐν ἑνὶ μονοβίβλῳ, παιδεύων αὐτὸν ὅπως δεῖ βασιλεύειν.

Vit. Arist. Marc. f. 276[a] extr. (p. 5, 2 Robbe): ἵνα δὲ καὶ πάντας ἀνθρώπους εὐεργετήσῃ, γράφει τῷ Ἀλεξάνδρῳ βιβλίον περὶ βασιλείας, διδάσκων ὅπως βασιλευτέον. ὅπερ οὕτως ἔδρασεν εἰς τὴν Ἀλεξάνδρου ψυχὴν ὡς λέγειν, ὅτε μὴ ὠφέλησέ τινα „σήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ εὖ ἐποίησα."

XV. ΑΛΕΞΑΝΔΡΟΣ Η ΥΠΕΡ ΑΠΟΙΚΩΝ.

80.

Ps. Ammon. in cat. f. 9[b]: ὅπως δεῖ τὰς ἀποικίας ποιεῖσθαι γεγράφηκε.

81.

Plutarch. de fortuna Alex. 1, 6: οὐ γὰρ ὡς Ἀριστοτέλης συνεβούλευεν αὐτῷ (Ἀλεξάνδρῳ), τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβάροις δεσποτικῶς χρώμενος καὶ τῶν μὲν ὡς φίλων καὶ οἰκείων ἐπιμελούμενος, τοῖς δὲ ὡς ζώοις ἢ φυτοῖς προσφερόμενος, πολεμοποιῶν φυγῶν ἐνέπλησε καὶ στάσεων ὑπούλων τὴν ἡγεμονίαν, ἀλλὰ κοινός ...

Strabo I p. 66: ἐπὶ τέλει δὲ τοῦ ὑπομνήματος οὐκ ἐπαινέσας (ὁ Ἐρατοσθένης) τοῦς δίχα διαιροῦντας ἅπαν τὸ τῶν ἀνθρώπων πλῆθος εἴς τε Ἕλληνας καὶ βαρβάρους καὶ τῷ Ἀλεξάνδρῳ παραινοῦντας τοῖς μὲν Ἕλλησιν ὡς φίλοις χρῆσθαι τοῖς δὲ βαρβάροις ὡς πολεμίοις, βέλτιον εἶναί φησιν ἀρετῇ καὶ κακίᾳ διαιρεῖν ταῦτα ... καὶ ὁ Ἀλέξανδρος οὖν οὐκ ἀμελήσας τῶν παραινούντων ἀλλ' ἀποδεξάμενος τὴν γνώμην, τὰ ἀκόλουθα, οὐ τὰ ἐναντία ἐποίει, πρὸς τὴν διάνοιαν σκοπῶν τὴν τῶν ἐπεσταλκότων.

8 σὺν ἔρωτι Ath. ‖ 9 λέλειπται: ita etiam Cic. et Diod. 2, 23, λέλυνται Ath. ‖ 43 διδάσκον cod., sed supra -κον est ῶν (sic). ‖ 45 cod. sec. meum apogr. ὠφέλησ⟨.⟩, τιν⟨.⟩, σήμερον, οὐκ etc.

XVI. ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ.

82.

Stob. flor. 86, 24: ἐκ τοῦ Ἀριστοτέλους περὶ εὐγενείας.

ὅλως περὶ εὐγενείας ἐγὼ ἀπορῶ τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. Εἰκότως γε, ἔφην, τοῦτο σὺ διαπορῶν· καὶ γὰρ παρὰ τῶν πολλῶν καὶ μᾶλλον παρὰ τῶν σοφῶν τὰ μὲν ἀμφισβητεῖται τὰ δ' οὐ λέγεται σαφῶς, εὐθὺς τὰ περὶ τῆς δυνάμεως. λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων ἤ, καθάπερ Λυκόφρων ἔγραψε, κενόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτήν, εὐγενείας μὲν οὖν φησὶν ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνόν· ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δ' ἀλήθειαν οὐθὲν διαφέροντας τοὺς ἀγεννεῖς τῶν εὐγενῶν.

83.

Stob. flor. 86, 25: ἐν τῷ αὐτῷ.

ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστι, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. οἱ μὲν γὰρ τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης· διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων· καίτοι κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτιμῶσιν ὁ Θεόγνις οὐδ' ὁ ποιητὴς ὁ ποιήσας ὡς ὅτι „τὴν μὲν εὐγένειαν αἰνοῦσιν βροτοί, μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις". ἢ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς ἢ οὗ ὁ πρόπαππος ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης; Πῶς γὰρ οὐκ, εἶπε. Καὶ δέοι δ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον ἢ τοῖς εὐγενέσιν· εὐγενεῖς γὰρ οἱ παλαιοί, κρείττους δὲ οἱ νῦν. οὐκ οὖν ὁμοίως κἄν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι; κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου, αἱρετώτερον δ' αὐτὸν εἶναι σπουδαῖον ἀλλ' οὐ τὸν πρόπαππον ἤ τινα τῶν ἄλλων προγόνων. Ὀρθῶς, ἔφη, λέγεις. Ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν, σκεπτέον ἄλλον τρόπον τίνι τοῦτο ἔνι ποτέ; Σκεπτέον δ' ἔφη. Τὸ εὖ σημαίνει τι δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον καὶ τὸ εὐόφθαλμον· ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. Πάνυ γε, εἶπεν. Οὐκ οὖν εὐπρόσωπον μέν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν; Οὕτως, εἶπεν. Ἀλλὰ μήν ἐστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον ἀλλ' οὐ σπουδαῖον. Πάνυ γε, εἶπε. Σπουδαῖον δέ γε φαμὲν ἕκαστον κατὰ τὴν αὐτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. Οὕτως, εἶπε. Δῆλον ἄρ', ἔφην, ὅτι ἐστὶν ἡ εὐγένεια ἀρετὴ γένους.

84.

Diog. Laert. 2, 26: φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν (τὸν Σωκράτην) ἀγαγέσθαι, προτέραν μὲν Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπροκλέα· δευτέραν δὲ Μυρτὼ τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα, ἣν καὶ ἄπροικον λαβεῖν, ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον.

Plutarch. vit. Aristid. 27: Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης, εἰ δὴ τὸ περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον, ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην.

Athen. XIII p. 556ᵃ: ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτώ, οὐ τοῦ δικαίου καλουμένου, οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν, ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεύς, Σάτυρος ὁ περιπατητικός, Ἀριστόξενος, οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τῷ περὶ εὐγενείας.

85.

Stob. flor. 88, 13: ἐκ τοῦ Ἀριστοτέλους περὶ εὐγενείας.

Φανερὸν τοίνυν, ἔφην ἐγώ, περὶ ὧν πάλαι διηπορήσαμεν, διὰ τί ποτε οἱ ἐκ πάλαι πλουσίων ἢ οἱ ἐκ πάλαι σπουδαίων εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς ταγαθὰ κεκτημένων. αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὢν ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. καί τινες εἰρήκασιν οὕτως, ἐκ τούτου διελέγχειν προσποιούμενοι τοῦ συλλογισμοῦ τὴν εὐγένειαν, ὥσπερ φησὶ καὶ Εὐριπίδης οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς. τὸ δ' οὐκ ἔστιν· ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν προτιθέντες. τὰ δ' αἴτια εἴπομεν, τουτέστιν ὅτι ἡ μὲν εὐγένειά ἐστιν ἀρετὴ γένους, ἡ δ' ἀρετὴ

3 ita cod. A, ed. Trinc. Ven. 1536 brevius Ἀριστοτέλους. ‖ 6 σὺ Wyttenbach: εὖ codd. ‖ 10 ὁ σοφιστὴς add. ed. Ven. ‖ καινόν codd., corr. Jacobs. ‖ 12 εὐγένειαν codd., corr. Jacobs. ‖ 12 φησὶν Jacobs: ἧς codd. ‖ 17 deest lemma in Ven. ‖ 24 post πλουσίων add. codd. φάναι. ‖ 29 δέοιτ' ἂν codd., corr. Halm. ‖ 35 αὐτόν Gesn.: αὐτοῦ codd. ‖ 37 λέγειν codd., corr. Cobet. ‖ 39 τίνι τοῦτο ἔνι ποτέ; Bernays: τίνα (Τίνα ed.) τοῦτον ἐνίοτε codd.

ᵇ30 sic cod. A, sine lemm. ed. Ven. ‖ 38 ἐκ τοῦ δ. π. τὸν συλλογισμὸν τῆς εὐγενείας vulgo, corr. Bernays. ‖ 40 οἷς τισιν A, οἷς τὶς ἀνὴρ ἀγαθοὶ Ven., corr. Gesner.

σπουδαῖον· σπουδαῖον δ' ἐστὶ γένος ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷάπερ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει καὶ οὕτω σπουδαῖος ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι, ἄν τε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων, ἵπποι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων. ὥστ' εὐλόγως οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοὶ ἀλλ' οἱ ἐκ πάλαι πλουσίων ἢ ἐκ πάλαι ἀγαθῶν εὐγενεῖς εἶεν ἄν. ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ· ἀρχὴ γὰρ ἄνωθεν πάντων. οὐ μὴν ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν εὐγενεῖς πάντως, ἀλλ' ὅσοις τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν αὐτὸς ἀγαθός ᾖ, μὴ ἔχῃ δὲ τοιαύτην δύναμιν τῆς φύσεως ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει ἡ ἀρχὴ τοιαύτην δύναμιν ἐν τούτοις.

... ἀρετὴ τοῦ γένους καὶ εὐγενεῖς οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. οὐ γὰρ δι' αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθόν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.

XVII. ΠΕΡΙ ΠΛΟΥΤΟΥ.

86.

Plutarch. Pelopid. 3: τῶν γὰρ πολλῶν, ὡς Ἀριστοτέλης φησίν, οἱ μὲν οὐ χρῶνται τῷ πλούτῳ διὰ μικρολογίαν, οἱ δὲ παραχρῶνται δι' ἀσωτίαν, καὶ δουλεύοντες οὗτοι μὲν ἀεὶ ταῖς ἡδοναῖς, ἐκεῖνοι δὲ ταῖς ἀσχολίαις διατελοῦσιν.

Plut. de cupid. divit. 8: Ἀριστοτέλους λέγοντος ὅτι οἱ μὲν οὐ χρῶνται, οἱ δὲ παραχρῶνται, καθάπερ οὐδετέρου προσήκοντος· ἀλλ' ἐκείνους μὲν οὐκ ὠφελεῖ τὸ οἰκεῖον οὐδὲ κοσμεῖ, τούτους δὲ καὶ βλάπτει καὶ καταισχύνει.

87.

Cicero de off. 2, 16 (Baiter in ed. Tur. II): *quanto Aristoteles gravius et verius nos reprehendit, qui has pecuniarum effusiones non admiremur quae fiunt ad multitudinem deleniendam. at ii qui ab hoste obsidentur si emere aquae sextarium cogantur mina, hoc primo auditu incredibile nobis videri omnesque mirari, sed cum attenderint veniam necessitati dare: in his inmanibus infinitisque sumptibus nihil nos magno opere mirari, cum praesertim neque necessitati subveniatur nec dignitas augeatur, ipsaque illa delectatio multitudinis sit ad breve exiguumque tempus eaque a levissimo quoque. in quo tamen ipso una cum saetietate memoria quoque moriatur voluptatis. bene etiam colligit haec pueris et mulierculis et servis et servorum simillimis liberis esse grata, gravi vero homini et ea quae fiunt iudicio certo ponderanti probari posse nullo modo.*

88.

Ioannes Lydus de mensibus 4, 62 p. 252 (ed. Roether. Lips. 1827): τὴν Τύχην Φορτοῦναν λέγουσιν οἱ Ῥωμαῖοι ἀπὸ τῆς φορᾶς, ἔνθουν ὠφέλειαν. Ἀριστοτέλης· εἰ ἔστιν ἀρετή, οὐκ ἔστι τύχη. ἄνω γὰρ καὶ κάτω τὰ τῆς τύχης ἐν τοῖς ἀνθρωπίνοις γυμνάζεται πράγμασι πλούτῳ τε καὶ διαφερόντως ἀδικίᾳ, οἱ δὲ πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν μακαρίων καὶ ἀύλων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν· οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησί.

Ibidem 4, 7 p. 156: οἱ Ῥωμαῖοι ... αὐτὴν ... πάντων ἡγεῖσθαι νενομίκασιν, Φορτοῦναν αὐτὴν ἀπὸ τῆς φορᾶς ἐμφερῶς ὀνομάσαντες. οἱ μὲν οὖν πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν ἀύλων καὶ μακαρίων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν. εἰ μὲν γὰρ τύχη ἐστί, οὐδὲν δεῖ θεοῦ· εἰ δὲ θεὸς σθένει, οὐδὲν ἡ τύχη· εἰκαῖον γάρ τι καὶ ἀνούσιον τὸ τῆς τύχης ὄνομα.

89.

Io. Stobaeus flor. 3, 54 (Maximus mon. serm. c. ιζ̄): νόμιζε δὲ τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι, ἀλλ' ἐν τῷ τὴν ψυχὴν εὖ διακεῖσθαι. καὶ γὰρ οὐδὲ τὸ σῶμα οὐ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγίειαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον

15 codd. ὅσοι ‖ 16 ᾖ add. Meineke. ‖ 18 οὐκ ἔχει ἀρχὴν· (ἐν ὅσοις δὲ) τοιαύτη δύναμις, ἐν τούτοις ἀρχὴ τοῦ γένους etc. Bernays, οὐκ ἔχει ἀρχὴν (ἡ ἀρχὴ corr. Gesn.) τοιαύτην δύναμιν ἐν τούτοις. ἀρχὴ τοῦ γένους etc. vulgo.

b2 *cogantur* Baiter cum codd. cp saec. XIII: *cogerentur* codd. ant. ‖ 2 *auditu* om. codd. ant. ‖ 8 *sit* om. Baiter cum codd., mox post *tempus* lacunam indicans (auctore Lund). ‖ 36 νομίζομεν δὲ Max. νομίζειν δεῖ La., νόμιζε Stob. ‖ 37 ἀλλ': μᾶλλον δὲ M. ‖ 37 τὴν ψυχὴν Meineke ex corr. cod. A, τῇ ψυχῇ vulgo. ‖ 38 οὐ τὸ: sic Mein. ex cod. A, αὐτὸ τὸ vulgo Stob. καὶ γὰρ τὸ σῶμα οὐ τὸ M. ‖ 39 ἂν add. M. ‖ 41 παρακειμένων M. ‖ 41 καὶ ψυχὴν M.

ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν, οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος αὐτὸς μηδενὸς ἄξιος ὤν. οὐδὲ γὰρ ἵππον κἂν ψέλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ αὐτὸς φαῦλος ὤν, τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι, ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν. καὶ τοῦτο κατ' ἀλήθειαν οὕτως ἔχει· τίκτει γάρ, ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν, ἀπαιδευσία δὲ μετ' ἐξουσίας ἄνοιαν. τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς οὔτε πλοῦτος οὔτε ἰσχὺς οὔτε κάλλος τῶν ἀγαθῶν ἐστίν· ἀλλ' ὅσῳ περ ἂν αὗται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ καὶ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι χωρὶς φρονήσεως παραγενόμεναι.

XVIII. ΕΡΩΤΙΚΟΣ.

90.

Athen. XV p. 674ᵇ: Ἀριστοτέλης δ' ἐν δευτέρῳ ἐρωτικῶν καὶ Ἀρίστων ὁ περιπατητικός, Κεῖος δὲ τὸ γένος, ἐν δευτέρῳ ἐρωτικῶν ὁμοίων φασὶν ὅτι οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον πόνους τῶν κεφαλαλγιῶν δεσμοὺς εὕρισκον τοὺς τυχόντας, τῆς τῶν κροτάφων συνδέσεως ὠφελεῖν δοκούσης· οἱ δ' ὕστερον ἅμα τῷ κροτάφῳ προσέβαλόν τινα καὶ κόσμον οἰκεῖον τῇ παρὰ τὸν οἶνον διαγωγῇ μηχανησάμενοι τὸν στέφανον. βέλτιον δὲ διὰ τὸ πάσας τὰς αἰσθήσεις ἐν τῇ κεφαλῇ εἶναι ταύτην στεφανοῦσθαι ἢ διὰ τὸ συμφέρειν ἐσκεπάσθαι καὶ συνδεδέσθαι τοὺς κροτάφους πρὸς τὸν οἶνον.

91.

Athen. XIII p. 564ᵇ: καὶ ὁ Ἀριστοτέλης δὲ ἔφη τοὺς ἐραστὰς εἰς οὐδὲν ἄλλο τοῦ σώματος τῶν ἐρωμένων ἀποβλέπειν ἢ τοὺς ὀφθαλμούς, ἐν οἷς τὴν αἰδὼ κατοικεῖν.

92.

Plut. Pelopid. 18: ... λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ καὶ καθ' αὑτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς.

Plut. erot. c. 17: Ἡρακλέους δὲ τοὺς μὲν ἄλλους ἔρωτας ἔργον ἐστὶν εἰπεῖν διὰ πλῆθος, Ἰόλαον δὲ νομίζοντες ἐρώμενον αὐτοῦ γεγονέναι μέχρι νῦν σέβονται καὶ τιμῶσιν ἔρωτος ὅρκους τε καὶ πίστεις ἐπὶ τοῦ τάφου παρὰ τῶν ἐρωμένων λαμβάνοντες.

93

Plutarch. erot. c. 17: Κλεόμαχον δὲ τὸν Φαρσάλιον ἴστε δήπουθεν ἐξ ἧς αἰτίας ἐτελεύτησεν ἀγωνιζόμενος; ... ἧκεν ἐπίκουρος Χαλκιδεῦσι μετὰ τοῦ Θεσσαλικοῦ, πολέμου πρὸς Ἐρετριεῖς ἀκμάζοντος. καὶ τὸ μὲν πεζὸν ἐδόκει τοῖς Χαλκιδεῦσιν ἐρρῶσθαι, τοὺς δ' ἱππέας μέγα ἔργον ἦν ὤσασθαι τῶν πολεμίων· παρεκάλουν δὴ τὸν Κλεόμαχον ἄνδρα λαμπρὸν ὄντα τὴν ψυχὴν οἱ σύμμαχοι πρῶτον ἐμβάλλειν εἰς τοὺς ἱππέας. ὁ δὲ ἠρώτησε παρόντα τὸν ἐρώμενον, εἰ μέλλοι θεᾶσθαι τὸν ἀγῶνα. φήσαντος δὲ τοῦ νεανίσκου καὶ φιλοφρόνως αὐτὸν ἀσπασαμένου καὶ τὸ κράνος ἐπιθέντος, ἐπιγαυρωθεὶς ὁ Κλεόμαχος καὶ τοὺς ἀρίστους τῶν Θεσσαλῶν συναγαγὼν περὶ αὐτὸν ἐξήλασε λαμπρῶς καὶ προσέπεσε τοῖς πολεμίοις ὥστε συνταράξαι καὶ τρέψασθαι τὸ ἱππικόν. ἐκ δὲ τούτου καὶ τῶν ὁπλιτῶν φυγόντων, ἐνίκησαν κατὰ κράτος οἱ Χαλκιδεῖς· τὸν μέντοι Κλεόμαχον ἀποθανεῖν συνέτυχε, τάφον δ' αὐτοῦ δεικνύουσιν ἐν ἀγορᾷ Χαλκιδεῖς, ἐφ' οὗ μέχρι νῦν ὁ μέγας ἐφέστηκε κίων· καὶ τὸ παιδεραστεῖν πρότερον ἐν ψόγῳ τιθέμενοι τότε μᾶλλον ἑτέρων ἠγάπησαν καὶ ἐτίμησαν. Ἀριστοτέλης δὲ τὸν μὲν Κλεόμαχον ἄλλως ἀποθανεῖν φησὶ κρατήσαντα τῶν Ἐρετριέων τῇ μάχῃ, τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων γενέσθαι πεμφθέντα τοῖς ἐν Εὐβοίᾳ Χαλκιδεῦσιν ἐπίκουρον· ὅθεν ᾄδεσθαι παρὰ τοῖς Χαλκιδεῦσιν „Ὦ παῖδες οἱ χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν, μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν· σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς Ἔρως ἐπὶ Χαλκιδέων θάλλει πόλεσιν".

XIX. ΠΕΡΙ ΠΑΘΩΝ ΟΡΓΗΣ

(Ἀριστοτέλους ἢ Πασικράτους).

94.

Seneca de ira 1, 3: *Aristotelis finitio non multum a nostra abest. ait enim iram esse cupiditatem doloris reponendi.*

Sen. ib. 1, 9, 2: *ira, inquit Aristoteles, necessaria est, nec quicquam sine illa expugnari potest, nisi illa implet animum et spiritum accendit. utendum autem illa est non ut duce sed ut milite.*

1 τοῖς: τις M. ‖ 3 οὐδὲ Meineke: οὔτε vulgo Stob. ‖ κἂν: ἐὰν M. ‖ 4 αὐτός add. Meineke. ‖ 9 νομίζειν: huc usque Max. (ed. et La).

ᵇ6 μετὰ om. codd. et ante Dübnerum edd. (ubi Χαλκιδεῦσι, τοῦ Θετταλικοῦ πολέμου).

Sen. ib. 1, 17, 1: *Aristoteles ait affectus quosdam si quis illis bene utatur pro armis esse.*

Sen. ib. 3, 3, 1: *atqui, ut in prioribus libris dixi, stat Aristoteles defensor irae et vetat illam nobis exsecari. calcar ait esse virtutis. hac erepta inermem animum et ad conatus magnos pigrum inertemque fieri.* 3, 3, 5: *non est ergo quod me putes tempus in supervacuis consumere, quod iram quasi dubiae apud homines opinionis sit infamem, cum aliquis sit et quidem de inlustribus philosophis, qui illi indicat operas et tamquam utilem et spiritus subministrantem in proelia, in actus rerum, ad omne quodcumque calore aliquo gerendum est vocet.*

Sen. ib. 1, 7, 1: *numquid . . . ira adsumenda est, quia utilis saepe fuit? extollit animos et incitat, nec quicquam sine illa magnificum in bello fortitudo gerit, nisi hinc flamma subdita est et hic stimulus peragitavit misitque in pericula audaces. optimum itaque quidam putant temperare iram, non tollere, eoque detracto quod exundat ad salutarem modum cogere, id vero retinere sine quo languebit actio et vis ac vigor animi resolvetur.*

Cicero Tusc. disp. 4, 19: *quid? quod iidem Peripatetici* (scil. *qui perturbari animos necesse esse dicunt, sed adhibent modum quendam, quem ultra progredi non oporteat* 4, 17, 38) *perturbationes istas, quas nos exstirpandas putamus, non modo naturales esse dicunt sed etiam utiliter a natura datas. quorum est talis oratio. primum multis verbis iracundiam laudant, cotem fortitudinis esse dicunt multoque et in hostem et in inprobum civem vehementiores iratorum impetus esse. leves autem ratiunculas eorum qui ita cogitarent: proelium rectum est hoc fieri, convenit dimicare pro legibus pro libertate pro patria. haec nullam habent vim, nisi ira excanduit fortitudo. nec vero de bellatoribus solum disputant: imperia severiora nulla esse putant sine aliqua acerbitate iracundiae. oratorem denique non modo accusantem sed ne defendentem quidem probant sine aculeis iracundiae. quae etiamsi non adsit, tamen verbis atque motu simulandam arbitrantur, ut auditoris iram oratoris incendat actio. virum denique videri negant qui irasci nesciat eamque quam lenitatem nos dicimus, vitioso lentitudinis nomine appellant. nec vero solum hanc libidinem laudant . . . sed ipsum illud genus vel libidinis vel cupiditatis . . .* (c. 20) *ipsam aegritudinem . . . reliquas quoque partes aegritudinis . . . haec tamen ita disputant ut resecanda esse fateantur, evelli penitus dicant nec posse nec opus esse et in omnibus fere rebus mediocritatem esse optimam existiment.*

95.

Philodemus περὶ ὀργῆς (Volum. Herculan. P. I Oxon. 1824 f. 64 = Coll. alt. t. I Neap. 1861 f. 54): ἔνιοι γοῦν τῶν Περιπατητικῶν, ὥς που καὶ πρότερον παρεμνήσθημεν, διὰ προσώπων ἐκτέμνειν τὰ νεῦρα τῆς ψυχῆς φασὶ τοὺς τὴν ὀργὴν καὶ τὸν θυμὸν αὐτῆς ἐξαιροῦντας· ὧν χωρὶς οὔτε κόλασιν οὔτ' ἄμυναν εἶναι . . .

Philodemus ibid. (Ox. f. 74 = Coll. alt. I f. 61) . . . οὕτως κακὸν ἐροῦμεν τὸ μὴ τὴν φυσικὴν ὀργὴν ἀναδέχεσθαι· κακῶς γὰρ ἀκούων καὶ πάσχων ὅστις οὐκ ὀργίζεται, πονηρίας πλεῖστον τεκμήριον φέρει κατὰ τὸν Μένανδρον· ἐνίοτε δὲ ⟨ἡ εὐ⟩κινησία ⟨τῆς⟩ λύττης περιεργοτέρα, διὸ φανερός ἐστιν ἐπὶ τοῖς ἐλαχίστοις παρὰ πόδας εὐθέως ἐκστησόμενος — ἀγαθὸν δὲ τὸ ἀναδέχεσθαι. παρὰ δ' ἐνὶ Πασικράτει λέγεται⟨ι τ⟩ὸ τὴν φυσικὴν ὀργὴν μὴ μόνον κατὰ τὴν ἰδίαν φύσιν λυπεῖν, ἀλλὰ καὶ ἐπισκοτεῖν τοῖς λογισμοῖς ὅσον ἐφ' ἑαυτῇ . . .

96.

Stob. flor. 20, 55 (Maxim. serm. c. 19): Ἀριστοτέλους. ὥσπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσίν, οὕτως ὁ θυμὸς ἐπαιρόμενος τῷ λογισμῷ ἐπισκοτεῖ καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προλαβεῖν.

97.

Stob. flor. 20, 47 (Maxim. serm. c. 19): Ἀριστοτέλους. ἢ οὐχ ὁρᾷς ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον;

XX. ΠΕΡΙ ΜΕΘΗΣ.

98.

Epit. Athen. II p. 40[d]: Σέλευκος δὲ τὸ παλαιὸν οὐκ εἶναι ἔθος οὔτ' οἶνον ἐπὶ πλεῖον οὔτ' ἄλλην ἡδυ-

b21 δε ... κινησια cod., suppl. Spengel. || 22 περιεργοτέρα ego: περιετερα cod. || 23 εξιστησομενος Ox., εγεστησομενος Neap., ubi erat sine dubio εξστησομενος, ut εξστρατευσας (Lepsius, Dekret von Canopus Taf. I, 11) et similia. || 24 ita lego: παραδενι|κασικρατει cod. (ἐνὶ scil. τῶν Περιπατητικῶν?). || 31 προβλέπειν Max. || ἐπερχόμενος M. || 32 ἐπισκοτοῖ La. || 33 ἄτοπον M. et cod. Brux. Stob., ἄπονον vulgo Stob. || ἐφίησι Mein. || sic cod. Brux, προσλαβεῖν vulgo Stob., προβλέπειν M., προσβλέπειν La. || 36 ἢ om. M., La.

πάθειαν προσφέρεσθαι μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας καὶ θαλίας καὶ μέθας ὠνόμαζον, τὰς μὲν ὅτι διὰ θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον, τὰς δ' ὅτι θεῶν χάριν ἠλίζοντο καὶ συνῆεσαν· τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

99.

Epit. Athen. II p. 44[d]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης φησὶν ὅτι ἁλμυράς τινες προσφερόμενοι τροφὰς ἄδιψοι διέμειναν· ὧν ἦν Ἀρχωνίδης ὁ Ἀργεῖος. Μάγων δὲ ὁ Καρχηδόνιος τρὶς τὴν ἄνυδρον διῆλθεν ἄλφιτα ζηρὰ σιτούμενος καὶ μὴ πίνων.

Apollonius mirab. 15: Ἀριστοτέλης ἐν τῷ περὶ μέθης· Ἄνδρων, φησίν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν. ἔτι δὶς πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου ὁδοῦ ἄλφιτα ξηρὰ σιτούμενος οὐ προσηνέγκατο ὑγρόν. τοῦτο δὲ ἐποίησε δι' ὅλου τοῦ βίου.

Diog. L. 9, 81: Ἄνδρων δὲ ὁ Ἀργεῖος, ὥς φησιν Ἀριστοτέλης, διὰ τῆς ἀνύδρου Λιβύης ὧδευεν ἄποτος.

Sext. Emp. hyp. 1, 84: Ἄνδρων δὲ ὁ Ἀργεῖος οὕτως ἄδιψος ἦν ὡς καὶ διὰ τῆς ἀνύδρου Λιβύης ὁδεύειν αὐτὸν μὴ ἐπιζητοῦντα ποτόν.

100.

Athenaeus XIV p. 641[d]: Ἀριστοτέλης δὲ ἐν τῷ περὶ μέθης παραπλησίως ἡμῖν δευτέρας τραπέζας ἀπαγορεύει διὰ τούτων „τὸ μὲν οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον ὅσον ἔδεσμα τρωγαλίου· τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι τὰ βρώματα παρατίθενται. διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν· ὄντως γὰρ ἐπιδορπισμός τις ὁ τραγηματισμός ἐστι καὶ δεῖπνον ἕτερον παρατίθεται τραγήματα".

Athen. XIV p. 641[b]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια· ὡσεὶ γὰρ ἐπιδορπισμὸν εἶναι.

Schol. ad Aristoph. pac. 767: τρωγαλίων δὲ ἀντὶ τοῦ τῶν τραγημάτων· οὕτω γὰρ ἐκάλουν τὰ τραγήματα οἱ παλαιοί.

101.

Athenaeus X p. 447[a]: ἀλλ' ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, εἰς τὰ νῶτα καταπίπτουσιν οἱ τὸν κρίθινον πεπωκότες, ὃν πῖνον καλοῦσι, λέγων οὕτως „πλὴν ἰδιόν τι συμβαίνει περὶ τὰς τῶν κριθῶν, τὸ καλούμενον πῖνον· ὑπὸ μὲν γὰρ τῶν λοιπῶν τε καὶ μεθυστικῶν οἱ μεθυσθέντες ἐπὶ πάντα τὰ μέρη πίπτουσι· καὶ γὰρ ἐπὶ τὰ ἀριστερὰ καὶ δεξιὰ καὶ πρηνεῖς καὶ ὕπτιοι· μόνοι δὲ οἱ τῷ πίνῳ μεθυσθέντες εἰς τοὐπίσω καὶ ὕπτιοι κλίνονται".

Epit. Athen. I p. 34[b]: Ἀριστοτέλης δέ φησιν ὅτι οἱ μὲν ἀπ' οἴνου μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται, οἱ δὲ τὸν κρίθινον πεπωκότες ἐξυπτιάζονται τὴν κεφαλήν· ὁ μὲν γὰρ οἶνος καρηβαρικός, ὁ δὲ κρίθινος καρωτικός.

102.

Athen. X p. 429[c]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης φησίν „εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει· τὴν γὰρ δύναμιν ἀφεψηθέντος αὐτοῦ ἀσθενεστέραν γίνεσθαι. μεθύσκονται δέ, φησίν, οἱ γεραίτεροι τάχιστα, δι' ὀλιγότητα καὶ ἀσθένειαν τοῦ περὶ αὐτοὺς ἐνυπάρχοντος φύσει θερμοῦ. καὶ οἱ παντελῶς δὲ νέοι τάχιον μεθύσκονται διὰ τὸ πλῆθος τοῦ ἐνυπάρχοντος θερμοῦ· τῷ γὰρ ἐκ τοῦ οἴνου προσγινομένῳ κρατοῦνται ῥᾳδίως. μεθύσκονται δὲ κἂν τοῖς ἀλόγοις ζώοις ὕες μὲν σταφυλῆς στεμφύλων χορτασθέντες καὶ τὸ τῶν κοράκων καὶ τῶν κυνῶν γένος τὴν οἰνοῦτταν καλουμένην φαγόντα βοτάνην, πίθηκος δὲ καὶ ἐλέφας πιόντες οἶνον. διὸ καὶ τὰς θήρας ποιοῦνται τῶν πιθήκων καὶ τῶν κοράκων μεθυσθέντων τῶν μὲν οἴνῳ τῶν δὲ τῇ οἰνούττῃ."

103.

Plutarch. qu. conv. 3, 3: ἐθαύμαζε δὲ Φλῶρος, εἰ γεγραφὼς Ἀριστοτέλης ἐν τῷ περὶ μέθης ὅτι μάλιστα μὲν οἱ γέροντες, ἥκιστα δὲ αἱ γυναῖκες ὑπὸ μέθης ἁλίσκονται, τὴν αἰτίαν οὐκ ἐξειργάσατο μηδὲν εἰωθὼς προίεσθαι τῶν τοιούτων.

104.

Athen. X p. 429[f]: τὸν δὲ σαμαγόρειον οἶνον καλούμενόν φησιν ὁ Ἀριστοτέλης ἀπὸ τριῶν κοτυλῶν κερασθεισῶν μεθύσκειν ὑπὲρ τεσσαράκοντα ἄνδρας.

105. 106.

Athen. XI p. 464[c]: καὶ Ἀριστοτέλης δὲ ἐν τῷ περὶ μέθης „αἱ ῥοδιακαί, φησί, προσαγορευόμεναι χυτρῖδες διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παρεισφέρονται καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον ἧττον ποιεῖν μεθύσκειν· σμύρνης γὰρ καὶ σχοίνου καὶ τῶν τοιούτων ἑτέρων εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται, καὶ παραχεόντων εἰς τὸν οἶνον ἧττον μεθύσκουσιν". κἂν ἄλλῳ δὲ μέρει φησίν „αἱ ῥοδιακαὶ χυτρῖδες γίνονται σμύρνης, σχοίνου ἄνθους, κρόκου, βαλσάμου, ἀμώμου, κινναμώμου συνεψηθέντων· ἀφ' ὧν καὶ τὸ γινόμενον τῷ οἴνῳ παραχυθὲν οὕτω μέθας ἵστησιν, ὥστε καὶ τῶν ἀφροδισίων παραλύειν τὰ πνεύματα πέττον.

15 ita Meursius, ἄπιος cod. cum ν supra ι. ‖ 16 δὶς: ita cod., δὶ Xylander, δὲ Meursius.
[b]44 γινόμενον Meineke: πινόμενον vulgo.

Athen. XI p. 496f: μνημονεύει δ' αὐτῶν (τῶν ῥοδιακῶν)... καὶ Ἀριστοτέλης ἐν τῷ περὶ μέθης.

XXI. ΣΥΜΠΟΣΙΟΝ.

Plutarchus qu. conv. VI prol.: ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ἐλλογιμωτάτους ἀντιμαρτυροῦντας ἔχειν Πλάτωνα καὶ Ξενοφῶντα καὶ Ἀριστοτέλην καὶ Σπεύσιππον Ἐπίκουρόν τε καὶ Πρύτανιν καὶ Ἱερώνυμον καὶ Δίωνα τὸν ἐξ ἀκαδημίας ὡς ἄξιόν τινος σπουδῆς πεποιημένους ἔργον ἀναγράψασθαι λόγους παρὰ πότον γενομένους.

Macrob. saturn. 7, 3, 23: *suadeo in conviviis... quaestiones convivales vel proponas vel ipse dissolvas. quod genus veteres ita ludicrum non putarunt ut et Aristoteles de ipsis aliqua conscripserit et Plutarchus et vester Apuleius.*

107.

Plutarchus non posse suav. vivi sec. Ep. 13: τί λέγεις, ὦ Ἐπίκουρε; κιθαρῳδῶν καὶ αὐλητῶν ἔωθεν ἀκροασόμενος εἰς τὸ θέατρον βαδίζεις, ἐν δὲ συμποσίῳ Θεοφράστου περὶ συμφωνιῶν διαλεγομένου καὶ Ἀριστοξένου περὶ μεταβολῶν καὶ Ἀριστοτέλους περὶ Ὁμήρου, τὰ ὦτα καταλήψῃ ταῖς χερσὶ δυσχεραίνων καὶ βδελυττόμενος.

108.

Athen. XV p. 674f: ὡς εὐανθέστερον γὰρ καὶ κεχαρισμένον μᾶλλον τοῖς θεοῖς παραγγέλλει (ἡ Σαπφώ) στεφανοῦσθαι τοὺς θύοντας. Ἀριστοτέλης δ' ἐν τῷ συμποσίῳ φησὶν ὅτι οὐδὲν κολοβὸν προσφέρομεν πρὸς τοὺς θεοὺς ἀλλὰ τέλεια καὶ ὅλα· τὸ δὲ πλῆρες τέλειόν ἐστι, τὸ δὲ στέφειν πλήρωσίν τινα σημαίνει. Ὅμηρος „κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο" καὶ „ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει". τοὺς γὰρ αὖ τὴν ὄψιν ἀμόρφους, φησίν, ἀναπληροῖ ἡ τοῦ λέγειν πιθανότης. ἔοικεν οὖν ὁ στέφανος τοῦτο ποιεῖν βούλεσθαι. διὸ καὶ περὶ τὰ πένθη τοὐναντίον παρασκευάζομεν· ὁμοπαθείᾳ γὰρ τοῦ κεκμηκότος κολοβοῦμεν ἡμᾶς αὐτοὺς τῇ τε κουρᾷ τῶν τριχῶν καὶ τῇ τῶν στεφάνων ἀφαιρέσει.

Schol. ad Theocr. id. 3, 21 (p. 139, 16 Ahrens): τὸν στέφανον τῖλαί με... στεφάνοις ἐχρῶντο ἐν τοῖς συμποσίοις, ὥς φησιν Ἀριστοτέλης, εὐετηρίαν καὶ ἀφθονίαν αἰνιττόμενοι τροφῶν· στέψαι γὰρ τὸ πληρῶσαι, ὡς Ὅμηρος „κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο".

II. LOGICA.

Alex. in top. p. 5 med. (p. 252, 8 Br.): περὶ δὲ τῆς οὕτω λεγομένης διαλεκτικῆς Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις ἃ ἐπιγράφεται τοπικά.

Alex. in top. p. 16 inf. (p. 254 b10 Br.): ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις . . . ἀλλὰ θέσεώς τινος προτεθείσης εἰς ταύτην γυμνάζοντες αὐτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν κατασκευάζοντες ἢ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔστι δὲ βιβλία τοιαῦτα Ἀριστοτέλους τε καὶ Θεοφράστου γεγραμμένα ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν.

Theon. progymn. c. 2 p. 165 W.: παραδείγματα δὲ τῆς τῶν θέσεων γυμνασίας λαβεῖν ἐστὶ παρά τε Ἀριστοτέλους καὶ Θεοφράστου· πολλὰ γάρ ἐστιν αὐτῶν βιβλία θέσεων ἐπιγραφόμενα.

Pseudo-Ammonius in categ. (Ven. 1545) f. 13: ἀμέλει φασὶν ἐν τῇ μεγάλῃ βιβλιοθήκῃ εὑρῆσθαι ἀναλυτικῶν μὲν τεσσαράκοντα βίβλους, κατηγοριῶν δὲ δύο· ἐκρίθη δὲ ὑπὸ τῶν ἐξηγητῶν κατηγοριῶν μὲν τοῦτο εἶναι γνήσιον τοῦ Ἀριστοτέλους, ἀναλυτικῶν δὲ τέσσαρα. ἐκρίθη δὲ ἔκ τε τῶν νοημάτων καὶ τῆς φράσεως καὶ τῷ ἀεὶ ἐν ταῖς ἄλλαις πραγματείαις μεμνῆσθαι τούτου τοῦ βιβλίου τὸν φιλόσοφον.

Philopon. in cat. p. 39, 19 Br.: εἰδέναι δὲ δεῖ ὅτι ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις τῶν μὲν ἀναλυτικῶν $\overline{\mu}$ βιβλία εὕρηνται, τῶν δὲ κατηγοριῶν δύο.

David in cat. p. 30 b4 Br.: γνήσιον τοίνυν . . . ἀπὸ τῆς φράσεως ... καὶ ἐκ τοῦ εὐθύνας δεδωκέναι αὐτὸ τοῖς Ἀττικοῖς ἐξηγηταῖς· τεσσαράκοντα γὰρ βιβλίων εὑρεθέντων ἐν παλαιαῖς βιβλιοθήκαις τῶν ἀναλυτικῶν καὶ δύο τῶν κατηγοριῶν, τέσσαρα μόνον τῶν ἀναλυτικῶν ἐγκρίνουσι καὶ ἓν τῶν κατηγοριῶν. p. 33 b30: τὸ δὲ γνήσιον οὕτως (ἀποδέδεικται) ... ἀπὸ τοῦ εὐθύνας δοῦναι πᾶσι τοῖς Ἀττικισταῖς καὶ πάντας τοῦτο ἐκ $\overline{\beta}$ βιβλίων εὑρεθέντων τῆς αὐτῆς ὑποθέσεως γνήσιον μόνον ἐπικρῖναι, ὥσπερ ἐκ $\overline{\mu}$ τὰ $\overline{\delta}$ ἀναλυτικά, ὡς Ἄδραστος ἱστορεῖ.

21 Ἀριστοτέλους Nauck: codd. Ἀριστοφάνους.

XXII. ΠΕΡΙ ΠΡΟΒΛΗΜΑΤΩΝ.

109.

Alexander in Ar. top. (Ven. 1513) p. 34 (p. 258, 22 Br.): ἐπιζητήσαι δ' ἄν τις ὑπὸ τί γένος τῶν προβλημάτων ὑπαχθήσεται τὰ τοιαῦτα προβλήματα, διὰ τί ἡ λίθος ἡ μαγνῆτις λεγομένη ἕλκει τὸν σίδηρον καὶ τίς φύσις μαντικῶν ὑδάτων; δοκεῖ γὰρ μηδενὶ τῶν κειμένων ὑπάγεσθαι ταῦτα. ἢ οὐδὲ διαλεκτικὰ προβλήματα ταῦτα, περὶ δὲ τούτων ὁ λόγος καὶ τούτων αἱ διαιρέσεις ... ἀλλ' ἔστι τὰ οὕτω προβαλλόμενα φυσικὰ προβλήματα, ὡς ἐν τῷ περὶ προβλημάτων εἴρηκεν· ὧν γὰρ φυσικῶν ὄντων τὰ αἴτια ἀγνοεῖται, ταῦτα φυσικὰ προβλήματα. γίνεται μέντοι καὶ φυσικῶν πέρι διαλεκτικὰ προβλήματα, ὥσπερ οὖν καὶ περὶ ἠθικῶν τε καὶ λογικῶν, ἀλλὰ τὰ μὲν ἐκείνως ἔχοντα διαλεκτικά, τὰ δὲ οὕτως φυσικά. καὶ εἴη ἂν τὰ διαλεκτικὰ προβλήματα πάντα ἀναγόμενα εἰς τὴν ζήτησιν τοῦ τε ὅτι ἔστι καὶ τοῦ εἰ ἔστιν, ἅ ἐστι δύο τῶν τεσσάρων ἃ εἶπεν ἀρχόμενος τοῦ δευτέρου τῶν ὑστέρων ἀναλυτικῶν· τὸ γὰρ διότι ἐστὶ καὶ τί ἐστιν οὐ διαλεκτικὰ προβλήματα.

XXIII. ΔΙΑΙΡΕΣΕΙΣ.

Ioann. gr. de gen. et corr. f. 50[b] Ven.: ὁ μὲν οὖν ἐξηγητὴς Ἀλέξανδρος λέγει τὰς φερομένας Πλάτωνος διαιρέσεις νοθεύεσθαι . . . ἰστέον δὲ ὅτι πρῶτον μὲν διαιρέσεις Πλάτωνος ὅλως ἐπιγεγραμμέναι οὐ φέρονται . .

110.

Alex. in top. p. 126 inf. (p. 274, 42 Br.) ἔτι τὸ κάλλιον καθ' αὑτὸ καὶ τιμιώτερον καὶ ἐπαινετώτερον: κοινότερον τοῖς ὀνόμασιν νῦν χρῆται τῷ τε καλλίονι καὶ τιμιωτέρῳ καὶ τῷ ἐπαινετωτέρῳ. ἐν μὲν γὰρ τῇ τῶν ἀγαθῶν διαιρέσει τίμια μὲν τῶν ἀγαθῶν εἶπεν εἶναι τὰ ἀρχικώτερα, ὡς θεούς γονεῖς εὐδαιμονίαν, καλὰ δὲ καὶ ἐπαινετὰ τὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας, δυνάμεις δὲ οἷς ἔνεστιν εὖ καὶ κακῶς χρῆσθαι, ὠφέλιμα δὲ τὰ τούτων ποιητικὰ τῶν αὐτῶν καὶ εἰς ταῦτα συντελοῦντα. νῦν δὲ καὶ τὸ καλὸν καὶ τὸ ἐπαινετὸν καὶ τὸ τίμιον ἔοικε καὶ κατὰ τῶν ὡς δυνάμεων ἀγαθῶν φέρειν.

111.

Diogen. Laert. (q. v.) 3, 80—109: διῄρει δὲ (ὁ Πλάτων), φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον ... ὧδε καὶ τὰ πρῶτα διῄρει κατὰ τὸν Ἀριστοτέλην.

112.

Cod. Marc. 257 fol. 250—53: Διαίρεσις Ἀριστοτέλους. διαιρεῖται ἡ ψυχὴ εἰς τρία . . . (Aristoteles pseudepigraphus p. 679—693).

XXIV. ΥΠΟΜΝΗΜΑΤΑ (λογικά).

113.

Simplicius in categ. f. γ 7[a] ed. Ven. (p. 47[b] 40 Br.): ἀλλὰ διὰ τί, φασὶν οἱ περὶ τὸν Λούκιον, τοὺς συνδέσμους παρέλιπεν, εἰ λέξεις καὶ οὗτοι σημαντικαί ... ἐπιζητοῦσι δὲ καὶ τὰ ἄρθρα ποῦ ταχθήσεται; καὶ περὶ τούτων δὲ ὁ αὐτὸς λόγος. καὶ γὰρ ταῦτα οἷον σύνδεσμοί εἰσι τὰ γένη προσσημαίνοντες τό τε ἄρρεν καὶ τὸ θῆλυ ἀορίστως· οὐ γὰρ τί ἐστι δηλοῦσι· διὸ καὶ ἀόριστα καλεῖται παρά τινων. ἀλλ' αἱ ἀποφάσεις καὶ αἱ στερήσεις αἵ τε διάφοροι τῶν ῥημάτων ἐγκλίσεις ἐν τίνι ταχθήσονται; ἢ πρὸς τοῦτο αὐτὸς Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασιν ἀπεκρίνατο· καὶ γὰρ ἐν τοῖς μεθοδικοῖς καὶ ἐν τοῖς ὑπομνήμασι καὶ ἐν ταῖς διαιρέσεσι καὶ ἐν ἑτέρῳ ὑπομνήματι οὗ ἐπιγράφεται παρὰ τὴν λέξιν, ὅπερ εἰ καί τισιν οὐ δοκεῖ γνήσιον Ἀριστοτέλους ἀλλά τινός ἐστι πάντως τῶν ἀπὸ σχολῆς, ἐν τούτοις προσθεὶς τὰς κατηγορίας ἐπάγει „λέγω δὲ ταύτας σὺν ταῖς πτώσεσιν αὐτῶν" ἤτοι ἐγκλίσεσι, ταῖς τε ἀποφάσεσι καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις συνέταξεν αὐτῶν τὴν διδασκαλίαν.

Dexippus in categ. p. 40, 5 Spengel (p. 48, 46 Br.): ἀλλ' αἱ ἀποφάσεις, φασί, καὶ αἱ στερήσεις τά τε ἀόριστα καὶ αἱ ἐγκλίσεις καθ' ἑκάστην κατηγορίαν ἐν τίνι ταχθήσονται; περὶ δὴ τούτου βέλτιον αὐτὸς Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασιν ἀνεδίδαξε· προθεὶς γὰρ τὰς κατηγορίας σὺν ταῖς πτώσεσιν αὐτῶν καὶ ταῖς ἀποφάσεσι καὶ τοῖς ἀορίστοις ὁμοῦ συνέταξεν αὐτῶν τὴν διδασκαλίαν, πτώσεις τὰς ἐγκλίσεις ὀνομάζων.

XXV. ΚΑΤΗΓΟΡΙΑΙ.

114.

Simplicius proleg. in categ. f. α 8[b] Ven. 1499 (f. 4, ζ Bas.): ἱστορεῖ δὲ ὁ Ἄδραστος ἐν τῷ περὶ τῆς τάξεως τῶν Ἀριστοτέλους συγγραμμάτων, ὅτι φέρεται καὶ ἄλλο τῶν κατηγοριῶν βιβλίον ὡς Ἀριστοτέλους, καὶ αὐτὸ ὂν βραχὺ καὶ σύντομον τὴν λέξιν καὶ διαιρέσεσιν ὀλίγαις διαφερόμενον, ἀρχὴν δὲ ἔχον „τῶν ὄντων τὸ μέν ἐστι"· πλῆθος δὲ στίχων ἑκατέρου τὸ αὐτὸ ἀνα-

[b]13 προσημαίνοντες Ven., corr. Brandis. || 21 οὗ Ven.: ὃ Brandis. || 32 al. προσθεὶς.

γράφει, ὥστε τὸ βραχὺ κατὰ τὴν λέξιν εἶπεν ὡς συντόμως ἑκάστου τῶν ἐπιχειρημάτων ἐκτιθεμένου.

Io. Philoponus proleg. in categ. p. 39, 19 Br.: εἰδέναι δὲ δεῖ ὅτι ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις τῶν μὲν ἀναλυτικῶν μ̄ βιβλία εὕρηνται, τῶν δὲ κατηγοριῶν δύο. τὸ μὲν ἕτερον εἶχε τὴν ἐπιγραφήν, οὕτως δέ φημι τὴν ἀρχήν „τῶν ὄντων τὰ μὲν ὁμώνυμα λέγεται τὰ δὲ συνώνυμα". τὸ δὲ δεύτερον, ὅπερ νῦν ἔχομεν προκείμενον, εἶχε τὴν ἐπιγραφὴν τοιαύτην „ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ ὅρος τῆς οὐσίας ἕτερος". προτετίμηται δὲ τοῦτο ὡς τάξει καὶ πράγματι πλεονεκτοῦν καὶ πανταχοῦ πατέρα τὸν Ἀριστοτέλην κηρῦττον.

Pseudo-Ammon. proleg. ad cat. (Ven. 1545) f. 17: δύο δὲ ὡς εἴρηται βιβλίων κατηγοριῶν εὑρεθέντων σχεδὸν παραπλησίων κατὰ πάντα καὶ κατ' αὐτὸ τὸ προοίμιον· ἔστι γὰρ τοῦ ἑτέρου ἡ ἀρχή „τῶν ὄντων τὰ μὲν ὁμώνυμά ἐστι τὰ δὲ συνώνυμα", ἥτις σχεδὸν ἡ αὐτή ἐστι τῷ προκειμένῳ βιβλίῳ· ἐκρίθη τοῦτο γνήσιον εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον ὑπὸ πάντων ἐξηγητῶν.

Boethius in praedicamenta p. 113 sq. (ed. Bas. 1570): *Aristotelis vero neque ullius alterius liber est, idcirco quod in omni philosophia sibi ipse de huius operis disputatione consentit et brevitas ipsa atque subtilitas ab Aristotele non discrepat . . . quamquam extet alter Aristotelis liber de eisdem disputans, eadem fere continens, cum sit oratione diversus. sed hic proprietatis liber calculum cepit.*

XXVI. ΠΕΡΙ ΕΝΑΝΤΙΩΝ (περὶ ἀντικειμένων).

Simpl. in cat. f. υ 2[b] (p. 88, 30 Br.): ὁ τὸ τοῦ Ἀριστοτέλους περὶ ἀντικειμένων βιβλίον ἐπισκεψάμενος (Ἰάμβλιχος).

115.

Simplicius in categ. f. τ 2[b] (p. 83, 13 Br.): ἀλλ' ἐπειδὴ σαφηνείας ἔτυχεν ἡ τοῦ Ἀριστοτέλους λέξις (cat. p. 11[b] 33—12, 25), ἴδωμεν καὶ ὅσα τῷ τόπῳ προσεξεργάζονται οἱ κλειστότεροι τῶν ἐξηγητῶν. τῶν γὰρ Στωικῶν μέγα φρονούντων ἐπὶ τῇ τῶν λογικῶν ἐξεργασίᾳ, ἔν τε τοῖς ἄλλοις καὶ ἐπὶ τῶν ἐναντίων σπουδάζουσι δεικνύναι ὅτι πάντων τὰς ἀφορμὰς ὁ Ἀριστοτέλης παρέσχεν ἐν ἑνὶ βιβλίῳ ὃ περὶ ἀντικειμένων ἐπέγραψεν, ἐν ᾧ καὶ ἀπορίων ἐστὶ πλῆθος ἀμήχανον· ὧν ὀλίγην ἐκεῖνοι μοῖραν παρέθεντο. καὶ τὰ μὲν ἄλλα ἐν εἰσαγωγῇ παρεμβαλεῖν οὐκ εὔλογον, ὅσα δὲ συμφώνως οἱ Στωικοὶ τῷ Ἀριστοτέλει διετάξαντο, ταῦτα ῥητέον. ὅρου τοίνυν παλαιοῦ περὶ τῶν ἐναντίων καταβεβλημένου, οὗ καὶ ἔμπροσθεν ἐμνημονεύσαμεν, ὅτι ὅσα ἐστὶν ἐν τῷ γένει πλεῖστον ἀλλήλων διαφέροντα, ηὔθυνε τὸν ὅρον ὁ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν ἀντικειμένων πολυειδῶς βασανίσας αὐτόν. καὶ γὰρ εἰ καὶ τὰ διαφέροντα ἐναντία ἐστὶν ἐπέστησε, καὶ εἰ ἡ διαφορὰ ἐναντιότης εἶναι δύναται, καὶ εἰ ἡ πᾶσα διάστασίς ἐστιν ἡ τὸ πλεῖστον διαφέρουσα, καὶ εἰ ταὐτὸν τὰ πλεῖστον ἀπέχοντα τῷ τὰ πλεῖστον διαφέροντα, καὶ τίς ἡ ἀπόστασις καὶ πῶς τοῦ πλεῖστον ἀπέχειν ἀκουστέον. ὧν ἀτόπων φανέντων προσληπτέον τι τῷ γένει, ἵνα ᾖ ὅρος τὰ πλεῖστον ἀπέχοντα ἐν τῷ αὐτῷ γένει. καὶ τίνα τούτῳ ἄτοπα ἕπεται, καὶ εἰ ἑτερότητός ἐστιν ἡ ἐναντιότης, καὶ εἰ τὰ μάλιστα ἕτερα ἐναντία, ἄλλους τε ἔθηκεν ἐλέγχους πλείονας.

. . . τοῦτο δὲ πολλοστὸν μέν ἐστι μέρος ὧν Ἀριστοτέλης ἐν τῷ λόγῳ τῷ περὶ τῶν ἐναντιοτήτων ἠπόρησεν.

116.

Ib. f. τ 3[a] (p. 83[b] 7): τούτοις οὖν οἱ ἀπὸ τῆς στοᾶς ἐχρήσαντο πᾶσι καὶ τοῖς ἄλλοις διορισμοῖς τοῖς περὶ τῶν ἐναντίων Ἀριστοτέλει κατὰ πόδας ἠκολούθησαν, ἐκείνου τὰς ἀφορμὰς αὐτοῖς δεδωκότος ἐν τῷ περὶ τῶν ἀντικειμένων συγγράμματι, ἃς ἐξειργάσαντο ἐν τοῖς αὐτῶν βιβλίοις . . . (83[b] 24 :) τοιαύτης δὲ οὔσης τῆς Στωικῆς διδασκαλίας, ἴδωμεν πῶς αὐτὴν ἀπὸ τῆς Ἀριστοτέλους παραδόσεως παρεσπάσαντο. οὗτος γὰρ ἐν τῷ περὶ ἀντικειμένων τὴν δικαιοσύνην πρὸς τὴν ἀδικίαν ἐναντίαν λέγει· οὐ λέγεσθαι δὲ τὸν δίκαιον τῷ ἀδίκῳ ἐναντίον φησὶν ἀλλ' ἐναντίως διακεῖσθαι. εἰ δὲ καὶ ταῦτα ἐναντία, φησί, διττῶς ῥηθήσεται τὸ ἐναντίον· ἢ γὰρ καθ' αὑτὰ τὰ ἐναντία ῥηθήσεται, οἷον ἀρετὴ καὶ κακία, κίνησις καὶ στάσις, ἢ τῷ μετέχειν ἐναντίων, οἷον τὸ κινούμενον τῷ ἑστηκότι καὶ τὸ ἀγαθὸν τῷ κακῷ.

117.

Ib. f. τ 3[b] (p. 83[b] 47): διὸ τὴν μὲν φρόνησιν τῇ ἀφροσύνῃ φησὶν εἶναι ἐναντίον (ὁ Χρύσιππος), τὸν δὲ ὅροντῷ ὅρῳ (sc. τὴν ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων τῇ ἀγνοίᾳ τῶν αὐτῶν) οὐκέτι ὁμοειδῶς ἐναντίον εἶναί φησιν. ἐπ' ἐκεῖνα δὲ ποιούμενοι τὴν ἀναφοράν, καὶ τοὺς ὅρους κατὰ συζυγίαν ἀντιτιθέασιν. ταῦτα δὲ παρὰ τῷ Ἀριστοτέλει πρώτῳ διώρισται, ἀσύνθετον μὲν μὴ ἀξιοῦντι ἐναντίον εἶναι τῷ τοῦ ἐναντίου ὅρῳ, οἷον τὴν φρόνησιν μὴ εἶναι ἐναντίον τῇ ἀγνοίᾳ τῶν ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, ἀλλ' εἰ ἄρα, κατὰ

[b]5 ἐν τῷ γένει (cf. v. 14) A (i. e. cod. Par. 1942 a Bekkero collatus in marg. expl. Berol.): ἐν τῷ αὐτῷ γένει Ven. || διαφέρει Ven., corr. Brandis. || 11 τὰ (τὸ Br.) πλεῖστον διαφέροντι Ven. || 15 ἑτερότης Br. || καὶ στάσις: sic A (om. καὶ Ven.).

συζυγίαν ὅρον ὅρῳ ἀντιτιθέναι καὶ ἐναντίους λέγειν τούτους τῷ ἐναντίων εἶναι πραγμάτων. φιλοτεχνεῖ δὲ περὶ τούτων ἐπιπλέον, ὡς λόγος ὁριστικὸς λόγῳ ἐναντίος ἐστίν, ἐὰν τῷ γένει τι ᾖ ἐναντίον ἢ ταῖς διαφοραῖς ἢ ἀμφοτέροις· οἷόν ἐστι τοῦ καλοῦ ὁρισμός, εἰ οὕτω τύχοι, συμμετρία μερῶν πρὸς ἄλληλα, τούτῳ ἐναντίον ἀσυμμετρία μερῶν πρὸς ἄλληλα. καὶ ἔστι τῷ γένει ἡ ἐναντίωσις, ἀλλαχοῦ δὲ ταῖς διαφοραῖς, οἷον λευκὸν χρῶμα διακριτικὸν ὄψεως, μέλαν δὲ χρῶμα συγκριτικόν· ἐν γὰρ τούτοις τό μὲν γένος τὸ αὐτό, κατὰ δὲ τὰς διαφορὰς ἐναντίωσις. εἴρηται οὖν πῶς λόγος λόγῳ ἐναντίος ἐστί· κἂν οἱ τῆς οὐσίας δὲ δηλωτικοὶ λόγοι ἐναντίοι ἔσονται. ἀλλὰ ταῦτα μὲν ἀρκούντως μέχρι τοῦδε προήχθω.

118.

Ib. f. τ 3[b] (p. 84, 28): αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν ἀντικειμένων βιβλίῳ ἐζήτησεν, εἰ θάτερον ἀποβαλών τις μὴ ἕξ ἀνάγκης θάτερον λαμβάνῃ, ἆρά ἐστί τι τούτων ἀνὰ μέσον ἢ οὐ πάντως; ὁ γὰρ τὴν ἀληθῆ δόξαν ἀποβαλὼν οὐκ ἐξ ἀνάγκης ψευδῆ δόξαν λαμβάνει οὐδὲ ὁ ψευδῆ ἀληθῆ, ἀλλ' ἐνίοτε ἐκ τῆς δόξης ταύτης ἢ εἰς τὸ μηδὲν ὅλως ὑπολαμβάνειν ἢ εἰς ἐπιστήμην μεταβάλλει, δόξης δὲ ἀληθοῦς καὶ ψευδοῦς οὐδέν ἐστιν ἀνὰ μέσον εἰ οὐκ ἄγνοια οὐδὲ ἐπιστήμη.

119. 120.

Ib. f. τ 8[b] (p. 86[b] 35): ἀτόπως δὲ ἐκ τῶν κατὰ ἔθος στερήσεων τὰς ἐπιχειρήσεις ποιούμενος καὶ στέρησιν εἰς ἕξιν μεταβάλλειν φησίν (ὁ Νικόστρατος) . . . ὁ δὲ Ἀριστοτέλης (cat. p. 13, 31) οὐκ ἐπὶ τῶν ἐξ ἔθους ἀλλ' ἐπὶ τῶν φύσει τὴν ἕξιν καὶ τὴν στέρησιν παρέλαβεν, ἐφ' ὧν καὶ κυρίως ἡ κατὰ ἕξιν καὶ στέρησιν ἀντίθεσις λέγεται. χρησώμεθα οὖν αὐτοῖς τοῖς Ἀριστοτέλους πρὸς τὸν Νικόστρατον· ἐν γὰρ τῷ περὶ τῶν ἀντικειμένων αὐτός φησιν ὡς αἱ μὲν στερήσεις τῶν κατὰ φύσιν λέγονται, αἱ δὲ τῶν ἐν ἕθει, αἱ δὲ τῶν κτημάτων, αἱ δὲ ἄλλων τινῶν, τυφλότης μὲν τῶν φύσει, γυμνότης δὲ τῶν ἐν ἕθει, ἀργυρίου δὲ στέρησις τῶν ἐν χρήσει παραγινομένων. εἰσὶ δὲ καὶ ἄλλαι στερήσεις πλείονες, καὶ ἐνίων μὲν στερήσεων οὐκ ἔστιν ἀπαλλαγή, ἐνίων δὲ ἔστιν . . . (87, 2) ἀλλὰ τὸν μὲν πλήρη περὶ τῶν στερήσεων λόγον ἔστιν ἔκ τε τοῦ Ἀριστοτελικοῦ καὶ τοῦ Χρυσιππείου βιβλίου λαμβάνειν, τινὰ δὲ καὶ ὁ Ἰάμβλιχος παρέγραψεν ἔχοντα οὕτως· „πολλαχῶς τοῦ ἔχειν λεγομένου, ὡς ἤδη παρεδείξαμεν, ἡ στέρησις διατείνει μὲν ἐπὶ πάντα τὰ σημαινόμενα τοῦ ἔχειν, οὐκέτι μέντοι καὶ ἐπὶ πάντα τὰ ἐναντία. ἀπωλεία γὰρ ἴσον ἡ στέρησις, ὥστε οὐκ ἂν τοῦ κακοῦ λέγοιτο στέρησις, ὅτι μηδὲ ἀπώλεια κακοῦ γένοιτο ἂν ἢ βλαβεροῦ ἀλλ' ἀγαθοῦ ἢ χρησίμου, οὐ γὰρ ὁ νόσου ἢ πενίας ἀπαλλαγεὶς ῥηθείη ἂν ἀπεστερῆσθαι νόσου ἢ πενίας, ἀλλὰ μᾶλλον ὁ ὑγείας ἢ πλούτου ἀφαιρεθείς. ἀγαθοῦ μὲν στέρησις ἡ τυφλότης· ἀγαθὸν γὰρ ἡ ὄψις, ἀδιαφόρου δὲ ἡ γυμνότης· ἀδιάφορον γὰρ τὸ ἱμάτιον καὶ οὔτε ἀγαθὸν οὔτε κακόν. διὸ στέρησις οὐδεμία ἀγαθὸν ἀλλ' ἤτοι κακὸν ἢ ἀδιάφορον. καὶ ἀγαθῶν δὲ στέρησις γένοιτο ἂν ἤτοι τῶν πάντων ἢ τῶν πλείστων. ἥκιστα δέ φησιν Ἀριστοτέλης τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν καὶ προαιρέσεως ἐχομένων γενέσθαι στέρησιν· οὐδεὶς γὰρ λέγει δικαιοσύνης ἐστερῆσθαι, καὶ ὁ εἰπὼν ὅτι ἐπιστάμαν οὐδεὶς φέρει, ἀπὸ τῆς αὐτῆς ἐννοίας εἴρηκε. μᾶλλον οὖν πλούτου δόξης τιμῆς τῶν τοιούτων καὶ μάλιστα τῶν περὶ τὰς κτήσεις καλουμένων ἀγαθῶν εἰσὶν αἱ στερήσεις· διὸ καὶ ἔλεοι καὶ οἶκτοι ἐπακολουθοῦσι ταῖς πλείσταις στερήσεσιν." ὁ μέντοι Ἀριστοτέλης τῶν φυσικῶν στερήσεων νῦν (i. e. in categ.) τὴν ἀντίθεσιν πρὸς τὴν τῶν ἐναντίων παραβέβληκεν. ἀλλὰ ταῦτα μὲν ἀρκούντως.

121.

Ib. f. υ 3[a] (f. 103[e]): ταῦτα τοῖς περὶ τῶν ἐναντίων εἰρημένοις προστίθησι (in cat. p. 13[b] 36) . . . ὅτι τῷ μὲν ἀγαθῷ κακὸν πάντως ἐναντίον, τῷ δὲ κακῷ ποτὲ μὲν ἀγαθὸν ποτὲ δὲ κακόν (κ. τ. λ.) . . . (υ 3[b] p. 88, 42) ἐν δὲ τῷ περὶ ἀντικειμένων βιβλίῳ προσέθηκε τοῖς τρόποις τούτοις τῶν ἐναντιώσεων καὶ τὸν τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, οὕτως λέγων τὸ λευκὸν τῷ μέλανι καὶ τὸ γλυκὺ τῷ πικρῷ καὶ τὸ ὀξὺ τῷ βαρεῖ καὶ τῇ κινήσει τὴν στάσιν ἐναντιοῦσθαι . . . (88[b] 3) Νικόστρατος δὲ αἰτιᾶται ἓν μὲν ὅτι ἀτελῶς ἔχει ἡ τῶν ἐναντίων διαίρεσις· οὐ γὰρ προσέθηκεν ὅτι καὶ ἀδιάφορον ἀδιαφόρῳ ἀντίκειται. ὅπερ ἐν μὲν τῷ περὶ τῶν ἀντικειμένων βιβλίῳ προσέθηκεν εἰπὼν εἶναί τινα τρόπον ἀντιθέσεως τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, ὡς εἴρηται πρότερον. ἀδιάφορα δὲ αὐτὰ οὐκ ἐκάλεσεν, ὡς οἶμαι, διὸ νεώτερον ἦν τὸ τοῦ ἀδιαφόρου ὄνομα παρὰ τῶν Στωικῶν τεθέν.

2 τῷ: τῶν edd. ‖ 12 κἂν A: καὶ edd. ‖ 24 εἰ: ἢ edd. ‖ 36 κτημάτων A: κατηγορημάτων edd. ‖ 43 ἐπέγραψε A.
b3 οὐκέτι: οὐκ ἔστι A. ‖ καὶ ἐπὶ (Br.) A: καὶ οὐκ ἐπὶ Ven. ‖ 4 λέγοιτο A: γένοιτο edd. ‖ 8 ὁ: ὡς Ven. (ὡς ὁ A). ‖ 14 τῇ om. A. ‖ 38 περὶ A: om. edd. ‖ 40 μήτε κακῶν A (Br.): om. Ven. ‖ 42 διότι A.

III. RHETORICA ET POETICA.

XXVII. ΤΕΧΝΗΣ ΤΗΣ ΘΕΟΔΕΚΤΟΥ ΣΥΝΑΓΩΓΗ.

Pseudarist. rhetor. ad Alex. praef. p. 1421, 38 Bk.: *παρειλήφαμεν δὲ . . . καὶ τῶν λοιπῶν τεχνογράφων εἴ τίς τι γλαφυρὸν ὑπὲρ τῶν αὐτῶν τούτων γέγραφεν ἐν ταῖς τέχναις. περιτεύξῃ δὲ δυσὶ τούτοις βιβλίοις, ὧν τὸ μέν ἐστιν ἐμὸν ἐν ταῖς ὑπ' ἐμοῦ τέχναις Θεοδέκτῃ γραφείσαις, τὸ δὲ ἕτερον Κόρακος.*

[Aristot.] rhet. 3, 9 p. 1410[b] 2 (A. P. p. 3 et 709. cf. 137): *αἱ δ' ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται.*

Valerius Maximus 8, 14, 3 ext.: *Aristoteles Theodecti discipulo oratoriae artis libros quos ederet donaverat molesteque ferens titulum eorum sic alii cessisse, proprio volumine quibusdam rebus insistens planius sibi de his in Theodectis libris dictum esse adiecit.*

122.

Quintilianus 2, 15, 10: *ideoque diligentiores sunt visi sibi qui, cum de rhetorice idem sentirent, existimaverunt eam vim dicendo persuadendi. quem finem Gorgias . . . velut coactus a Socrate facit. a quo non dissentit Theodectes, sive ipsius id opus est quod de rhetorice nomine eius inscribitur, sive ut creditum est Aristotelis, in quo est finem esse rhetorices ducere homines dicendo in id quod actor velit.*

123.

Exc. var. de rhetorica post anon. proleg. in status VII, 33 Walz: *Ὅτι ἔργον ῥήτορος, ὥς φησι Θεοδέκτης, προοιμιάσασθαι πρὸς εὔνοιαν, διηγήσασθαι πρὸς πιθανότητα, πιστώσασθαι πρὸς πειθώ, ἐπιλογίσασθαι πρὸς ὀργὴν ἢ ἔλεον.*

Anon. (Io. Sicel. Doxopatri) proleg. rhetor. VI, 19 W.: *ἔργα δὲ ῥητορικῆς κατὰ Θεοδέκτην προοιμιάσασθαι πρὸς εὔνοιαν, διηγήσασθαι πρὸς πίστιν, ἀγωνίσασθαι πρὸς ἀπόδειξιν, ἀνακεφαλαιώσασθαι πρὸς ἀνάμνησιν* (cf. Gem. Pletho ep. rhet. VI, 585 W.)

124.

Quintil. 4, 2, 31: *eam* (narrationem i. e. *διήγησιν*) *plerique scriptores, maxime qui sunt ab Isocrate, volunt esse lucidam, brevem, verisimilem . . .* (61) *his tribus narrandi virtutibus adiciunt quidam magnificentiam quam μεγαλοπρέπειαν vocant . . .* (63) *illa quoque ut narrationi apta ita cum ceteris partibus communis est virtus quam Theodectes huic uni proprie dedit. non enim magnificam modo vult esse verum etiam iucundam expositionem.*

125.

Anonymus Seguerianus de orat. polit. p. 206 Par. (Rh. Gr. I, 454 Speng.): *Ἀριστοτέλης δὲ ἐν ταῖς Θεοδεκτικαῖς τέχναις φησὶν ὅτι ὁ ἐπίλογος τὸ μὲν κεφάλαιον ἔχει προτρέψασθαι τοὺς ἀκούοντας, προτρέψομεν δὲ τριχῶς, εἰς τὰ πάθη ἀνάγοντες τὰ ἑκάστῳ προτρεπτικά· ἓν μὲν οὖν ἔργον ἐπιλόγου τὸ τὰ πάθη διεγεῖραι, δεύτερον τὸ ἐπαινεῖν ἢ ψέγειν· τούτων γὰρ ἐν ἐπιλόγοις ἡ χώρα· τρίτον δὲ τὸ ἀναμιμνήσκειν τὰ εἰρημένα. οὔτε δὲ τὰ εὐμνημόνευτα οὔτε τὰ ἀπαθῆ κινητέον.*

126.

Dionys. Hal. de comp. verb. 2 p. 8 R.: *ἡ σύνθεσίς ἐστιν, ὥσπερ καὶ αὐτὸ δηλοῖ τοὔνομα, ποιά τις θέσις παρ' ἄλληλα τῶν τοῦ λόγου μορίων, ἃ δὴ καὶ στοιχεῖά τινες τῆς λέξεως καλοῦσι. ταῦτα δὲ Θεοδέκτης μὲν καὶ Ἀριστοτέλης καὶ οἱ κατ' ἐκείνους φιλοσοφήσαντες τοὺς χρόνους ἄχρι τριῶν προήγαγον ὀνόματα καὶ ῥήματα καὶ συνδέσμους πρῶτα μέρη τῆς λέξεως ποιοῦντες. οἱ δὲ μετ' αὐτοὺς γενόμενοι καὶ μᾶλλον οἱ τῆς Στωικῆς αἱρέσεως ἡγεμόνες ἕως τεττάρων προὐβίβασαν χωρίσαντες ἀπὸ τῶν συνδέσμων τὰ ἄρθρα.*

Idem de vi Demosth. 48 p. 1101: *τοῖς πρώτοις μορίοις τῆς λέξεως, ἃ δὴ στοιχεῖα ὑπό τινων καλεῖται, εἴτε τρία ταῦτ' ἐστίν, ὡς Θεοδέκτῃ τε καὶ Ἀριστοτέλει δοκεῖ, ὀνόματα καὶ ῥήματα καὶ σύνδεσμοι, εἴτε πλείω.*

Quintil. 1, 4, 18: *tum videbit ad quem hoc pertinet quot et quae sint partes orationis. quamquam de numero parum convenit. veteres enim, quorum fuerunt Aristoteles atque Theodectes, verba modo et nomina et convinctiones tradiderunt . . . paulatim a philosophis ac maxime Stoicis auctus est numerus, ac primum convinctionibus articuli adiecti . . .*

127.

Cicero orat. 51, 172: *is igitur* (Aristoteles in rhet. 3, 8) *versum in oratione vetat esse, numerum*

[b] 18 v. l. παράλληλος.

iubet. eius auditor Theodectes, in primis, ut Aristoteles saepe significat, politus scriptor atque artifex, hoc idem et sentit et praecipit. Theophrastus vero eisdem de rebus etiam accuratius.

128.

Cicero orat. 57, 194 (Quintil. 9, 4, 88 et Rufinus de metris 2, 2 p. 388 Gf.): *sequitur ergo ut qui maxime cadant in orationem aptam numeri videndum sit . . . Aristoteles* (rhet. 3, 8) *. . . paeana probat . . . atque haec quae sunt apud Aristotelem, eadem a Theophrasto Theodecteque de paeane dicuntur.*

ib. 64, 218: *est quidem* (paean), *ut inter omnes constat antiquos, Aristotelem Theophrastum Theodectem Ephorum, unus aptissimus orationi vel orienti vel mediae. putant illi etiam cadenti, quo loco mihi videtur aptior creticus.*

129.

Schol. marg. int. Marc. B (Lips., Townl.) in Il. α, 303 ἐρωήσει: παρὰ τὴν ἐρωήν, ἤτοι ὁρμήσει. ἐναργῶς δὲ πέφανται τὸ περὶ τὸ δόρυ μεθ' ὁρμῆς ἐκχεόμενον αἷμα. καὶ ταύτας ἐμψύχους ἔλεγεν εἶναι παρ' αὐτῷ τὰς λέξεις Ἀριστοτέλης.

Schol. marg. int. B (Lips., Townl.) in Il. α, 481 πρῆσεν: Ἀριστοτέλης φησὶν ὡς κινούμενα ὀνόματα γράφει ὁ ποιητής.

Schol. V ad Il. π, 283 πάπτηνεν: δεινότατον τῶν ἐπῶν Ὁμήρου τοῦτό φησιν Ἀριστοτέλης, ἐν ᾧ πάντες φευκτιῶσιν, καὶ οἰκεῖον βαρβάρων.

XXVIII. ΤΕΧΝΩΝ ΣΥΝΑΓΩΓΗ.

130.

Cic. de invent. 2, 2: *ac veteres quidem scriptores artis usque a principe illo atque inventore Tisia repetitos unum in locum conduxit Aristoteles et nominatim cuiusque praecepta magna conquisita cura perspicue conscripsit atque enodata diligenter exposuit. ac tantum inventoribus ipsis suavitate et brevitate dicendi praestitit ut nemo illorum praecepta ex ipsorum libris cognoscat, sed omnes qui quod illi praecipiant velint intellegere, ad hunc quasi ad quendam multo commodiorem explicatorem revertantur.*

Cic. de orat. 2, 38, 160: *atque inter hunc Aristotelem, cuius et illum legi librum in quo exposuit dicendi artes omnium superiorum et illos in quibus ipse sua quaedam de eadem arte dixit, et hos germanos huius artis magistros hoc mihi visum est interesse . . .*

131.

Cic. Brut. 12 (Quintil. 3, 1, 8—13): *itaque ait Aristoteles cum sublatis in Sicilia tyrannis res privatae longo intervallo iudiciis repeterentur, tum primum quod esset acuta illa gens et controversa natura, artem et praecepta Siculos Coracem et Tisiam conscripsisse. nam antea neminem solitum via nec arte sed accurate tamen et de scripto plerosque dicere, scriptasque fuisse et paratas a Protagora rerum inlustrium disputationes, quae nunc communes appellantur loci. quod idem fecisse Gorgiam, cum singularum rerum laudes vituperationesque conscripsisset, quod iudicaret hoc oratoris esse maxime proprium rem augere posse laudando vituperandoque rursus affligere. huic Antiphontem Rhamnusium similia quaedam habuisse conscripta, quo neminem unquam melius ullam oravisse capitis causam, cum se ipse defenderet, se audiente, locuples auctor scripsit Thucydides. nam Lysiam primo profiteri solitum artem esse dicendi, deinde quod Theodorus esset in arte subtilior in orationibus autem ieiunior, orationes eum scribere aliis coepisse, artem removisse. similiter Isocratem primo artem dicendi esse negavisse, scribere autem aliis solitum orationes quibus in iudiciis uterentur. sed cum ex eo, quia quasi committeret contra legem qua quis iudicio circumveniretur, saepe ipse in iudicium vocaretur, orationes aliis destitisse scribere totumque se ad artes componendas transtulisse.*

132.

Diog. L. 2, 104: Θεόδωροι δὲ γεγόνασιν εἴκοσι ... ἕνατος Βυζάντιος, ἀπὸ λόγων πολιτικῶν. δέκατος ὁμοίως, οὗ Ἀριστοτέλης μνημονεύει διὰ τῆς ἐπιτομῆς τῶν ῥητόρων.

133.

Quintil. 3, 1, 13: *his successere multi, sed clarissimus Gorgiae auditorum Isocrates. quamquam de praeceptore eius inter auctores non convenit, nos autem Aristoteli credimus.*

134.

Dionysius Hal. περὶ τῶν ἀρχαίων ῥητόρων (de Isocr. c. 18) p. 570 R.: μηδεὶς δ' ἀγνοεῖν ὑπολάβῃ

23 τὰς add. Townl.

μηδ' ὅτι Ἀφαρεὺς ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς ἀντιδόσεως λόγῳ διορίζεται μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι, μηδ' ὅτι δέσμας πάνυ πολλὰς δικανικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βιβλιοπώλων Ἀριστοτέλης. ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα καὶ οὔτ' Ἀριστοτέλει πείθομαι ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ οὔτ' Ἀφαρεῖ τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ συντίθεμαι. ἱκανὸν δὲ ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς.

135.

Prolegom. in Isocratem (schol. in Aeschinem et Isocratem ed. Dindorf. Ox. 1852 p. 105, 22): λέγεται δ' ὡς ὅτι καὶ τέχνην ῥητορικὴν ἔγραψε, τῷ δὲ χρόνῳ ἔτυχεν αὐτὴν ἀπολέσθαι. ἐρεῖδέ τις, καὶ πόθεν δῆλον ὅτι τοῦτο οὕτως ἔχει; λέγομεν ὡς ὅτι Ἀριστοτέλης ὁ φιλόσοφος συναγαγὼν τέχνας ῥητορικὰς ἐμνήσθη καὶ ταύτης.

XXIX. ΠΕΡΙ ΣΥΜΒΟΥΛΙΑΣ.

136.

Schol. in Demosth. Olynth. I p. 11, 10 Did.: ... τέταρτον πρὸς τούτοις συνηρίθμησεν αὐτὸν τοῖς τότε στρατεύσασι, τεχνικῶς σφόδρα τὸ ἀξιόπιστον ἑαυτῷ προσκτώμενος. ὁ γὰρ Ἀριστοτέλης φησὶ δεῖν τὸν σύμβουλον οὕτω συμβουλεύειν ὡς ἑαυτὸν μέλλοντα κοινωνεῖν τούτοις ἐφ' οἷς ποιεῖται τὴν συμβουλήν· τούτοις γὰρ πείθονται μᾶλλον, οὓς ἂν ὁρῶσιν ἑτοίμους ὄντας συμμετέχειν ὧν συμβουλεύειν ἐγνώκασι.

XXX. ΑΠΟΡΗΜΑΤΑ ΟΜΗΡΙΚΑ.

Vit. Ar. vulg. (vit. Marc. cf. ad tit. XI): ὁ μὲν οὖν Ἀρ. ἔτι νέος ὢν τὴν τῶν ἐλευθέρων παιδείαν ἐπαιδεύετο, ὡς δηλοῖ τὰ γεγραμμένα αὐτῷ περὶ ποιητικῶν καὶ πρὸς ποιητάς, ἔτι μέντοι τὰ Ὁμήρου προβλήματα καὶ αἱ ῥητορικαὶ τέχναι.

137.

Schol. ext. marg. cod. Ven. B ad Il. β, 53 p. 46 ed. Villoison (ad β, 73 p. 50[b] 41 Bekk.): διὰ τί ὁ Ἀγαμέμνων ἀποπειρᾶται τῶν Ἀχαιῶν καὶ οὕτως ἔπραξε ὥστε ὀλίγου τὰ ἐναντία συμβῆναι ἢ ἐβουλεύετο; καὶ τὸ κώλυμα ἀπὸ μηχανῆς· ἡ γὰρ Ἀθηνᾶ ἐκώλυεν. ἔστι δὲ ἀποίητον τὸ μηχάνημα λύειν ἄλλως εἰ μὴ ἐξ αὐτοῦ τοῦ μύθου. φησὶ δὲ ὁ Ἀριστοτέλης ποιητικὸν μὲν εἶναι τὸ μιμεῖσθαι τὰ εἰωθότα γίνεσθαι καὶ ποιητῶν μᾶλλον τὸ κινδύνους παρεισάγειν.

138.

Schol. ext. B (Porphyrii sec. Eust.) ad Il. β, 169 ἀτάλαντον: λύων ὁ Ἀριστοτέλης τὸ τάλαντον οὔτε ἴσον φησὶ τότε καὶ νῦν εἶναι οὔτε ἀφωρισμένῳ χρῆσθαι σταθμῷ, ἀλλὰ μέτρον τι μόνον εἶναι, ὡς καὶ φιάλη σχῆμα τι ἀφωρισμένον οὐκ ἔχον σταθμόν, μέτρον δέ τι. καὶ τὸ τάλαντον δὲ μέτρον τί ἐστι, ποσὸν δὲ οὐκέτι ἀφωρισμένον· διὸ καὶ τὸ ἀντικείμενον αὐτοῖς ὑπερφίαλον καὶ ἀτάλαντον.

Schol. BL ad Il. ε, 577 ἀτάλαντον: τὸ τάλαντον ὁ μὲν Ἀριστοτέλης ἄλλως ἐξηγεῖται καὶ εὑρήσεις τοῦτο ἔμπροσθεν (ἐν τῷ ν̄ add. L) εἰς τὸν οὕτως ἔχοντα στίχον „ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι" (ν, 295).

Schol. (A sec. Vill.) ad Il. ψ, 269 τῷ δὲ τετάρτῳ θῆκε δύο χρύσοιο τάλαντα: πῶς τῷ τετάρτῳ πάντων μεῖζον δίδωσι; φησὶν οὖν ὁ Ἀριστοτέλης μὴ εἶναι τὸ τάλαντον ὡρισμένον ποσόν, ἀλλὰ καὶ ἐπὶ ἥσσονος καὶ μείζονος λαμβάνεσθαι· νῦν μὲν γὰρ ὡς ἧττον ἵππου λαμβάνεται, ἐν δὲ ταῖς λιταῖς (ι, 122) ὡς μεῖζον.

139.

Schol. ext. B (L) ad Il. β, 183 ἀπὸ δὲ χλαῖναν· βάλε: ἀπρεπὲς εἶναι δοκεῖ τὴν χλαῖναν ἀποβαλόντα μονοχίτωνα θεῖν τὸν Ὀδυσσέα διὰ τοῦ στρατοπέδου καὶ μάλιστα οἷος Ὀδυσσεὺς εἶναι ὑπείληπται· φησὶ δ' Ἀριστοτέλης, ἵνα διὰ τοῦτο θαυμάζων ὁ ὄχλος ἐπιστρέφηται καὶ ἐξικνῆται ἡ φωνὴ ὡς ἐπὶ μείζονα ἄλλου ἄλλοθεν συνιόντος· οἷον καὶ Σόλων λέγεται πεπονηκέναι, ὅτε συνῆγε τὸν ὄχλον περὶ Σαλαμῖνος.

140.

Schol. ext. B ad Il. β, 305 ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμούς, μέχρι τοῦ, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν (329): περὶ τούτων τῶν ἐπῶν ἠπόρησεν ὁ Ἀριστοτέλης τοιαῦτα· διὰ τί ὁ Κάλχας εἰ μὲν οὐδὲν ἦν τέρας τὸ γενόμενον, ἐξηγεῖται ὡς τέρας; τί γὰρ ἄτοπον ὑπὸ ὄφεως στρουθοὺς κατέδεσθαι ἢ τούτους ὀκτὼ εἶναι; περὶ δὲ τοῦ λίθου γενέσθαι οὐδὲν λέγει, ὃ ἦν μέγα. εἰ μὴ ἄρα εἰς τὸν ἀπόπλουν ἐσήμαινεν, ὥς τινές φασιν, οὐκ ἔδει δὲ ἀναμνῆσαι· εἰκὸς γὰρ ἦν ὑπολαβεῖν καὶ εἰ μήτις ἔλεγε. καὶ εἰ τότε

3 διισχυρίζεται em. Wolf. ‖ 45 συμβῆναι Bekk.: συμβουλεύειν Vill.

[b]2 ita Vill.: ἄλλως μὴ cod. ‖ 11 ita ego, cod. ἀφωρ. ἔχον σταθμόν, μέτρον δ' οὐκέτι. ‖ 32 μεῖζον L et Bekk. ‖ 34 Σαλαμῖνα Vill., σαλαμ̄ν cod. i. e. -μῖνος L. ‖ 39 ἠπόρηται Vill. ‖ 45 μήτις cod.: μάρτυς Vill. (comp. male intellecto). ‖ καὶ τότε cod.

ἀξίως ἔλεξε τοῦτο, ὅτι οὐδὲ ἀπέδωκεν, κἂν εἰ ἦν τὸ τέρας· ἐνάτη γὰρ ἦν ἡ μήτηρ, δεκάτῳ δὲ τὸ Ἴλιον ἥλω. φησὶν οὖν μὴ εἰς τὸν νόστον εἰρῆσθαι τὰ περὶ τῆς ἀπολιθώσεως τοῦ δράκοντος, διὸ οὐδ' ἐποίησε λέγοντα· οὔτε γὰρ πάντες ἐγένοντο ἄνοστοι, γελοῖός τ' ἂν ἦν οὐκ ἀπο- 5 τρέπων τοῦ πλοῦ ἀλλὰ πλεῖν προτρεπόμενος οὓς ἐδήλου τὰ σημεῖα μὴ ἐπανήξειν. μή ποτ' οὖν, φησί, τὸ σημεῖον τὸ λίθον γενέσθαι βραδύτητος σημεῖον ἦν, ὅπερ ἤδη καὶ ἐγεγόνει, καὶ οὐκέτ' ἦν φοβερόν. ἐλήφθη δὲ ἐν ἔτεσιν ἐννέα· τοῦ δεκάτου γὰρ ἔτους ἀρχομένου ἐγέ- 10 νετο, ἀριθμεῖ δὲ τὰ ὁλόκληρα ἔτη, ὥστε συνᾴδει ὀρθῶς ὁ ἀριθμὸς τῶν ἀπολωλότων καὶ τῶν ἐτῶν.

Ibidem mox (cod. f. 27ᵃ sup.): ἡ δὲ τοῦ δράκοντος ἀπολίθωσις κατὰ μὲν Ἀριστοτέλην τὴν βραδύτητα ἐδήλου καὶ τὸ σκληρὸν τοῦ πολέμου, κατὰ δὲ 15 ἄλλους τὴν τῆς πόλεως ἐρήμωσιν...

141.

Schol. ext. B (L, Eton.) ad Il. β, 649 Κρήτην ἑκατόμπολιν: διὰ τί ἐνταῦθα μὲν πεποίηκεν „ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο", ἐν δὲ τῇ 20 Ὀδυσσείᾳ εἰπὼν ὅτι ἔστιν ἡ Κρήτη καλὴ καὶ πίειρα καὶ περίρρυτος, ἐπάγει „ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι καὶ ἐνενήκοντα πόλεες"; τὸ γὰρ ποτὲ μὲν ἐνενήκοντα ποτὲ δὲ ἑκατὸν λέγειν δοκεῖ ἐναντίον εἶναι. . . . Ἀριστοτέλης δὲ οὐκ ἄτοπόν φησιν, εἰ μὴ πάντες τὰ αὐτὰ 25 λέγοντες πεποίηνται αὐτῷ· οὕτως γὰρ καὶ ἀλλήλοις τὰ αὐτὰ παντελῶς λέγειν ὤφειλον.

142.

Schol. ext. B. ad Il. γ, 236 (δοιὼ δ' οὐ δύναμαι): διὰ τί τὴν Ἑλένην πεποίηκεν ἀγνοοῦσαν περὶ τῶν ἀδελ- 30 φῶν ὅτι οὐ παρῆσαν, δεκαετοῦς τοῦ πολέμου ὄντος καὶ αἰχμαλώτων πολλῶν γινομένων· ἄλογον γάρ. ἔτι δὲ καὶ εἰ ἠγνόει, ἀλλ' οὐκ ἦν ἀναγκαῖον μνησθῆναι τούτων οὐκ ἐρωτηθεῖσαν ὑπὸ τοῦ Πριάμου περὶ αὐτῶν· οὐδὲ γὰρ πρὸς τὴν ποίησιν πρὸ ἔργου ἦν ἡ τούτων μνήμη. 35 φησὶ μὲν οὖν Ἀριστοτέλης· ἴσως ὑπὸ τοῦ Ἀλεξάνδρου ἐντυγχάνειν ἐφυλάττετο τοῖς αἰχμαλώτοις.

143.

Schol. ext. B (E) ad Il. γ, 276: (Πορφυρίου. εἰς τὸ Ζεῦ πάτερ Ἴδηθεν μεδέων κύδιστε μέγιστε, καὶ 40 μέχρι τοῦ στίχου (380), ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος. ἀπορία.) διὰ τί βουλόμενος ἐπιορκῆσαι τοὺς Τρῶας ὁ ποιητής, ἵνα εὐλόγως ἀπόλωνται, οὐδαμοῦ πεποίηκεν ἐπιορκοῦντας, ἀλλ' οἴεται; ὁ γὰρ ὅρκος ἦν, εἰ Ἀλέξανδρον ἀποκτείνειεν ὁ Μενέλαος, ἀποδοθῆναι τὴν Ἑλένην· οὐκ ἀναιρεθέντος δὲ οὐδαμοῦ ἠδίκουν μὴ ἀποδιδόντες οὐδ' ἐπιώρκησαν. φησὶ δ' Ἀριστοτέλης ὅτι οὐδ' ὁ ποιητὴς λέγει ὡς ἐπιώρκησαν, καθάπερ ἐπ' ἄλλων „ὣς φάτο καί ῥ' ἐπίορκον ὤμοσεν", ἀλλ' ὅτι κατάρατοι ἦσαν· αὐτοὶ γὰρ ἑαυτοῖς κατηράσαντο εἰπόντες „Ζεῦ κύδιστε μέγιστε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος". οὐκ ἐπιώρκησαν μὲν οὖν, ἐκακούργησαν δὲ καὶ ἔβλαψαν τοὺς ὅρκους· ἐπάρατοι οὖν ἦσαν. ταῦτά τοι καὶ Ἥρα πειρᾶται ἐξ αὐτῶν ὧν κατηράσαντο γενέσθαι αὐτοῖς τὴν βλάβην· εὐξαμένων γὰρ ἐκείνων „ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος" ἡ Ἥρα αὐτὸ τοῦτο παρακελεύεται τῇ Ἀθηνᾷ „ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν, πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι". τὸ δὲ βλάψαι οὐκ ἔστιν ἐπιορκῆσαι.

144.

Schol. ext. B (L) ad Il. γ, 277 (cf. Schol. Vindob. ad Od. μ, 374 in A. P. p. 159) ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς: διὰ τί τὸν ἥλιον πάντα ἐφορᾶν καὶ πάντα ἐπακούειν εἰπών, ἐπὶ τῶν ἑαυτοῦ βοῶν ἀγγέλου δεόμενον ἐποίησεν „ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθε Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταν ἑταῖροι". λύων δ' Ἀριστοτέλης φησίν, ἤτοι ὅτι πάντα μὲν ὁρᾷ ἥλιος ἀλλ' οὐχὶ ἅμα, ἤτοι ὅτι τῷ ἡλίῳ ἦν τὸ ἐξαγγεῖλαν ἡ Λαμπετία ὥσπερ τῷ ἀνθρώπῳ ἡ ὄψις· ἢ ὅτι, φησίν, ἁρμόττον ἦν εἰπεῖν οὕτως τόν τε Ἀγαμέμνονα ὁρκίζοντα ἐν τῇ μονομαχίᾳ „ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις" καὶ τὸν Ὀδυσσέα πρὸς τοὺς ἑταίρους λέγοντα· οὐ γὰρ δὴ καὶ τὰ ἐν ᾅδου ὁρᾷ.

145.

Schol. ext. B (LE) ad Il. γ, 441: (Πορφυρίου.) διὰ τί τὸν Ἀλέξανδρον πεποίηκεν οὕτως ἄθλιον ὥστε μὴ μόνον ἡττηθῆναι μονομαχοῦντα, ἀλλὰ καὶ φυγεῖν καὶ ἀφροδισίων μεμνημένον εὐθὺς καὶ ἐρᾶν μάλιστα τότε φάσκοντα καὶ οὕτως ἀσώτως διακεῖσθαι; Ἀριστοτέλης μέν φησιν εἰκότως· ἐρωτικῶς μὲν γὰρ καὶ πρότερον διέκειτο, ἐπέτεινε δὲ τότε. πάντες γάρ, ὅτε μὴ ἐξῇ ἢ φοβῶνται μὴ οὐχ ἕξουσι, τότε ἐρῶσι μάλιστα. διὸ καὶ νουθετούμενοι ἐπιτείνουσι μᾶλλον· ἐκείνῳ δὲ ἡ μάχη τοῦτο ἐποίησεν.

1 ἀπέδωκεν ἂν εἴη cod. (ἀπέδωκεν sc. τὸ γενόμενον). ‖ 5 γελοῖος δ' Vill. ‖ 6 οὓς: ὡς cod. ‖ 8 βραδυτῆτος cod, βραδυ τουτο Vill. ‖ 10 ἐν cod.: οὖν Vill. ‖ 26 ἀλληλοι Vill. ‖ 27 ὤφειλον cod.: ὀφείλουσιν Vill. ‖ 37 cf. Schol. int. B (LV): ἠγνόει δὲ τὰ περὶ αὐτῶν ἴσως μὴ συγχωρουμένη συντυγχάνειν τοῖς αἰχμαλώτοις. ‖ 42 quae uncis inclusa add. E. ‖ 43 οὐδαμῶς E.

b4 ὁ Ἀρ. E. ‖ 17 τρῶας E, τρῶσιν B, quem male legit Vill. qui habet ὡς κεντροισιν. ‖ 18 sic BE, ἄρξαντας male Vill. ‖ ita Ven., πρότερον Eton., προτέρους male Vill. ‖ 28 τοῦ ἡλίου cod. ‖ ἐξαγγεῖλαν cod., ἐξαγγεῖλαι errore Vill. (L.) | 31 ἄδη cod. ‖ 35 Πορφυρίου solus E. ‖ 41 ἐπέτεινε cod. (item LE): πέφηνε male Vill. ‖ φοβοῦνται BL (-ῶνται E). ‖ 42 οὐκ om. cod., add. Kammer.

146.

Schol. ext. B (LED) ad Il. δ, 88: (Πορφυρίου.) διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρῳ μᾶλλον εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν „ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κῆρι μελαίνῃ· τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον· σημεῖον δὲ ἡ ἐν οἴκῳ αὐτοῦ τῶν ἵππων κατάλειψις ἵνα μὴ δαπανᾷ· καὶ ὅτι φύσει ἐπίορκος ἦν· τὸ γοῦν ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι ὅθεν ἐκεῖνος ἦν ἐπίορκον.

... ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ. Schol. A (LD) ad δ, 88.

147.

Schol. ext. B (E, Vat.) ad Il. δ, 297 ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν: (Πορφυρίου.) διὰ τί τὴν τάξιν ταύτην ἐποίησεν, ἱππῆας μὲν πρῶτον, πεζοὺς δ' ἐξόπισθε, κακοὺς δ' ἐς μέσον; ἄτοπον γὰρ τὸ τοὺς ἱππέας πρὸ τῆς φάλαγγος ποιῆσαι καὶ τούτων μεταξὺ τοὺς φαύλους. λύει δ' Ἀριστοτέλης· ἢ οὐ πρὸ τῆς φάλαγγος λέγει τοὺς ἱππεῖς, φησίν, ἀλλ' ἐπὶ τοῖς κέρασιν, καὶ οὕτως πρῶτοι εἶεν ἄν. τοὺς δὲ κακοὺς οὐ τόπῳ διορίζει, ἀλλ' ἐναλλὰξ μεταξὺ ἀνδρείου τὸν ἀσθενέστερον, πεζοὺς δ' ἐξόπισθεν τῶν ἱππέων, ὥστε τὰ μὲν κέρατα κρατεῖν τοὺς ἱππέας, μετὰ δὲ τούτους τοὺς πεζούς. πανταχοῦ δὲ μεταξὺ τῶν ἀνδρείων ἱππέων τε καὶ πεζῶν τετάχθαι τοὺς κακοὺς ἤτοι ἱππέας τε καὶ πεζούς.

148.

Schol. ext. B ad Il. ε, 741 (cf. Schol. ad Od. λ, 634) ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου: διὰ τί ποτὲ μέν φησι τὴν κεφαλὴν τῆς Γοργόνος ἐν ᾅδου εἶναι λέγων „μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου ἐξ ᾅδου πέμψειε", ποτὲ δὲ τὴν Ἀθηνᾶν ἔχειν ἐν τῇ αἰγίδι λέγων „βάλετ' αἰγίδα θυσανόεσσαν" καὶ ἐπάγει „ἐν δ' ἔρις, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεσσα ἰωκή, ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου". φησὶ δ' Ἀριστοτέλης ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνος, ὥσπερ οὐδὲ τὴν ἔριν οὐδὲ τὴν κρυόεσσαν ἰωκήν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν.

149.

Schol. int. B (LV) ad Il. ε, 778 αἱ δὲ βάτην τρήρωσι θελείασιν ἴθμαθ' ὁμοῖαι: ... καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ αὐτῶν τὰ ἴχνη, ὡς Ἀριστοτέλης.

150.

Schol. ext. B ad Il. ζ, 234 ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς: ... διὰ τί ὁ μὲν Γλαῦκος προήχθη εἰς φιλοτιμίαν τοῦ ἀλλάσσειν τὰ ὅπλα χρυσᾶ ὄντα πρὸς Διομήδη, ὁ δὲ ποιητὴς ἐπιτιμᾷ ὡς οὐ δέον οὐδ' εἰ φίλος εἴη προίεσθαι πλείονος ἄξιον; ... ὁ ποιητὴς δέ, φησὶν Ἀριστοτέλης, οὐχ ὅτι τὰ πλείονος ἄξια ὄντα προήκατο ἐπιτιμᾷ, ἀλλ' ὅτι ἐν πολέμῳ καὶ χρώμενος προίετο· οὐδὲν γὰρ ἀλλοιότερον ὥσπερ ἂν εἰ ἀπέβαλε τὰ ὅπλα. ἐπιτιμᾷ οὖν ὅτι κρείττω προίετο οὐκ εἰς τιμὴν ἀλλ' εἰς χρῆσιν· ἀναγκαῖον δὲ τοῦτο δηλῶσαι εἰπόντα τὴν ἀξίαν.

151.

Schol. ext. B ad Il. η, 93: διὰ τί προκαλουμένου Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριστοι αἰδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι, Μενέλαος δὲ πρῶτος ἀνίσταται καὶ μεμψάμενος τοὺς ἄλλους κατεδύσατο τεύχεα καλά, μάχεσθαι προθυμούμενος· ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίσταντο, οὐδαμοῦ αὐτὸς ἐν τούτοις εὑρίσκεται, ἀλλ' Ἀγαμέμνων καὶ Διομήδης καὶ οἱ Αἴαντες καὶ Ἰδομενεὺς καὶ Μηριόνης καὶ Εὐρύπυλος καὶ Θόας καὶ Ὀδυσσεύς; φησὶ δὲ ὁ Ἀριστοτέλης ὅτι ἅπαξ ἀκούσας „μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι Ἕκτορι" οὐκ ἔμελλεν αὖθις ἀνίστασθαι· καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάστασις· καὶ ὅτι ἤδη μονομαχήσας ἐτύγχανεν Ἀλεξάνδρῳ καὶ οὐ καλῶς ἀπαλλάξας, καὶ νεωστὶ ἐτέτρωτο ὑπὸ Πανδάρου· καὶ ὅτι ἀποκινδυνεύειν τοῦτον οὐκ ἐχρῆν, ἐν ᾧ τὸ τέλος ἤρτητο τοῦ πολέμου· ἐπὶ γὰρ Ἀλεξάνδρου ἴσον ἦν τὸ τοῦ κινδύνου.

152.

Schol. ext. B ad Il. η, 228: διὰ τί ὁ Αἴας τῷ Ἕκτορι δεδήλωκε τὴν τοῦ Ἀχιλλέως μῆνιν; οὐδεμία γὰρ ἀνάγκη ἦν οὐδὲ φρονίμου ἀνδρὸς τὰ παρ' αὐτοῦ κακὰ τοῖς πολεμίοις ἐξαγγέλλειν. ἢ ὅτι ... Ἀριστοτέλης δέ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδεδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους.

153.

Schol. ext. B. ad Il. ι, 17: διὰ τί λέγοντα ποιεῖ ἐν δήμῳ „ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες" τοὺς ἡγήτορας καὶ βασιλεῖς προσφωνῶν καίπερ πάντων παρόντων; φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ὁ μὲν δῆμος

2 Πορφ. solus E. ‖ 7 φησὶν οὖν BL: καί φησιν DE. ‖ 11 ἐν οἴκῳ: τῷ οἴκῳ BLE (ἡ τῶν ἵππων αὐτοῦ ἐπ' οἴκου κ. D, vel ἐν οἴκῳ κ. Vill.). ‖ 13 γοῦν: γαρ Vill. ‖ 19 Πορφ. add. E. ‖ 24 λέγει ego: λέγειν Vill. ‖ 25 οὗτοι Vill., corr. Bekk. ‖ 30 τοὺς κακοὺς etc. (vid. A. P. p. 161) errore om. Vill., inserui ex ipso Ven. B et Eton.

b3 ἀφανῆ γὰρ τὰ τῶν περιστερῶν ἴχνη καὶ Ἀς. λέγει L. ‖ 44 ita cod., ἡγεμόνας falso Vill.

μόνου τοῦ ἀκοῦσαι κύριος, οἱ δὲ ἡγεμόνες καὶ τοῦ πρᾶξαι.

154.

Schol. ext. B ad Il. κ, 98 (κ, 198 Bekk.) μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ: ἠπόρησεν Ἀριστοτέλης διὰ τί ἔξω τοῦ τείχους ἐποίησε τοὺς ἀριστέας βουλευομένους ἐν νυκτηγορίᾳ, ἐξὸν ἐντὸς τοῦ τείχους ἐν ἀσφαλεῖ. καί φησι· πρῶτον μὲν οὖν οὐκ εἰκὸς ἦν ἀποκινδυνεύειν τοὺς Τρῶας οὔτ' ἐπιτίθεσθαι νύκτωρ· οὐ γὰρ τῶν εὐτυχούντων ἦν ἀποκινδυνεύειν. ἔπειτα ἐν ἐρημίᾳ καθ' ἡσυχίαν βουλεύεσθαι περὶ τῶν τηλικούτων ἔθος. ἄτοπον δ' ἂν ἦν, εἰ ἠξίουν μὲν πορευθῆναί τινας εἰς τοὺς Τρῶας, αὐτοὶ δὲ οὐδὲ μικρὸν προελθεῖν ἐτόλμων. ἔπειτα στρατηγῶν ἂν εἴη τὸ φυλάσσεσθαι τοὺς νυκτερινοὺς θορύβους, τὸ δ' ἐν τῷ στρατεύματι νυκτὸς συνιόντας βουλεύεσθαι, νεωτερισμοῦ ὑποψίαν παρασχόν, φόβον ἂν ἐνεποίει.

155.

Schol. ext. B ad Il. κ, 153 ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο: φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ σαυρωτῆρας στάσις· καὶ δὴ πολλαχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεσόν. λύει δ' Ἀριστοτέλης λέγων ὅτι τοιαῦτα ἀεὶ ποιεῖ Ὅμηρος, οἷα ἦν τότε. ἦν δὲ τοιαῦτα τὰ παλαιά, οἵἁπερ καὶ νῦν ἐν τοῖς βαρβάροις· πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων.

156.

Schol. ext. B ad Il. κ, 252: ... αὐτίκα τῶν παλαιῶν ζητημάτων ὡμολόγηται εἶναι τὸ τοιοῦτο, ἐν οἷς φησίν „ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκεν δὲ πλέον νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται". πῶς γὰρ εἰ αἱ δύο μοῖραι ἐξήκουσιν αὐταί τε καὶ ἔτι τούτων πλέον, ἡ τριτάτη μοῖρα λέλειπται ἀλλ' οὐχὶ τῆς τρίτης μόριον ... Ἀριστοτέλης δὲ οὕτως ἀξιοῖ λύειν ἐν οἷς φησίν· ἡ εἰς δύο διαίρεσις εἰς ἴσας δύναται γενέσθαι ἐν τούτοις· ἐπεὶ δὲ τὸ πλέον τοῦ ἡμίσεος ἀόριστόν ἐστιν, ὅταν τοσοῦτον αὐξηθῇ ὡς τοῦ ὅλου τρίτον ἀπολείπεσθαι, ἀκριβοῦς ἂν εἴη τὸ ἀφορίσαι τοῦτο καὶ δηλῶσαι ὅσον ἐστὶ τὸ καταλειφθέν, ἵνα ὅσον ηὐξήθη τοῦ ὅλου τὸ ἥμισυ δῆλον γένηται. οἷον τῶν $\overline{\varsigma}$ ἥμισυ τὰ $\overline{\gamma}$. εἴπερ διαιρεθείη τὰ $\overline{\varsigma}$ εἰς $\overline{\beta}$ ἴσα, ἔσται $\overline{\gamma}$. ἐὰν τὸ ἕτερον μέρος αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμοῦ ἢ ὅλῃ μονάδι. ἐὰν οὖν ὅλῃ μονάδι πλέον γένηται, τὸ μέρος τὸ ὑπολειπόμενον τρίτον ἔσται τοῦ ὅλου, ὥστε καὶ ὁ εἰπὼν τῶν δύο μερῶν θάτερον πλέον γενόμενον καταλέλοιπε τριτάτην μοῖραν, δεδήλωκεν ὅτι ἐν αὐξήσει τὸ πλέον μονάδι γέγονε, τεσσάρων γεγονότων τῶν τριῶν καὶ δύο ὑπολειπομένων, ὅπερ ἦν τῶν ἓξ τὸ τρίτον. ἐπεὶ οὖν καὶ τῆς νυκτὸς αἱ δώδεκα μοῖραι εἰς δύο ἴσας μερίδας μερίζεσθαι δύνανται εἰς ἕξ, ηὐξήθη δὲ καὶ πλέον γεγονὸς θάτερον μέρος, ἄδηλον δὲ τὸ πόσαις ὥραις· καὶ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ καὶ πλείοσιν ἡ αὔξησις δύναται γίνεσθαι· ἀφορίσας ὁ ποιητὴς τὸ ἀόριστον τοῦ πλείονος πόσον ἦν καὶ ὅτι δύο ὥραις ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπται, ὡς ὀκτὼ μὲν γενέσθαι τὰς παρῳχηκυίας ὥρας, καταλείπεσθαι δὲ τέσσαρας, αἵπερ εἰσὶ τοῦ ὅλου τρίτον.

157.

Schol. cod. A ad Il. τ, 108 εἰ δ' ἄγε νῦν μοι ὄμοσσον: διὰ τί ἡ Ἥρα ὀμόσαι προάγει τὸν Δία; ἢ δῆλον ὡς οὐ ποιοῦντα ἃ ἂν φῇ. εἰ δὲ τοῦτο, διὰ τί οὐ κατανεῦσαι ἀλλὰ καὶ ὀμόσαι ἠξίωσεν, ὡς καὶ ψευδομένου ἂν μὴ ὀμόσῃ; ὁ δὲ ποιητής φησιν ἀληθεύειν „ὅ τι κεν κεφαλῇ κατανεύσῃ". τὸ μὲν οὖν ὅλον μυθῶδες· καὶ γὰρ οὐδ' ἀφ' ἑαυτοῦ ταῦτά φησιν Ὅμηρος οὐδὲ γινόμενα εἰσάγει, ἀλλ' ὡς διαδεδομένων περὶ τὴν Ἡρακλέους γένεσιν μέμνηται. ῥητέον δὲ ὅτι καὶ ὁ μῦθος εἰκότως εἰσάγει τὴν Ἥραν ὁρκοῦσαν τὸν Δία· πάντες γὰρ περὶ ὧν φοβοῦνται μὴ ἄλλως ἀποβῇ, πολὺ τῷ ἀσφαλεῖ προέχειν πειρῶνται· διὸ καὶ ἡ Ἥρα ἅτε οὐ περὶ μικρῶν ἀγωνιζομένη καὶ τὸν Δία εἰδυῖα ὅτι αἰσθόμενος τὸν Ἡρακλέα δουλεύοντα ὑπεραγανακτήσει, τῇ ἰσχυροτάτῃ ἀνάγκῃ κατέλαβεν αὐτόν. οὕτως Ἀριστοτέλης.

158.

Schol. ext. B (M) ad Il. ω, 15: (Πορφυρίου.) διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἴλκε περὶ τὸν τάφον τοῦ Πατρόκλου παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομοῦσι τὰ αὐτὰ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐνεχείρησε λωβήσασθαι Πάτροκλον τὰ τοιαῦτα ... ἔστι δὲ λύειν, φησὶν Ἀριστοτέλης, καὶ τῷ εἰς τὰ ὑπάρχοντα ἀνάγειν ἔθη ὅτι τοιαῦτα ἦν, ἐπεὶ καὶ νῦν ἐν Θετταλίᾳ περιέλκουσι περὶ τοὺς τάφους.

159.

Schol. Victor. (Townl.) ad Il. ω, 420 σὺν δ' ἕλκεα πάντα μέμυκε: παράδοξον· τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται.

ib. ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν

14 προελθεῖν Bekk. (cf. προιέναι ad κ, 194): προσελθεῖν Vill. ‖ 17 ἂν addidi. ‖ 21 πολλαχοῦ Bekk.: πανταχοῦ ex cod. Vill. ‖ 34 ἴσας: ἴσην Vill. ‖ 35 ἐπειδὴ Vill. ex cod. ‖ ἀκριβῶς Vill.

b8 ἀφορίσας ego: ἀφορίζει cod. ‖ 30 Πορφ. add. M. ‖ 15 προάγει ego (cf. κελεύει in sch. B): πρὸς Vill. ‖ 34 ἀνεχείρησε Vill. ‖ 35 λύειν M.: λύσις Vill. ‖ 36 καὶ τῷ . . . ἀνάγειν ego: καὶ . . . ἀνάγων BM.

Ἀριστοτέλης εἰρηκέναι Ὅμηρον „μῦσεν δὲ περιβροτόεσσα ὠτειλή". τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.

160.

Schol. (B sec. Vill. cf. Eust.) ad Il. ω, 569 μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσι ἐάσω: Ἀριστοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. οἱ δέ φασιν ὅτι ἵνα ἀποστήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δειδίσσει.

161.

Schol. (ed. Dindorf.) HQE ad Od. δ, 356 (νῆσος ... Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν,) τόσσον ἄνευθ' (ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς ἤνυσεν): τοσοῦτον γὰρ ἀπέχει Ναυκράτεως ἡ Φάρος, ἔνθα τότε τῆς Αἰγύπτου τὸ ἐμπόριον ἦν, ὥς φησιν Ἀριστοτέλης. μέχρι Ναυκράτεως τὸ πέρας ἦν τοῦ Νείλου τότε.

162.

Schol. T ad Od. ε, 93 κέρασσε δὲ νέκταρ ἐρυθρόν: εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ τὸ νέκταρ, διὰ τί αὐτὸ ἡ Καλυψὼ τῷ Ἑρμῇ κεράσασα δίδωσιν; εἰ γὰρ κεκέρασται σὺν ὕδατι, οὐ μόνον τὸ νέκταρ ἀλλὰ καὶ τὸ ὕδωρ πίνουσιν. καίτοι, φησί, ψιλὴν ἀμβροσίαν παρέθηκε „κέρασσε δὲ νέκταρ ἐρυθρόν". λύων οὖν ὁ Ἀριστοτέλης τὸ κέρασσε, φησίν, ἤτοι τὸ μῖξαι ἄλλο ἄλλῳ ὑγρῷ δηλοῖ ἢ τὸ ἐγχέαι· ἄμφω γὰρ δηλοῖ τὸ κεράσαι. νῦν οὖν τὸ „κέρασσε δὲ νέκταρ ἐρυθρόν" οὐ τὸ μῖξαι δηλοῖ ἀλλὰ ψιλῶς ἐγχέαι.

Ibidem Schol. alt. (QEB) Vindob. κέρασε δὲ νέκταρ ἐρυθρόν: ἀντὶ τοῦ ἐνέχεεν· οὐ γὰρ κιρνᾶται τὸ νέκταρ. εἰ οὐδὲν γὰρ ἄλλο πίνουσιν οἱ θεοὶ ἢ νέκταρ πῶς αὐτὸ κιρνᾷ ὕδατι ἡ Καλυψώ; ἔστιν οὖν ἀντὶ τοῦ ἐνέχεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας· εἰς κέρας γὰρ ἐγχέοντες ἔπινον. ἢ ὅτι τὸ κέρασε κατὰ τὸν Ἀριστοτέλην, ὡς ὁ Πορφύριος λέγει, οὐ μόνον δηλοῖ τὸ μῖξαι ἄλλῳ ὑγρῷ ἄλλο, ἀλλὰ καὶ τὸ ἐγχέαι ψιλῶς.

163.

Schol. (TQEP) Vindob. ad Od. ε, 334 (Ἰνὼ Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα) ... ζητεῖ δὲ ὁ Ἀριστοτέλης, διὰ τί τὴν Καλυψὼ καὶ τὴν Κίρκην καὶ τὴν Ἰνὼ αὐδήεσσας λέγει μόνας· πᾶσαι γὰρ καὶ αἱ ἄλλαι φωνὴν εἶχον. καὶ λῦσαι μὲν οὐ βεβούληται, μεταγράφει δὲ ποτὲ μὲν εἰς τὸ αὐλήεσσα, ἐξ οὗ δηλοῦσθαί φησιν ὅτι μονώδεις ἦσαν· ἐπὶ δὲ τῆς Ἰνοῦς οὐδήεσσα. τοῦτο γὰρ πάσαις ὑπῆρχεν αὐταῖς καὶ μόναις· πᾶσαι γὰρ αὗται ἐπὶ γῆς ᾤκουν.

Schol. alt. HQP ibidem: ὁ μὲν Ἀριστοφάνης τὰς ἀνθρωποειδεῖς θεὰς αὐδήεσσας φησὶν οἱονεὶ φωνὴν μετειληφυίας, ὁ δὲ Ἀριστοτέλης οὐδήεσσαν λέγει οἱονεὶ ἐπίγειον. οὕτως καὶ Χαμαιλέων.

Schol. H ad Od. κ, 136 αὐδήεσσα: Ἀριστοτέλης οὐδήεσσα.

164.

Schol. HQ et Vindobon. ad Od. ι, 106 (T ad ι, 311) Κυκλώπων δ' ἐς γαῖαν: ζητεῖ Ἀριστοτέλης πῶς ὁ Κύκλωψ ὁ Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος· Ποσειδῶνος γὰρ ἦν· μήτε μητρός, Κύκλωψ ἐγένετο αὐτός. ἐκ δὲ τοῦ μύθου ἐπιλύεται· καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος.

165.

Schol. HT ad Od. ι, 345 (ι, 333): διὰ τί Ὀδυσσεὺς πρὸς τοὺς Φαίακας ἔλεγεν ὅτι τὸν Κύκλωπα ἐτύφλωσε Ποσειδῶνος υἱὸν ὄντα, οὖσι καὶ αὐτοῖς ἀπογόνοις Ποσειδῶνος; λύων οὖν Ἀριστοτέλης φησὶν ὅτι ᾔδει ἐχθροὺς αὐτοὺς ὄντας τοῦ Κύκλωπος· ἐκβληθέντας γάρ φησιν ὑπὸ τῶν Κυκλώπων ἐλθεῖν ἐπὶ τὴν Σχερίαν „οἳ πρὶν μέν ποτ' ἔναιον ... ἀλφηστάων".

Schol. QM (ad ι, 333) et Vindob. (ad ι, 315): πῶς οὐκ ἐδεδίει τοὺς ἐκγόνους Ποσειδῶνος Φαίακας τὴν πήρωσιν λέγων Κύκλωπος; Ἀριστοτέλης οὖν φησὶν ὅτι ᾔδει ἐχθροὺς ὄντας αὐτοῖς „οἵ σφεας σινέσκοντο".

166.

Schol. HTQ(M) ad Od. ι, 525: διὰ τί Ὀδυσσεὺς οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησεν τῷ λόγῳ εἰπών „ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων". Ἀντισθένης μέν φησι διὰ τὸ εἰδέναι ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν ἀλλ' ὁ Ἀπόλλων, Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται ἀλλ' ὅτι οὐ βουληθήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος. διὰ τί οὖν ὁ Ποσειδῶν ὠργίσθη, καίτοι μὴ χαλεπαίνων διὰ τὸ ἀπόφθεγμα ἀλλὰ διὰ τὴν τύφλωσιν „Κύκλωπος γὰρ κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν", καὶ παμπονήρου ὄντος καὶ τοὺς ἑταίρους κατεσθίοντος; λύων δὲ ὁ Ἀριστοτέλης φησὶ μὴ ταὐτὸν εἶναι ἐλευθέρῳ πρὸς δοῦλον καὶ δούλῳ πρὸς ἐλεύθερον, οὐδὲ τοῖς ἐγγὺς τῶν θεῶν οὖσι πρὸς τοὺς ἄποθεν. ὁ δὲ Κύκλωψ ἦν μὲν ζημίας ἄξιος ἀλλ' οὐκ Ὀδυσσεῖ κολαστέος ἀλλὰ τῷ Ποσειδῶνι. ἢ πανταχοῦ νόμιμον τῷ διαφθειρομένῳ βοηθεῖν, τῷ υἱῷ· καὶ ἦρχον ἀδικίας οἱ ἑταῖροι.

167.

Schol. Vindob. ad Od. μ, 128 et 129 βόσκοντ' ἠελίοιο βόες (128): ἀπόβλητον ἦν τοῖς ἀρχαίοις ἀρότην

31 ψιλῶς post οὖν add. cett. ‖ 41 βούλεται QE et Vind. ‖ 44 codd. αὐδήεσσα, etiam Vind. ‖ τοῦτο: ἐκεῖνο Vind. et E. ‖ 45 ἐπὶ γῆς: ἐπὶ αὐλὰς Vind. et E.

b5 Ἀρίσταρχος cod. ‖ 10 ὁ om. Vind. et T. ‖ 11 ἐγένετο. αὐτὸς δὲ ἑτέρῳ μύθῳ ἐ. codd. (αὐτὸς κύκλωψ ἐγένετο. ἑτέρῳ μύθῳ ἐ. T). ‖ 23 διὰ τί Vind. ‖ 33 sic HTQ. reliqua (διὰ τί οὖν ...) in HT(M). ‖ 41 ἢ: codd. εἰ. ‖ ἢ — ἑταῖροι om. H.

βοῦν κτείνειν. ἔπασχε γὰρ κακῶς ἐξ ἀνθρώπων ἢ θεῶν ὅστις τοῦτο πεποίηκεν. ὅπερ οἱ τοῦ Ὀδυσσέως φίλοι ποιήσαντες ἀπώλοντο. Ἀριστοτέλης φυσικῶς φησίν· λέγει γὰρ τὰς τριακοσίους τοῦ χρόνου ἡμέρας πρὸς ταῖς λοιπαῖς. — ἑπτὰ βοῶν ἀγέλαι (129): Ἀριστοτέλης φυσικῶς τὰς κατὰ σελήνην ἡμέρας αὐτὸν λέγειν φησὶ τὴν οὔσας. τὸν γὰρ πεντήκοντα ἀριθμὸν ἑπταπλασιάσας εἰς τὸν τριακοστὸν περιεστάναι εὑρήσεις.

Eustathius p. 1717: ἰστέον δὲ ὅτι τὰς ἀγέλας ταύτας καὶ μάλιστα τὰς τῶν βοῶν φασὶ τὸν Ἀριστοτέλην ἀλληγορεῖν εἰς τὰς κατὰ δωδεκάδα τῶν σεληνιακῶν μηνῶν ἡμέρας γινομένας πεντήκοντα πρὸς ταῖς τριακοσίαις, ὅσος καὶ ὁ ἀριθμὸς ταῖς ἑπτὰ ἀγέλαις ἐχούσαις ἀνὰ πεντήκοντα ζῶα. διὸ οὔτε γόνον αὐτῶν γίνεσθαι Ὅμηρος λέγει οὔτε φθοράν· τὸ γὰρ αὐτὸ πλῆθος ἀεὶ ταῖς τοιαύταις ἡμέρας μένει.

168.

Schol. N ad Od. ν extr. (p. 789 Dind.): διὰ τί Ὀδυσσεὺς τῇ μὲν Πηνελόπῃ ἡλικίαν τε ἤδη ἐχούσῃ καὶ φιλούσῃ αὐτὸν οὐκ ἐδήλωσεν ὃς ἦν, τῷ δὲ Τηλεμάχῳ νέῳ ὄντι καὶ τοῖς οἰκέταις τῷ μὲν συβώτῃ τῷ δὲ βουκόλῳ ὄντι; οὐ γὰρ δήπου μὴ πεῖραν ἐκείνης εἰληφώς. ἔστι φάναι, φησὶν Ἀριστοτέλης, ὅτι τοῖς μὲν ἔδει ὡς ἂν μετέχειν μέλλουσι τοῦ κινδύνου εἰπεῖν· ἀδύνατον γὰρ ἦν ἄνευ τούτων ἐπιθέσθαι τοῖς μνηστῆρσι ... ἔστι δὲ εἰπεῖν καὶ ὅτι ηὐλαβήθη μὴ περιχαρὴς ἀκούσασα γένηται καὶ ἐπίδηλον ποιήσῃ. ἑώρα γὰρ αὐτὴν σφόδρα ἐπιθυμοῦσαν. οὐκοῦν καὶ ὁ υἱός. ἀλλ' ὁ μὲν καὶ μειδιᾶν εἴωθε καὶ ἁπλῶς διαλέγεσθαι καὶ κρατεῖν τοῦ πάθους, ἡ δὲ μόνον κλαίειν. παυσαμένης οὖν τοῦ κλαίειν μόνον, εἰ καὶ μηδεὶς ἐξεῖπεν, ὑποψία τις ἐγένετο. οὐ γὰρ ἂν προσεποιήθη δακρύειν· ἡ γὰρ χαρὰ ὑποῦσα οὐκ ἂν κρατεῖν τῆς ποιήσεως εἴασεν.

169.

Schol. Vindob ad Od. ρ, 326 Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβε: Ἀριστοτέλης φησὶν ὅτι πρεσβύτης ἦν ἤδη σφόδρα ὁ κύων καὶ ὑπὸ τῆς ἡδονῆς τῆς πρὸς τὸν Ὀδυσσέα ἐτελεύτησεν εἰκότως· αἱ γὰρ σφοδραὶ ἡδοναὶ καὶ ἰσχυραὶ διαλύουσι. διὸ καὶ τὸν κύνα ἐποίησεν ἀναγνωρίσαντα καὶ ἡσθέντα καταψῦξαι.

170.

Schol. Vindob. ad Od. ψ, 337 ἀλλὰ τοῦ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν: Πορφυρίου. διὰ τί Ὀδυσσεὺς τῆς Καλυψοῦς διδούσης αὐτῷ τὴν ἀθανασίαν οὐκ ἐδέξατο; Ἀριστοτέλης μὲν οὖν πρὸς τοὺς Φαίακάς φησι ταῦτα λέγειν Ὀδυσσέα ἵνα σεμνότερος φαίνηται καὶ μᾶλλον ἀλλοῖα σπουδάσαι. συνέφερε γὰρ αὐτῷ πρὸς τὸ θᾶττον ἀποσταλῆναι. ἔπειτα ἔοικεν οὐ τῷ μὴ πεισθῆναι λέγειν μὴ λαβεῖν τὴν τοιαύτην δωρεάν, ἀλλὰ μὴ πιστεῦσαι αὐτῇ τοιαῦτα λεγούσῃ. ἡ μὲν γὰρ ἔφασκε ποιήσειν, ὁ δὲ οὐκ ἐπίστευεν, οὐχὶ πιστεύων παρῃτεῖτο.

171.

Phrynichus ecloga voc. Att. s. βασίλισσα: οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ βασίλεια ἢ βασιλίς.

Idem epit. s. βασίλισσαν Ἀλκαῖόν φασι τὸν κωμῳδοποιὸν καὶ Ἀριστοτέλην ἐν τοῖς Ὁμήρου ἀπορήμασιν εἰρηκέναι ... τοῖς πλείοσιν οὖν πειθόμενοι βασίλειαν ἢ βασιλίδα λέγωμεν.

Antiatticista Bekk. Anecd. I p. 84, 26 s. βασίλισσα: Ἀλκαῖος Γανυμήδει, Ἀριστοτέλης Ὁμηρικοῖς ἀπορήμασιν.

172.

Athenaeus XIII p. 556[d]: θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα πᾶσι δοὺς γυναῖκας. κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ καὶ Φοίνιξ. οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατιὰν ἤθροισε· διόπερ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται „πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἃς τοι Ἀχαιοὶ πρωτίστῳ δίδομεν". ἀλλ' οὐκ εἰκός, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο.

173.

Strabo XIII p. 598: καὶ μὴν τόγε ναύσταθμον τὸ νῦν ἔτι λεγόμενον πλησίον οὕτως ἐστὶ τῆς νῦν πόλεως, ὥστε θαυμάζειν εἰκότως ἄν τινα τῶν μὲν τῆς ἀπονοίας τῶν δὲ τοὐναντίον τῆς ἀψυχίας, ἀπονοίας μέν, εἰ τοσοῦτον χρόνον ἀτείχιστον αὐτὸ εἶχον, πλησίον οὔσης τῆς πόλεως καὶ τοσούτου πλήθους τοῦ τ' ἐν αὐτῇ καὶ τοῦ ἐπικουρικοῦ· νεωστὶ γὰρ γεγονέναι φησὶ τὸ τεῖχος — ἢ οὐδ' ἐγένετο, ὁ δὲ πλάσας ποιητὴς ἠφάνισεν, ὡς Ἀριστοτέλης φησίν· ἀψυχίας δέ, εἰ γενομένου τοῦ

3 cf. schol. BQM: ἑπτὰ β. ἀγ. ἀριστοτέλης φυσικῶς φησί· λέγει γὰρ τὰς κατὰ σελήνην ἡμέρας πεντήκοντα πρὸς ταῖς τριακοσίαις. ‖ 5 hoc alt. sch. etiam in Q. ‖ 7 τῶν: τὰς ν Vind.

[b]2 ἀλ... codex cum lacuna.

τείχους ἐτειχομάχουν καὶ εἰσέπεσον εἰς αὐτὸ τὸ ναύσταθμον καὶ προσεμάχοντο ταῖς ναυσίν, ἀτείχιστον δὲ ἔχοντες οὐκ ἐθάρρουν προσιόντες πολιορκεῖν μικροῦ τοῦ διαστήματος ὄντος.

174.

Plutarch. de aud. poetis 12: οἱ δὲ παῖδες ἂν ὀρθῶς ἐκτρέφωνται τοῖς ποιήμασιν, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον. αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον (τὸν Ἐχέπωλον Il. ψ, 296) καὶ τὴν Αἴθην χαρισάμενον αὐτῷ „δῶρ', ἵνα μή οἱ ἔποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν, ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν Ζεὺς ἄφενος". ὀρθῶς δέ γε ἐποίησεν, ὡς Ἀριστοτέλης φησίν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας.

175.

Athen. V, 6 p. 188e: πάντα δ' ὧν ἀκριβὴς Ὅμηρος καὶ τὸ μικρὸν τοῦτο οὐ παρέλιπε τὸ δεῖν θεραπεύσαντα τὸ σωμάτιον καὶ λουσάμενον ἰέναι πρὸς τὸ δεῖπνον. ἐπὶ γοῦν τοῦ Ὀδυσσέως εἶπε πρὸ τῆς παρὰ Φαίαξι θοίνης „αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν". ἐπὶ δὲ τῶν περὶ Τηλέμαχον „ἕς ῥ' ἀσαμίνθους βάντες ἐυξέστας λούσαντο". ἀπρεπὲς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ.

IV. ETHICA.

XXXI. ΤΑ ΕΚ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΠΛΑΤΩΝΟΣ.

176.

Proclus in Plat. remp p. 350 Bas.: καὶ μαρτυροῦνται καὶ οὗτοι τὴν ἐπιγραφὴν (τῆς πολιτείας) ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὑτωσί φησιν „ἐπιτέμνεσθαι τὴν πολιτείαν'.

XXXII. ΝΟΜΟΣ ΣΥΣΣΙΤΙΚΟΣ.

Athenaeus V, 2 p. 186b: καὶ τοῖς φιλοσόφοις δὲ ἐπιμελὲς ἦν συναγουσι τοὺς νέους μετ' αὐτῶν πρός τινα τεταγμένον νόμον εὐωχεῖσθαι. τοῦ γοῦν Ξενοκράτους ἐν ἀκαδημείᾳ καὶ πάλιν Ἀριστοτέλους συμποτικοί τινες ἦσαν νόμοι.

Epitom. Ath. I p. 3f: ὅτι Ξενοκράτης ὁ Χαλκηδόνιος καὶ Σπεύσιππος ὁ ἀκαδημαικὸς καὶ Ἀριστοτέλης συμποτικοὺς (βασιλικοὺς codd.) νόμους ἔγραψαν.

177.

Proclus in Plat. rempubl. p. 350 Bas.: καὶ ἐν τῷ συσσιτικῷ τοῦτον αὐτὴν (τὴν πολιτείαν) προσαγορεύει τὸν τρόπον καὶ ἐν τοῖς πολιτικοῖς ὡσαύτως καὶ Θεόφραστος ἐν νόμοις καὶ ἄλλοθι πανταχοῦ.

XXXIII. ΠΕΡΙ ΣΥΜΒΙΩΣΕΩΣ ΑΝΔΡΟΣ ΚΑΙ ΓΥΝΑΙΚΟΣ.

Hieronymus I adv. Iovin. (p. 191 t. IV, 2. Par. 1706): *scripserunt Aristoteles et Plutarchus et noster Seneca de matrimonio libros, ex quibus et superiora nonnulla sunt et ista quae subicimus.*

178.

Anon. proleg. philos. (cod. Paris. 1939 f. 51a): ἔγραψε δὲ καὶ οἰκονομικὰ ὁ Ἀριστοτέλης ἐν οἷς διαλέγεται ὅτι πῶς ὀφείλει εὖ οἰκονομεῖσθαι ὁ οἶκος. ἐν οἷς καί φησιν ὅτι χρὴ συντρέχειν ἐπὶ τοῦ οἴκου ταῦτα πάντα, σχέσιν γυναικὸς πρὸς ἄνδρα, στοργὴν γονέων πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότας καὶ ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα πλείω εἰσὶ τῶν ἐξερχομένων, ἀσώτως ἐστι.

David in categ. p. 25b 6 Br.: ἀλλὰ μὴν καὶ οἰκονομικά εἰσιν αὐτῷ γεγραμμένα βιβλία, ὡς τὸ οἰκονομικὸν σύνταγμα καὶ περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός, ἐν ᾧ λέγει ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν εὖ ἔχοντα οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα καὶ ὡς εἴρηται ἡμῖν ἐν τοῖς τῆς Πορφυρίου εἰσαγωγῆς προλεγομένοις.

David proleg. phil. (cod. Paris. 1900 f. 36a): ἔγραψε δὲ καὶ τὰ οἰκονομικά, ἐν οἷς περὶ διοικήσεως οἴκου διαλέγεται. ἔνθα λέγει ὅτι δεῖ τινὰ τέσσαρα συνδραμεῖν εἰς οἴκου σύστασιν, σχέσιν ἀνδρὸς πρὸς γυναῖκα, στοργὴν πατρὸς πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότην, καὶ ἵνα ᾖ σύμμετρα τὰ ἐξιόντα τοῖς εἰσιοῦσιν. ἑκατέρα γὰρ ἀμετρία αἰσχρά ἐστιν· ὅταν γὰρ πολλὰ εὑρεθῶσι τὰ εἰσιόντα, ὀλίγα δὲ τὰ ἐξιόντα, αἰσχρόν τι

b24 sic legitur corrupte, scilicet: ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα τοῖς ἐξερχομένοις. εἰ γὰρ ... πλείω ὦσι τὰ ἐξερχόμενα τῶν εἰσερχομένων, ἄσωτός ἐστι. ‖ 39 ἑκάτερα cod.

συμβαίνει· ὁ γὰρ τοιοῦτος φιλάργυρος εὑρίσκεται. εἴτε πάλιν ὀλίγα εὑρεθῶσι τὰ εἰσιόντα, πολλὰ δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· εὑρίσκεται γὰρ ὁ τοιοῦτος ἄσωτος.

Elias proleg. phil. (cod. Par. 1977 f. 19 = p. 424 Cr.): διὰ δὲ τὸ οἰκονομικὸν γέγραπται αὐτῷ ὁ οἰκονομικὸς τὸ σύνταγμα, ἐν ᾧ φησὶν ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα, ἵνα μήτε πλείονα τὰ εἰσιόντα τῶν ἐξιόντων, φειδωλία γὰρ τοῦτο καὶ ἀνελευθερία, μήτε πλείονα τὰ ἐξιόντα τῶν εἰσιόντων, ἀσωτία γὰρ τοῦτο, ἀλλ' ἐπ' ἴσης.

Anon. proleg. phil. (cod. Par. 1973 f. 17[b]): καὶ δηλοῖ Ἀριστοτέλης ἔν τινι αὐτοῦ μονοβιβλίῳ περὶ οἰκονομίας ἀρίστης διαλεγόμενος· καὶ λέγει ταύτην ἐκ τεσσάρων γενέσθαι σχέσεων, πατρὸς πρὸς τέκνα, δούλου πρὸς δεσπότην, γυναικὸς πρὸς ἄνδρα, εἰσιόντων πρὸς ἐξιόντα ἵνα μὴ ἐλλείπῃ μηδὲ πλεονάζῃ ἀλλὰ φυλάττῃ ἀναλογίαν πρὸς ἄλληλα. εἰ γὰρ κακῶς ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν καὶ ὁ ἀνὴρ πρὸς τὴν γυναῖκα ἢ ὁ δεσπότης πρὸς τὸν δοῦλον καὶ τὸ ἀνάπαλιν τὰ λοιπὰ ἐναντίως ἔχουσι πρὸς ἄλληλα, κακὸς ὁ οἶκος ἔσται ὅτι οὐ μίαν προαίρεσιν ἔχουσιν ἐν τῷ οἴκῳ πάντες ἀλλὰ διαφόρους.

179.

Clemens Alex. paedag. 3, 12 p. 111 Sylb. (I, 335 Lips.): ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἂν οἴκοι τὰς γυναῖκας μήποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν. οὐδὲ γὰρ προσγελᾶν δοῦλοις Ἀριστοτέλης εἴα ποτέ, πολλοῦ γε καὶ δεῖ κατ' ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. ἄμεινον δὲ οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου τὴν σεμνότητα ἐπιδείκνυσθαι. μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία καθαρὰς ἡδονὰς ἀποπνέουσα. πάνυ γὰρ θαυμασίως ἡ τραγῳδία φησί „φεῦ φεῦ γυναῖκες ..." ταῦτα τῆς δικαιοσύνης τὰ παραγγέλματα καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα οὐ παραιτητέον.

V. PHILOSOPHICA.

XXXIV. ΠΕΡΙ ΙΔΕΩΝ.

180.

Syrian. in metaph. (μ, 5. 1080, 9: ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις.) p. 301, 33 Br.: ὅτι μὲν τούτων οὐδὲν πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· σχεδὸν γὰρ ταὐτὰ ταῦτα πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους ἑαυτοῦ φιλοσόφους εὐθύνειν.

Syrian. in met. (ν, 6. 1093[b] 24: τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη) cit. apud Brandis. de perd. Ar. l. p. 14: ταῦτά ἐστιν ἃ ἐν τούτοις ἀντιλέγει ταῖς τῶν Πυθαγορείων καὶ Πλατωνικῶν ἀνδρῶν θεωρίαις, ἃ δὴ περιέχει καὶ τὰ ἐν τῷ μείζονι τῶν α̅ ῥηθέντα, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ὑπεσημήνατο. διὸ καὶ ἡμεῖς τούτοις ἐπιστήσαντες οὐδ' ἐκεῖνα παραλελοιπέναι νομίζομεν, οὐ μὴν οὐδ' ὅσα ἐν τοῖς περὶ εἰδῶν δύο βιβλίοις πρὸς αὐτοὺς εἴρηκε· σχεδὸν γὰρ κἀκεῖ τὰ αὐτὰ ταῦτα ἀνακυκλοῖ.

Michael Ephesius in metaph. h. l. p. 815, 15 Bon.: τὰ μὲν οὖν συμβαίνοντα ... τὰ ῥηθέντα ἐστί, καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ μ̅ καὶ ν̅ καὶ ἐκτὸς τῆς μετὰ τὰ φυσικὰ συντάξεως.

181.

Schol. ad Dionys. Thrac. gramm. (Stephani philosophi) p. 660, 32 Bekk.: ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς περὶ ἰδεῶν ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα. τὰ μὲν μερικὰ πάντα μεταβάλλουσι καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀίδιά ἐστιν.

182.

Alexander ad Ar. metaph. (1, 9. 990[b] 10: ἔτι καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν ... ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ

19 φυλάττειν cod.
[b]14 v. l. καθαρᾶς ἡδονῆς. || 16 v. Stob. flor. 67, 3. || 31 τοῖς: τῷ cod.

τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τούτων ἐστίν) p. 59, 6: πλεοναχῶς μὲν ταῖς ἐπιστήμαις πρὸς τὴν τῶν ἰδεῶν κατασκευὴν προσεχρήσαντο, ὡς ἐν τῷ πρώτῳ περὶ ἰδεῶν λέγει. ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων εἰσὶ τοιοῦτοι. εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ αὐτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστον, εἴη ἄν τι ἄλλο καθ' ἑκάστην παρὰ τὰ αἰσθητὰ ἀίδιον καὶ παράδειγμα τῶν καθ' ἑκάστην ἐπιστήμην γινομένων· τοιοῦτον δὲ ἡ ἰδέα. ἔτι ὧν ἐπιστῆμαί εἰσι, ταῦτα ἔστιν· ἄλλων δέ τινων παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ ἐπιστῆμαι, ταῦτα γὰρ ἄπειρά τε καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων· ἔστιν ἄρα τινὰ παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ αἱ ἰδέαι. ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτουγίεια· καὶ εἰ ἡ γεωμετρία μή ἐστι τοῦδε τοῦ ἴσου καὶ τοῦδε τοῦ συμμέτρου ἐπιστήμη ἀλλ' ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, ἔσται τι αὐτόισον καὶ αὐτοσύμμετρον, ταῦτα δὲ αἱ ἰδέαι. οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον οὐ δεικνύουσιν, ὃ ἦν τὸ ἰδέας εἶναι, ἀλλὰ δεικνύουσι τὸ εἶναί τινα παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά. οὐ πάντως δὲ εἴ τινα ἔστιν ἅ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι . . . (p. 59, 32) χρῶνται δὲ καὶ τοιούτῳ λόγῳ εἰς κατασκευὴν τῶν ἰδεῶν. εἰ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν ζῴων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὐτοῦ τι κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ καὶ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ταὐτὸν ὄν, εἴη ἄν τι τούτων παρὰ τὰ καθ' ἕκαστα ὄντα ὂν κεχωρισμένον αὐτῶν ἀίδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. ὃ δὲ ἓν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον τε αὐτῶν καὶ ἀίδιον, τοῦτ' ἐστὶν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. τοῦτόν φησι τὸν λόγον κατασκευάζειν ἰδέας καὶ τῶν ἀποφάσεων . . . (p. 60, 32) ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν. εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον ἢ πεζὸν ἢ ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον, καὶ γὰρ φθαρέντων τούτων μένει ἡ αὐτὴ ἔννοια, δῆλον ὡς ἔστι παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητὰ ὃ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ δὴ μὴ ὄν τι νοοῦμεν τότε. τοῦτο δὲ εἶδός τε καὶ ἰδέα ἐστίν.

183.

Alexander ad Ar. metaph. (ib. v. 15—17: ἔτι δὲ οἱ ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὐτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν) p. 62, 12: ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα καὶ ταῦτα εἶναι τὰ ἴσα. ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα, διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτός, τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν . . . (p. 62, 33) δείκνυται καὶ οὕτως ὁ τρίτος ἄνθρωπος. εἰ τὸ κατηγορούμενον τινῶν πλειόνων ἀληθῶς καὶ ἔστιν ἄλλο παρὰ τὰ ὧν κατηγορεῖται κεχωρισμένον αὐτῶν· τοῦτο γὰρ ἡγοῦνται δεικνύναι οἱ τὰς ἰδέας τιθέμενοι, διὰ τοῦτο γάρ ἐστί τι αὐτοάνθρωπος κατ' αὐτούς, ὅτι ὁ ἄνθρωπος κατὰ τῶν καθ' ἕκαστα ἀνθρώπων πλειόνων ὄντων ἀληθῶς κατηγορεῖται καὶ ἄλλος τῶν καθ' ἕκαστα ἀνθρώπων ἐστίν· ἀλλ' εἰ τοῦτο, ἔσται τις τρίτος ἄνθρωπος. εἰ γὰρ ἄλλος ὁ κατηγορούμενος ὧν κατηγορεῖται καὶ κατ' ἰδίαν ὑφεστώς, κατηγορεῖται δὲ κατά τε τῶν καθ' ἕκαστα καὶ κατὰ τῆς ἰδέας ὁ ἄνθρωπος, ἔσται τρίτος τις ἄνθρωπος παρά τε τοὺς καθ' ἕκαστα καὶ τὴν ἰδέαν. οὕτως δὲ καὶ τέταρτος ὁ κατά τε τούτου καὶ τῆς ἰδέας καὶ τῶν καθ' ἕκαστα κατηγορούμενος, ὁμοίως δὲ καὶ πέμπτος καὶ τοῦτο ἐπ' ἄπειρον. ἔστι δὲ ὁ λόγος οὗτος τῷ πρώτῳ ὁ αὐτός, ἐπεὶ ἔθεντο τὰ ὅμοια τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια εἶναι· ὅμοιοι γὰρ οἵ τε ἄνθρωποι καὶ αἱ ἰδέαι . . . τῇ μὲν οὖν πρώτῃ (p. 62, 12—20) τοῦ τρίτου ἀνθρώπου ἐξηγήσει ἄλλοι τε κέχρηνται καὶ Εὔδημος σαφῶς ἐν τοῖς περὶ λέξεως, τῇ δὲ τελευταίᾳ (p. 62, 33—63, 9) αὐτὸς ἔν τε τῷ πρώτῳ περὶ ἰδεῶν καὶ ἐν τούτῳ μετ' ὀλίγον.

184.

Alexander ad Ar. metaph. p. 72, 13: ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινὲς μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν (1, 9. 991, 18) εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. εἴη δ' ἂν τοιαῦτα. εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. ἔτι οὕτως μιχθήσεται ὡς ἢ ὅλην ἐν ἑκάστῳ τῶν

14 ὡρισμένον codd.
b36 πρώτῳ: τεταρτῷ codd.

οἷς μίγνυται εἶναι ἢ μέρος. ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν κατὰ τὸν ἀριθμόν· ἓν γὰρ κατὰ τὸν ἀριθμὸν ἡ ἰδέα. εἰ δὲ πρὸς μέρος, τὸ μέρους τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος. ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει, ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί. εἰ γὰρ ἄλλη μὲν ζώου ἰδέα ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῶόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ᾗ μὲν καὶ ζῶόν ἐστι, μετέχοι ἂν καὶ αὐτοῦ τοῦ ζώου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται αἱ δὲ δεύτεραι. εἰ δὲ μή εἰσι ζῶον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῶον; ἔτι δὲ εἰ μίγνυται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τῷ μεμῖχθαι. ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσὶ φθειρομένοις. ἀλλ' οὐδὲ χωρισταὶ ἂν εἶεν αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς μετέχουσιν αὐτῶν. πρὸς δὲ τούτοις οὐδὲ ἀκίνητοι ἔτι ἔσονται, καὶ ὅσα ἄλλα ἐν τῷ δευτέρῳ περὶ ἰδεῶν τὴν δόξαν ταύτην ἐξετάζων ἔδειξεν ἄτοπα ἔχουσαν. διὰ τοῦτο γὰρ εἶπε τὸ „ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν δόξαν ταύτην"· ἐκεῖ γὰρ συνῆκται.

XXXV. ΠΕΡΙ ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ.

185.

Clem. Alex. strom. 1, 14, 62 p. 129 Sylb.: Πυθαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὡς φησιν Ἱππόβοτος, ὡς δὲ Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀριστοτέλης καὶ Θεόπομπος Τυρρηνὸς ἦν.

186.

Apollonius mirab. 6: τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας Μνησάρχου υἱὸς τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμούς, ὕστερον δέ ποτε καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. καὶ γὰρ ἐν Μεταποντίῳ πλοίου εἰσερχομένου φορτίον ἔχοντος καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν κατελθεῖν διὰ τὸν φόρτον, ἐφεστῶτα τοῦτον εἰπεῖν „νεκρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο". πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης ⟨. . . ὁ αὐτὸς Ἀριστοτέλης⟩ γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καὶ τὸν ἐν Τυρρηνίᾳ, φησί, δάκνοντα θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν. καὶ τὴν γενομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν· διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς. καὶ ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην καὶ ὑπὲρ ἄνθρωπον „Πυθαγόρα, χαῖρε"· τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφηνε τοῖς παρακαθημένοις χρυσοῦν. λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα, ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν αὐτοῦ τὸν λόγον καταπαύσομεν.

Aelian. var. hist. 2, 26: Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι. κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ καὶ κατὰ τὴν αὐτὴν ὥραν καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν καὶ ἐν Κρότωνι. ⟨καὶ ἐν Ὀλυμπίᾳ δὲ ἐν⟩ τῷ ἀγῶνι ἐξανιστάμενος ἐν θεάτρῳ καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν προσρησιν ταύτην.

Aelian. var. hist. 4, 17: Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους ὅτι κρειττόνων γεγένηται σπερμάτων ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ, φησί, καὶ ἐν Κρότωνι. καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ. καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν. ἀλλὰ καὶ ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ „χαῖρε, Πυθαγόρα". (**Diog. Laertius 8, 11:** καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι καὶ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. λόγος δέ ποτ' αὐτοῦ παραγυμνωθέντος τὸν

1 μίγνυνται codd., corr. Bonitz. ‖ 37 Ἀριστοτέλης Preller: Ἀρίσταιχος codd. ‖ Θεόφραστος Prell. ‖ 43 κ. γ. τῷ Ποντίου ed. pr., κ. γ. Μεταποντίου Meurs. ‖ πλοίῳ . . . ἔχοντι vulgo.

b1 εἶναι post σωστὸν add. ed. pr., ἐκεῖνο corr. M. ‖ 2 vulgo ἑστῶτα. ‖ μικρὸν ed. pr., corr. Meurs. ‖ 4 lacunam et monstrat et explet Jambl. v. P. 142. ‖ 10 vulgo ὑπὸ τοῦ κατὰ Σάμον. ‖ 11 καὶ om. cod. ‖ ἄνθρωπον cod. sec. Bast.: ἀνθρώπων male ed. pr. ‖ 16 παρέφαινε vulgo. ‖ τοῖς καθημένοις cod. ‖ εἰς χρυσοῦν ed. pr. ‖ 21 Πυθαγόραν Gesn.: πύθιον codd. ‖ 25 κρότων τῷ ἀγῶνι ἐξιστάμενος ἔνθα καὶ sine lac. codd. ‖ 28 al. Κώσα. ‖ ὑπὸ τὸν Κ. ποταμόν codd. ‖ 33 φησὶ sc. Aristoteles, vel scr. φασί.

μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι πολὺς ἦν ὁ φάσκων).

Iambl. de vita Pythag. c. 28 s. 140—143: τὴν δὲ πίστιν τῶν παρ' αὐτοῖς ὑπολήψεων ἡγοῦνται εἶναι ταύτην ὅτι ἦν ὁ πρῶτος εἰπὼν αὐτός, οὐχ ὁ τυχὼν 5 ἀλλὰ θεός. καὶ ἓν τοῦτο τῶν ἀκουσμάτων ἐστί, τίς ὁ Πυθαγόρας; φασὶ γὰρ εἶναι Ἀπόλλω Ὑπερβόρεον. τούτου δὲ τεκμήρια ἔχεσθαι ὅτι ἐν τῷ ἀγῶνι ἐξανιστάμενος τὸν μηρὸν παρέφηνε χρυσοῦν, καὶ ὅτι Ἄβαριν τὸν Ὑπερβόρεον εἱστία καὶ τὸν οἰστὸν αὐτοῦ ἀφείλετο ᾧ 10 ἐκυβερνᾶτο. λέγεται δὲ ὁ Ἄβαρις ἐλθεῖν ἐξ Ὑπερβορέων ἀγείρων χρυσὸν εἰς τὸν νεὼν καὶ προλέγων λοιμόν. κατέλυε δὲ ἐν τοῖς ἱεροῖς καὶ οὔτε πίνων οὔτε ἐσθίων ὤφθη ποτὲ οὐθέν. λέγεται δὲ καὶ ἐν Λακεδαιμονίοις θῦσαι τὰ κωλυτήρια καὶ διὰ τοῦτο οὐδένα πώποτε 15 ὕστερον ἐν Λακεδαίμονι λοιμὸν γενέσθαι. τοῦτον οὖν τὸν Ἄβαριν παρελόμενος ὃν εἶχε χρυσοῦν οἰστόν, οὗ ἄνευ οὐχ οἷός τ' ἦν τὰς ὁδοὺς ἐξευρίσκειν, ὁμολογοῦντα ἐποίησε. καὶ ἐν Μεταποντίῳ εὐξαμένων τινῶν γενέσθαι αὐτοῖς τὰ ἐν τῷ προσπλέοντι πλοίῳ „νεκρὸς τοίνυν ἂν 20 ὑμῖν" ἔφη· καὶ ἐφάνη νεκρὸν ἄγον τὸ πλοῖον. καὶ ἐν Συβάρει τὸν ὄφιν τὸν ἀποκτείνοντα τὸν δασὺν ἔλαβε καὶ ἀπεπέμψατο. ὁμοίως δὲ καὶ τὸν ἐν Τυρρηνίᾳ τὸν μικρὸν ὄφιν αὐτὸς ἀπέκτεινε δάκνων. ἐν Κρότωνι δὲ τὸν ἀετὸν τὸν λευκὸν κατέψησεν ὑπομείναντα, ὥς φασι. 25 βουλομένου δέ τινος ἀκούειν οὐκ ἔφη πω λέξειν πρὶν ἢ σημεῖόν τι φανῇ· καὶ μετὰ ταῦτα ἐγένετο ἐν Καυλωνίᾳ ἡ λευκὴ ἄρκτος. καὶ πρὸς τὸν μέλλοντα ἐξαγγέλλειν αὐτοῦ τὸν θάνατον προεῖπεν αὐτός. καὶ Μυλλίαν τὸν Κροτωνιάτην ἀπέμνησεν ὅτι ἦν Μίδας ὁ Γορδίου· 30 καὶ ᾤχετο ὁ Μυλλίας εἰς τὴν ἤπειρον ποιήσων ὅσα ἐπὶ τῷ τάφῳ ἐκέλευσε. λέγεται δὲ καὶ ὅτι τὴν οἰκίαν αὐτοῦ ὁ πριάμενος καὶ ἀνορύξας ἃ μὲν εἶδεν οὐδενὶ ἐτόλμησεν εἰπεῖν, ἀντὶ δὲ τῆς ἁμαρτίας ταύτης ἐν Κρότωνι ἱεροσυλῶν ἐλήφθη καὶ ἀπέθανε· τὸ γὰρ γέ- 35 νειον ἀποπεσὸν τοῦ ἀγάλματος τὸ χρυσοῦν ἐφωράθη λαβών. ταῦτά τε οὖν λέγουσι πρὸς πίστιν καὶ ἄλλα τοιαῦτα.

187.

Iamblichus de vita Pythagorica s. 31: ἱστορεῖ 40 δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας διαίρεσίν τινα τοιάνδε ὑπὸ τῶν ἀνδρῶν ἐν τοῖς πάνυ ἀπορρήτοις διαφυλάττεσθαι· τοῦ λογικοῦ ζώου τὸ μέν ἐστι θεός, τὸ δ' ἄνθρωπος, τὸ δὲ οἷον Πυθαγόρας.

188.

Apuleius de deo Socr. 20 (cod. Harl.): *credo vestrum plerosque hoc quod dixi cunctantius credere et inpendio mirari formam daemonis Socrati visam. at hoc saeculo oppido mirari solitos Pythagoricos, si quis se negaret unquam vidisse daemonem, satis ut reor idoneus auctor est Aristoteles. quod si cuivis potest evenire facultas contemplandi divinam effigiem, cur non apprime potuerit Socrati obtingere . . .*

Clem. Al. strom. 6, 6, 53 (t. III p. 130 Lips.): Ἰσίδωρος δὲ ὁ Βασιλείδου υἱὸς ἅμα καὶ μαθητὴς ἐν τῷ πρώτῳ τῶν τοῦ προφήτου Παρχὼρ ἐξηγητικῶν καὶ αὐτὸς κατὰ λέξιν γράφει „φασὶ δὲ καὶ οἱ Ἀττικοὶ μεμηνῦσθαί τινα Σωκράτει παρεπομένου δαίμονος αὐτῷ, καὶ Ἀριστοτέλης δαίμοσι κεχρῆσθαι πάντας ἀνθρώπους λέγει συνομαρτοῦσιν αὐτοῖς παρὰ τὸν χρόνον τῆς ἐνσωματώσεως, προφητικὸν τοῦτο μάθημα λαβὼν καὶ καταθέμενος εἰς τὰ ἑαυτοῦ βιβλία, μὴ ὁμολογήσας ὅθεν ὑφείλετο τὸν λόγον τοῦτον".

189.

Gellius 4, 11: *Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit Aristotelem philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerint edendis animalibus nisi pauca carne quadam. verba ipsa Plutarchi, quoniam res inopinata est, subscripsi:* Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων ἄλλων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις. *ἀκαλήφη autem est animal marinum quod urtica appellatur.*

Porph. v. P. 45: ἀπέχεσθαι δὲ καὶ ἄλλων παρῄνει, οἷον μήτρας τε καὶ τριγλίδος καὶ ἀκαλήφης, σχεδὸν δὲ καὶ τῶν ἄλλων θαλασσίων ζυμπάντων.

Diog. Laert. 8, 19: παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτ' ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον· καρδίας τ' ἀπέχεσθαι καὶ κυάμων· Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης ἐνίοτε.

190.

Diog. Laert. 8, 33—35: τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι μὴ τὰς ἴσας, ἀλλὰ θεοῖς ἀεὶ μετ' εὐφημίας λευχειμονοῦντας καὶ ἁγνεύοντας, ἥρωσι δ' ἀπὸ μέσου ἡμέρας. τὴν δ' ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ

1 scr. Κόσας. ‖ 6 vulgo π. εἰπὼν αὐτὸ οὐχ ὁ τ. ἀλλ' ὁ θεός. ‖ 21 ἡμῖν vulgo. ‖ 22 ἀποκτείναντα vulgo. ‖ 24 αὐτὸς: ὃς codd. ‖ 29 τούτου post τὸν add. v.

b3 *modo* vel *commodo* add. al. codd. post *quod.* ‖ 5 al. *visitatam.* ‖ *sclo* cod. Harl.: *secundum* al. (*etenim secundum Pythagoricos mirari solitos oppido*). ‖ 7 *auctor* om. Harl. ‖ 9 *divinam*: *dignam* Harl.

λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ καθαρεύειν ἀπό τε κήδους καὶ μιάσματος παντὸς καὶ ἀπέχεσθαι βρωτῶν θυησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων καὶ ᾠῶν καὶ τῶν ᾠοτόκων ζώων καὶ κυάμων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. φησὶ δ' Ἀριστοτέλης περὶ τῶν κυάμων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅιδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς. τὰ δὲ πεσόντ' ἀπὸ τραπέζης μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινός. . . . ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης· τὸ δ' ἦν τῶν ἀγαθῶν· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας. τῶν ἰχθύων μὴ ἅπτεσθαι ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδ' ἐλευθέροις καὶ δούλοις. καὶ τὸ μὲν λευκὸν τῆς ταγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. ἄρτον μὴ καταγνύειν, ὅτι ἐφ' ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν ὃς συνάγει αὐτούς· οἱ δὲ πρὸς τὴν ἐν ᾅδου κρίσιν, οἱ δ' εἰς πόλεμον δειλίαν ποιεῖν, οἱ δὲ ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. . . . καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν εὑρηκέναι, καὶ τὰ ἐκείνων ἐχόμενα ὁ Ἀριστοτέλης.

191.

Porphyr. vit. Pyth. 41: ἔλεγε δέ τινα καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπὶ πλέον Ἀριστοτέλης ἀνέγραψεν. οἷον ὅτι τὴν θάλατταν μὲν ἐκάλει Κρόνου δάκρυον, τὰς δὲ ἄρκτους Ῥέας χεῖρας, τὴν δὲ πλειάδα Μουσῶν λύραν, τοὺς δὲ πλανήτας κύνας τῆς Περσεφόνης· τὸν δ' ἐκ χαλκοῦ κρουομένου γινόμενον ἦχον φωνὴν εἶναί τινος τῶν δαιμόνων ἐναπειλημμένην τῷ χαλκῷ.

Aelian. 4, 17: καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων, ἡ δὲ ἶρις ἔφασκεν ὡς αὐγὴ τοῦ ἡλίου ἐστί, καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φωνὴ τῶν κρειττόνων.

192.

Pergit Porphyrius ib. 42: ἦν δὲ καὶ ἄλλο εἶδος τῶν συμβόλων τοιοῦτον· ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι μὴ πλεονεκτεῖν. μὴ τὸ πῦρ τῇ μαχαίρᾳ σκαλεύειν, ὅπερ ἦν μὴ τὸν ἀνοιδοῦντα καὶ ὀργιζόμενον κινεῖν λόγοις παρατεθηγμένοις. στεφανόντε μὴ τίλλειν, τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι. πάλιν δ' αὖ ἕτερα τοιαῦτα· μὴ καρδίαν ἐσθίειν, οἷον μὴ λυπεῖν ἑαυτὸν ἀνίαις. μηδ' ἐπὶ χοίνικος καθέζεσθαι, οἷον μὴ ἀργὸν ζῆν. μηδ' ἀποδημοῦντα ἐπιστρέφεσθαι, τουτέστι μὴ ἔχεσθαι τοῦ βίου τούτου ἀποθνήσκοντα. τάς τε λεωφόρους μὴ βαδίζειν, δι' οὗ ταῖς τῶν πολλῶν ἕπεσθαι γνώμαις ἐκώλυεν, τάς δὲ τῶν ὀλίγων καὶ πεπαιδευμένων μεταθεῖν. μηδὲ χελιδόνας ἐν οἰκίᾳ δέχεσθαι, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶτταν ἀκρατεῖς ὁμωροφίους μὴ ποιεῖσθαι. φορτίον δὲ συναναθέναι μὲν τοῖς βαστάζουσιν, συγκαθαιρεῖν δὲ μή, δι' οὗ παρῄνει μηδενὶ πρὸς ῥᾳστώνην ἀλλὰ πρὸς ἀρετὴν συμπράττειν. θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν μηδ' εἰς πολλοὺς φέρειν. σπονδάς τε ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὗς τῶν ἐκπωμάτων· ἐντεῦθεν γὰρ ᾐνίττετο τιμᾶν τοὺς θεοὺς καὶ ὑμνεῖν τῇ μουσικῇ· αὕτη γὰρ διὰ ὤτων χωρεῖ.

Hieronymus adv. Rufin. l. III p. 469 (t. IV, 2 Par. 1706): *Pythagorica et illa praecepta sunt, amicorum omnia esse communia . . . illaque aenigmata, quae diligentissime Aristoteles in suis libris prosequitur: stateram ne transilias, id est ne praetergrediare iustitiam. ignem gladio ne fodias, iratum videlicet et tumidum animum verbis maledicis ne lacessas. coronam minime carpendam, id est leges urbium conservandas. cor non comedendum, id est moerorem de animo proiciendum. cum profectus fueris, inquit, ne redeas, id est post mortem vitam ipsam ne desideres. per viam publicam ne ambules, id est ne multorum sequaris errores. hirundinem in domum non suscipiendam, id est garrulos et verbosos homines sub eodem tecto non habendos. oneratis superponendum, onus deponentibus non communicandum, id est ad virtutem incedentibus augmentanda praecepta, tradentes se otio relinquendos.*

193.

Martianus Capella lib. VII, 731 (Kopp): *licet Aristoteles, unus e sectatoribus meis (Philosophiae), ex eo quod unum solum ipsa (monas) sit et se quaeri semper velit, Cupidinem asserat*

3 Ael. 4, 17 extr. προσέτατε δὲ ὁ αὐτὸς Πυθαγόρας καρδίας ἀπέχεσθαι καὶ ἀλεκτρυόνος λευκοῦ καὶ τῶν θυησειδίων παντὸς μᾶλλον καὶ μὴ χοῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι κατ' αὐτὰ ἐκεῖνα. ‖ 6 περὶ τῶν κυάμων Cobet ex cod. Laur., quem et ipse inspexi: codd. rec. et edd. inepte ἐν τῷ περὶ τῶν κυάμων. ‖ 30 Κρόνου (cf. A. P. p. 200): εἶναι codd. ‖ 37 ὡς αὐγὴ τοῦ ἡλίου Gesn.: ὡς ἡ γῆ τοῦ νείλου codd.

b3 τοιαῦτα οἷον μὴ καρδίαν ἐσθίειν, (οἷον add. Holst.) μὴ λυπεῖν . . . vulgo, corr. Nauck. ‖ 6 τουτέστι addidi. ‖ 8 τάς δὲ Nauck: τάς τε vulgo. ‖ 13 μηδὲν κατὰ ῥᾳστώνην ed. Ritt., corr. Holst. ‖ ἀρετὴν καὶ πόνους Holstenius.

nominatam, quod se cupiat, si quidem ultra nihil habeat et expers totius elationis aut copulae in se proprios detorquet ardores.

194.

Theon. Smyrn. arithm. c. 5: τῶν δὲ ἀριθμῶν ποιοῦντα τὴν πρώτην τομὴν εἰς δύο· τοὺς μὲν γὰρ αὐτῶν ἀρτίους τοὺς δὲ περιττούς φασι ... πρώτην δὲ τῶν περιττῶν ἔνιοι ἔφασαν μονάδα ... Ἀριστοτέλης δὲ ἐν τῷ Πυθαγορικῷ τὸ ἕν φησιν ἀμφοτέρων μετέχειν τῆς φύσεως· ἀρτίῳ μὲν γὰρ προστεθὲν περιττὸν ποιεῖ, περιττῷ δὲ ἄρτιον, ὃ οὐκ ἂν ἠδύνατο εἰ μὴ ἀμφοῖν ταῖν φύσεοιν μετεῖχε· διὸ καὶ ἀρτιοπέριττον καλεῖσθαι τὸ ἕν.

195.

Simplicius in Ar. de caelo p. 492, 13 Br. (p. 172[b] 44 Karsten): οἱ μὲν οὖν Πυθαγόρειοι εἰς δύο συστοιχίας πάσας τὰς ἀντιθέσεις ἀναγαγόντες τὴν μὲν χείρονα τὴν δὲ βελτίονα ἤτοι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῇ δεκάδι συμβολικῶς ὡς τῷ παντὶ ἀριθμῷ συμπληρώσαντες ἑκατέραν, ἑκάστην ἀντίθεσιν τῶν δέκα οὕτω παρέλαβον ὡς πάσας τὰς ἑαυτῆς συγγενείας συνεμφαίνουσαν. καὶ τῶν τοπικῶν οὖν σχέσεων τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν παρέλαβον ... ἐκ τούτων καὶ τὰς ἄλλας τοπικὰς ἀντιθέσεις ἐδήλωσαν. τὸ οὖν δεξιὸν καὶ ἄνω καὶ ἔμπροσθεν ἀγαθὸν ἐκάλουν, τὸ δὲ ἀριστερὸν καὶ κάτω καὶ ὄπισθεν κακὸν ἔλεγον, ὡς αὐτὸς Ἀριστοτέλης ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων συναγωγῇ.

196.

Stob. ecl. phys. I c. 18, 1 p. 380: ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει (Ἀριστοτέλης) τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενὸν ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.

197.

Alexander Aphrod. in Ar. metaphys. (1, 8) p. 56, 9 Bon.: τῆς δὲ τάξεως τῆς ἐν τῷ οὐρανῷ ἣν ἐποιοῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῶν δόξης.

198.

Alexander in metaph. (1, 5) p. 30, 25 Bon.: αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐννάτην δὲ τὴν γῆν· καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μένουσαν τὴν ἑστίαν, ὃ πῦρ ἐστὶ κατ' αὐτούς· αὐτοὶ προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ οὐρανοῦ μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις ἀκριβέστερον.

199.

Simplicius in Ar. de caelo (2, 13 p. 293[b] 20) p. 505, 18 Br. (p. 229, 16 K.): ἀντιφάσκουσι δὲ οἱ Πυθαγόρειοι· τοῦτο γὰρ σημαίνει τὸ ἐναντίως· οὐ περὶ τὸ μέσον λέγοντες αὐτήν, ἀλλ' ἐν μὲν τῷ μέσῳ τοῦ παντὸς πῦρ εἶναί φασι, περὶ δὲ τὸ μέσον τὴν ἀντίχθονα φέρεσθαί φασι γῆν οὖσαν καὶ αὐτήν, ἀντίχθονα δὲ καλουμένην διὰ τὸ ἐξ ἐναντίας τῇδε τῇ γῇ εἶναι· μετὰ δὲ τὴν ἀντίχθονα ἡ γῆ ἥδε φερομένη καὶ αὐτὴ περὶ τὸ μέσον, μετὰ δὲ τὴν γῆν ἡ σελήνη· οὕτω γὰρ αὐτὸς ἐν τῷ πέρατι τῶν Πυθαγορικῶν ἱστορεῖ. διὸ οἱ μὲν Ζανὸς πύργον αὐτὸ καλοῦσιν, ὡς αὐτὸς ἐν τοῖς Πυθαγορικοῖς ἱστόρησεν, οἱ δὲ Διὸς φυλακήν, ὡς ἐν τούτοις, οἱ δὲ Διὸς θρόνον, ὡς ἄλλοι φασίν.

200.

Simplicius in Ar. de caelo (2, 2) p. 492[b] 39 Br. (p. 175[b] 29 K.): πῶς δὲ τοὺς Πυθαγορείους ἡμᾶς ἄνω ποιεῖν φησὶ καὶ ἐν τῷ δεξιῷ, τοὺς δὲ ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ, εἴπερ ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῆς συναγωγῆς τῶν Πυθαγορικῶν ἱστορεῖ, τοῦ ὅλου οὐρανοῦ τὸ μὲν ἄνω λέγουσιν εἶναι τὸ δὲ κάτω, καὶ τὸ μὲν κάτω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ ἄνω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ κάτω εἶναι; ἢ τὸ μὲν ἄνω καὶ πρὸς τοῖς δεξιοῖς ἐνταῦθα λεγόμενον οὐ κατὰ τὸ ἑαυτῷ ἀρέσκον εἶπεν ἀλλὰ κατὰ τοὺς Πυθαγορείους· ἐκεῖνοι γὰρ τῷ δεξιῷ τὸ ἄνω καὶ τὸ ἔμπροσθεν συνέταττον, τῷ δὲ ἀριστερῷ τὸ κάτω καὶ τὸ ὄπισθεν. τὰ δὲ ἐν τῇ τῶν Πυθαγορικῶν συναγωγῇ μεταγεγράφθαι μᾶλλον ὑπό τινος ὁ Ἀλέξανδρος οἴεται ὀφείλοντα ἔχειν οὕτω, τὸ μὲν ἄνω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ κάτω ἀριστερὸν καὶ ἡμᾶς ἐν τῷ ἄνω εἶναι, οὐχὶ ἐν τῷ κάτω ὡς γέγραπται· οὕτω γὰρ ἂν συνᾴδοι τοῖς ἐνταῦθα λεγομένοις, ὅτι ἡμεῖς κάτω λέγοντες οἰκεῖν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς ἀριστεροῖς, εἴπερ τῷ ἀριστερῷ τὸ κάτω συντέτακται, ἐναντίως λέγομεν ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν ἄνω καὶ ἐν τοῖς δεξιοῖς. καὶ τάχα ἔχει λόγον τὸ μεταγεγράφθαι, εἴπερ οἶδεν ὁ Ἀριστοτέλης τῷ μὲν δεξιῷ τὸ ἄνω τῷ δὲ ἀριστερῷ τὸ κάτω συντάττοντας.

16 μὲν οὖν Br. (*quidem igitur* Guil.): γὰρ K. ‖ 27 Πυθαγορείοις Br. (*in collectione eorum quae Pythagoricis placuerunt* Guil. f. 58[b] 1): Πυθαγόρα Karsten.

[b]16 ἐν τῷ πέρατι (*in fine* Guil.): ἐν τῷ περὶ Karsten. ‖ 26 ἱστορεῖ (*narrat* Guil.): φησί K. ‖ τὰ μὲν ... τὰ δὲ Br. (*hoc* Guil.) ‖ 38 ἡμεῖς K.: ἡμᾶς Br. ‖ 40 λέγομεν K.: λεγόμενον Br. ‖ 44 συνταττόμενα K.

Themistius de caelo (Moyse Alatino interprete Ven. 1574) f. 26b: *siquidem Pythagorei dicunt superiorem partem eam esse quae dextrae e regione existit. quemadmodum invenimus Aristotelem iis annotationibus carpere eos, quas adversus Pythagoreorum sententias conscripsit: ubi contra eos disputat qui superiorem partem dextram esse contendebant* (cf. Themist. apud Averr. de caelo II comm. 16).

XXXVI. ΠΕΡΙ ΤΗΣ ΑΡΧΥΤΕΙΟΥ ΦΙΛΟΣΟΦΙΑΣ.

[Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων.

Simpl. in Ar. de caelo p. 491b 35 (p. 169b 17 K.): καὶ πάντων οἶμαι μᾶλλον ὁ Ἀριστοτέλης τὴν ἐν Τιμαίῳ περὶ τούτων τοῦ Πλάτωνος γνώμην ἠπίστατο, ὃς καὶ σύνοψιν ἢ ἐπιτομὴν τοῦ Τιμαίου γράφειν οὐκ ἀπηξίωσε. cf. p. 133b 17 K.]

201.

Damascius de princip. (cod. Hamb. p. 409b): βέλτιον ἄρα τῷ διορισμῷ αὐτοῦ ἐμμένειν κατὰ τὴν Πυθαγορικὴν συνήθειαν καὶ τὴν αὐτοῦ τοῦ Πλάτωνος ἄλλα νοοῦντας τὰ ἔνυλα πράγματα καὶ αὐτὴν τὴν ὕλην· ἔν τε γὰρ τῷ Φαίδωνι οὕτως ὀνομάζει τὰ ἄλλα, τὰ εἴδη τὰ αἰσθητὰ λέγων ἄλλα, καὶ ἐν ἄλλοις. Ἀριστοτέλης δὲ ἐν τοῖς Ἀρχυτείοις ἱστορεῖ καὶ Πυθαγόραν ἄλλο τὴν ὕλην καλεῖν ὡς ῥευστὴν καὶ ἀεὶ ἄλλο γιγνόμενον. ὥστε δῆλός ἐστι καὶ ὁ Πλάτων ταύτῃ τὰ ἄλλα ἀφοριζόμενος.

XXXVII. ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ.

202.

Simplicius de caelo p. 488, 6 Br. (p. 132b 41 K.): καὶ ταῦτα δὲ προστίθησιν ὁ Ἀλέξανδρος ὅτι οἱ λέγοντες ποτὲ μὲν οὕτω τὸ πᾶν ποτὲ δὲ ἄλλως ἔχειν, ἀλλοίωσιν μᾶλλον τοῦ παντὸς ἀλλ' οὐ γένεσιν καὶ φθορὰν λέγουσιν. οἱ δὲ γενητόν, φησί, καὶ φθαρτὸν λέγοντες τὸν κόσμον ὡς ὁτιοῦν ἄλλο τῶν συνισταμένων εἶεν ἂν οἱ περὶ Δημόκριτον. ὡς γὰρ ἕκαστον τῶν ἄλλων γίνεται καὶ φθείρεται κατ' αὐτούς, οὕτω δὲ καὶ τῶν κόσμων τῶν ἀπείρων ἕκαστος· ὡς γὰρ ἐπὶ τῶν ἄλλων τὸ γινόμενον οὐ ταὐτὸν τῷ φθαρέντι εἰ μὴ ἄρα κατ' εἶδος, οὕτω καὶ ἐπὶ τῶν κόσμων λέγουσιν. εἰ δὲ αἱ ἄτομοι αἱ αὐταὶ μένουσιν ἀπαθεῖς οὖσαι, δῆλον ὅτι καὶ οὗτοι ἀλλοίωσιν ἂν λέγοιεν τῶν κόσμων ἀλλ' οὐ φθοράν, ὥσπερ Ἐμπεδοκλῆς δοκεῖ λέγειν καὶ Ἡράκλειτος. ὀλίγα δὲ ἐκ τῶν Ἀριστοτέλους περὶ Δημοκρίτου παραγραφέντα δηλώσει τὴν τῶν ἀνδρῶν ἐκείνων διάνοιαν·

„Δημόκριτος ἡγεῖται τὴν τῶν ἀιδίων φύσιν εἶναι μικρὰς οὐσίας πλῆθος ἀπείρους· ταύταις δὲ τόπον ἄλλον ὑποτίθησιν ἄπειρον τῷ μεγέθει, προσαγορεύει δὲ τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι, τῷ τε κενῷ καὶ τῷ οὐδενὶ καὶ τῷ ἀπείρῳ, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τῷδε καὶ τῷ ναστῷ καὶ τῷ ὄντι. νομίζει δὲ εἶναι οὕτω μικρὰς τὰς οὐσίας ὥστε ἐκφυγεῖν τὰς ἡμετέρας αἰσθήσεις, ὑπάρχειν δὲ αὐταῖς παντοίας μορφὰς καὶ σχήματα παντοῖα καὶ κατὰ μέγεθος διαφοράν. ἐκ τούτων οὖν ἤδη καθάπερ ἐκ στοιχείων γεννᾶσθαι καὶ συγκρίνεσθαι τοὺς ὀφθαλμοφανεῖς καὶ τοὺς αἰσθητοὺς ὄγκους. στασιάζειν δὲ καὶ φέρεσθαι ἐν τῷ κενῷ διά τε τὴν ἀνομοιότητα καὶ τὰς ἄλλας τὰς εἰρημένας διαφοράς, φερομένας δὲ ἐμπίπτειν καὶ περιπλέκεσθαι περιπλοκὴν τοιαύτην, ἢ συμψαύειν μὲν αὐτὰ καὶ πλησίον ἀλλήλων εἶναι ποιεῖ, φύσιν μέντοι μίαν ἐξ ἐκείνων κατ' ἀλήθειαν οὐδ' ἠντιναοῦν γεννᾷ· κομιδῇ γὰρ εὔηθες εἶναι τὸ δύο ἢ πλείονα γενέσθαι ἂν ποτε ἕν. τοῦ δὲ συμμένειν τὰς οὐσίας μετ' ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων· τὰ μὲν γὰρ αὐτῶν εἶναι σκαληνά, τὰ δὲ ἀγκιστρώδη, τὰ δὲ κοῖλα, τὰ δὲ κυρτά, τὰ δὲ ἄλλας ἀναρίθμους ἔχοντα διαφοράς. ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ συμμένειν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ".

λέγει δὲ τὴν γένεσιν καὶ τὴν ἐναντίαν αὐτῇ διάκρισιν οὐ μόνον περὶ ζώων ἀλλὰ καὶ περὶ φυτῶν καὶ περὶ κόσμων καὶ συλλήβδην περὶ τῶν αἰσθητῶν σωμάτων ἁπάντων. εἰ τοίνυν ἡ μὲν γένεσις σύγκρισις τῶν ἀτόμων ἐστὶν ἡ δὲ φθορὰ διάκρισις, καὶ κατὰ Δημόκριτον ἀλλοίωσις ἂν εἴη ἡ γένεσις. καὶ γὰρ καὶ Ἐμπεδοκλῆς τὸ γινόμενον οὐ ταὐτὸ τῷ φθαρέντι φησὶν εἰ μὴ ἄρα κατ' εἶδος, καὶ ὅμως τοῦτον ἀλλοίωσιν ἀλλ' οὐ γένεσιν ὑποτίθεσθαί φησιν Ἀλέξανδρος.

---

22 cod. ἀλλά. ‖ 26 ita etiam cod. Laur. 86, 5 membr. rec. saec. XV: ἀεὶ ἄλλο καὶ ἄλλο γιγν. Creuzer.

b5 δὲ K.: γὰρ Br. ‖ Ἀριστοτέλους . . . παραγραφέντα Karsten: Ἀριστοτέλει . . . παραγραφέντων Br. cf. vers. lat. Guilelmi f. 45a ed. Ven. *pauca autem ex dictis Arist. de Democrito transcripta manifesta faciunt* (corr. *facient*) *virorum illorum mentem.* ‖ 12 ἑκάστην πλήρει στερεῷ καὶ ὄντι K. (sic et Guil. *pleno solido et ente*). ‖ 14 ἐκφεύγειν K. ‖ 16 διαφορὰς K. ‖ 17 γεννᾶν καὶ συγκρίνειν Br. ‖ 24 τὸ δύο ἢ πλείονα K.: τὰ δύο ἢ τὰ πλείονα Br. ‖ 28 τὰ δὲ κοῖλα, τὰ δὲ κυρτά (*has autem concavas, has vero gibbas* Guil.) om. Br. ‖ ἄλλα Br. ‖ 31 καὶ διασείσῃ Br. ‖ 37 καὶ om. K. ‖ 38 καὶ post γὰρ om. K. ‖ 39 ἄρα καὶ κατ' K. ‖ καὶ ὅμως K. (*et tamen* Guil.): καὶ ὅλως Br.

VI. PHYSICA.

XXXVIII. ΠΡΟΒΛΗΜΑΤΑ ΦΥΣΙΚΑ.

(ἐγκύκλια προβλήματα)

Aspasius in Ar. eth. I (f. 9[b] cod. Paris. 1903 cf. A. P. p. 221): ἔστι δὲ αὐτῷ (αὐτοῖς cod.) προβλήματα ἐγκύκλια παντοδαπά· διὸ καὶ ἐγκύκλια ὠνομάζετο, διὰ τὸ ἐγκυκλίως αὐτοὺς καθημένους ἐπιχειρεῖν εἰς τὸ προτεθὲν ἢ διὰ τὸ ἐν κύκλῳ περιεστῶτας ἀκροᾶσθαι (cf. Eustrat. ad h. l. f. 10[a] et Simplic. cit. in A. P. p. 600 et p. 42).

Gellius 20, 4: *misi ei verba haec ex Aristotelis libro exscripta qui* προβλήματα ἐγκύκλια *inscriptus est*... διὰ τί οἱ Διονυσιακοὶ τεχνῖται κ. τ. λ. (= probl. phys. 30, 10).

(σύμμικτα ζητήματα).

David in Ar. categ. p. 24[b] 8 Br.: τῶν δὲ ὑπομνηματικῶν (συγγραμμάτων) τὰ μὲν μονοειδῆ ... τὰ δὲ ποικίλα, ὡς τὰ πρὸς Εὔκαιρον αὐτῷ γεγραμμένα ἑβδομήκοντα βιβλία περὶ συμμίκτων ζητημάτων χωρὶς προοιμίων καὶ ἐπιλόγων καὶ τῆς διαιρέσεως (cf. Hesych. ind. 168).

Vita Ar. Marc. (p. 2, 11 Robbe): καὶ τὰ φυσικὰ προβλήματα ἐν ἑβδομήκοντα βιβλίοις ὄντα.

203.

Plutarch. de facie lun. 19: Ἀριστοτέλης δὲ ὁ παλαιὸς αἰτίαν τοῦ πλεονάκις τὴν σελήνην ἐκλείπουσαν ἢ τὸν ἥλιον καθορᾶσθαι πρὸς ἄλλαις τισὶ καὶ ταύτην ἀποδίδωσιν· ἥλιον γὰρ ἐκλείπειν σελήνης ἀντιφράζει, σελήνην δὲ * ὁ δὲ Ποσειδώνιος ...

204.

Plutarch. de primo frigido 11: Ἀριστοτέλης δὲ καὶ τὰς ἀκόνας τοῦ μολίβδου τήκεσθαί φησι καὶ ῥεῖν ὑπὸ κρύους καὶ χειμῶνος, ὕδατος μόνου πλησιάζοντος αὐταῖς· ὁ δ' ἀήρ, ὡς ἔοικε, συνελαύνων τὰ σώματα τῇ ψυχρότητι καταθραύει καὶ ῥήγνυσιν.

205.

Plutarch. quaest. conviv. 6, 5: ἀλλὰ μὴν περὶ τῶν χαλίκων, ἔφην, ἢ τῶν ἀκονῶν, οὓς ἐμβάλλοντες εἰς τὸ ὕδωρ ψύχειν αὐτὸ καὶ στομοῦν δοκοῦσιν, εἰρημένον Ἀριστοτέλει μνημονεύεις. αὐτὸ τοῦτο, ἔφη, μόνον ἐν προβλήμασιν εἴρηκε τὸ γινόμενον, εἰς δὲ τὴν αἰτίαν ἐπιχειρήσομεν ἡμεῖς· ἔστι γὰρ μάλιστα δυσθεώρητος.

206.

Gellius 19, 5 (Hertz): *erat nobiscum vir bonus ex Peripatetica disciplina bene doctus et Aristotelis unice studiosissimus. is nos aquam multam ex diluta nive bibentes coercebat severiusque increpabat adhibebatque nobis auctoritates nobilium medicorum et cumprimis Aristotelis philosophi, rei omnis humanae peritissimi, qui aquam nivalem frugibus sane et arboribus fecundam diceret, sed hominibus potu nimio insalubrem esse tabemque et morbos sensim atque in diem longam visceribus inseminare . . . promit . . . Aristotelis librum eumque ad nos affert . . . in eo libro scriptum fuit, deterrimam esse potu aquam e nive itemque solidius latiusque concretam esse eam, quam* κρύσταλλον *Graeci appellant. causaque ibi adscripta est . . . verba ipsa Aristotelis ex eo libro pauca sumpsi et adscripsi:* Διὰ τί τὰ ἀπὸ χιόνος καὶ κρυστάλλων ὕδατα φαῦλά ἐστιν; ὅτι παντὸς ὕδατος πηγνυμένου τὸ λεπτότατον καὶ κουφότατον ἐξατμίζει. σημεῖον δὲ ὅτι ἔλαττον γίνεται ἢ πρότερον, ὅταν τακῇ παγέν· ἀπεληλυθότος οὖν τοῦ ὑγιεινοτάτου ἀνάγκη ἀεὶ τὸ καταλειπόμενον χεῖρον εἶναι.

207.

Plutarch. quaest. natur. 2: Διὰ τί μᾶλλον ὑπὸ τῶν ὑετίων ἢ τῶν ἐπιρρύτων ὑδάτων τὰ δένδρα καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι; ... τὸ δὲ τοῦ Ἀριστοτέλους ἀληθές, ὅτι πρόσφατόν ἐστι καὶ νέον ὕδωρ τὸ ὑόμενον, ἕωλον δὲ καὶ παλαιὸν τὸ λιμναῖον;

208.

Plutarch. quaest. conv. 6, 4, 1: Διὰ τίνα αἰτίαν τὸ φρεατίδιον ὕδωρ ἀρυσθὲν ἐὰν ἐν αὐτῷ τῷ τοῦ φρέατος ἀέρι νυκτερεύσῃ, ψυχρότερον γίνεται; ψυχροπότῃ ξένῳ τρυφῶντι παρεσκευάσαν οἱ θεράποντες ἐκ τοῦ φρέατος ὕδωρ ψυχρότερον· ἀρυσάμενοι γὰρ ἀγγείῳ καὶ κρεμάσαντες τὸ ἀγγεῖον ἐν τῷ φρέατι τῆς πηγῆς μὴ ἁπτόμενον, εἴασαν ἐπινυκτερεῦσαι καὶ πρὸς τὸ δεῖπνον ἐκομίζετο τοῦ προσφάτου ψυχρότερον. ἦν δὲ ὁ ξένος φιλόλογος ἐπιεικῶς καὶ τοῦτο ἔφη λαβεῖν ἐκ τῶν Ἀριστοτέλους μετὰ λόγου κείμενον, εἶναι δὲ τοιόνδε τὸν λόγον. πᾶν ὕδωρ προθερμανθὲν ψύχεται μᾶλλον, ὥσπερ τὸ τοῖς βασιλεῦσι παρασκευαζόμενον ὅταν ἑψηθῇ μέχρι ζέσεως, περισωρεύουσι τῷ ἀγγείῳ χιόνα πολλὴν καὶ γίνεται ψυχρότερον. ὥσπερ ἀμέλει καὶ τὰ ἡμέτερα σώματα λουσαμένων περιψύχεται μᾶλλον· ἡ γὰρ ὑπὸ

24 lacuna in codd. ‖ 33 ἀκονῶν Wytt.: vulgo ἀκμόνων.

[b]9 i. e. *in physicis quaestionibus*, sicut intellexit Macrobius sat. 7, 12.

τῆς θερμότητος ἄνεσις πολύπορον τὸ σῶμα καὶ μανὸν ἀπειργασμένη πολὺν δέχεται τὸν ἔξωθεν ἀέρα καὶ βιαιοτέραν ποιεῖ τὴν μεταβολήν· ὅταν οὖν ὑποπλασθῇ ὑπὸ τῆς πηγῆς τὸ ὕδωρ ἐν τῷ ἀέρι προθερμανθέν, περιψύχεται ταχέως.

209.

Plutarch. quaest. conv. 1, 9: Διὰ τί τῷ ποτίμῳ βέλτιον ὕδατι ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμάτια; ... ἀλλ' εἰπὲ δι' ἣν αἰτίαν Ὅμηρος ἐν τῷ ποταμῷ πλύνουσαν, οὐκ ἐν τῇ θαλάττῃ καίπερ ἐγγὺς οὖσῃ τὴν Ναυσικάαν πεποίηκε, καίτοι θερμοτέραν γε καὶ διαφανεστέραν εἰκὸς καὶ ῥυπτικωτέραν εἶναι. καὶ ὁ Θέων, ἀλλὰ τοῦτό γε, εἶπε, τῷ γεώδει Ἀριστοτέλης πάλαι διαλέλυκεν ὃ προβέβληκας ἡμῖν. καὶ γὰρ τῇ θαλάττῃ τὸ τραχὺ καὶ γεῶδες ἐνδιέσπαρται καὶ τοῦτο ποιεῖ τὴν ἀλυκότητα μεμιγμένον· ᾗ καὶ μᾶλλον ἡ θάλαττα τούς τε νηχομένους ἐξαναφέρει καὶ στέγει τὰ βάρη, τοῦ γλυκέος ἐνδιδόντος διὰ κουφότητα καὶ ἀσθένειαν· ἔστι γὰρ ἄμικτον καὶ καθαρόν· ὅθεν ἐνδύεται διὰ λεπτότητα καὶ διεξιὸν τοῦ θαλαττίου μᾶλλον ἐκτήκει τὰς κηλῖδας. ἢ οὐ δοκεῖ σοι τοῦτο πιθανῶς λέγειν Ἀριστοτέλης;

210.

Mich. Psellus quaest. var. c. 134 Fabr.: Τίς ἡ αἰτία δι' ἣν ὅταν εἰς θάλασσαν ἐμπέσῃ κεραυνός, ἅλες ἐξανθοῦσι; πηγνύμενον τὸ θαλάσσιον ὕδωρ τοὺς ἅλας ποιεῖ, πήγνυται δὲ τοῦ κεραυνοῦ ἐμπεσόντος ἐν τῇ θαλάσσῃ καὶ τὸ γλυκὺ καὶ πότιμον ὕδωρ ἐξάγοντος. ὅθεν τὸ μὲν λεπτὸν καὶ πότιμον ὕδωρ οὔθ' ὑπὸ ἡλίου καιόμενον πήγνυται οὔθ' ὑπὸ κεραυνοῦ, τὸ δὲ ἁλμυρὸν ὑπ' ἀμφοτέρων τοῦτο πάσχει καὶ μάλιστα ὑπὸ κεραυνοῦ· θειῶδες γὰρ ὂν τὸ κεραύνιον πῦρ, ὅταν εἰς τὴν θάλασσαν ἐμπέσῃ, ἐξατμίζει μὲν καὶ ἀναξηραίνει τὸ πότιμον, πήγνυσι δὲ τὸ γεῶδες καὶ ἁλμυρόν. ὅθεν ἄσηπτα μὲν οἱ κεραυνοὶ τὰ σώματα ποιοῦσι, ἄσηπτα δὲ οἱ ἅλες διαφυλάττουσι, ἐκτηκομένης ὑπ' αὐτῶν τῆς ὑγρότητος. ταύτην τὴν αἰτίαν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τίθησί τε καὶ ἀποδέχεται καὶ οἱ κρείττους τῶν φυσικῶν.

211.

Plut. qu. conv. 3, 7, 3: Διὰ τί τὸ γλεῦκος ἥκιστα μεθύσκει; ... ἥ τε βαρύτης ἐστὶ τοῦ γλεύκους, ὡς Ἀριστοτέλης φησίν, ἡ διακόπτουσα τὴν κοιλίαν καὶ τὸ πολὺ συμβαίνειν πνευματῶδες καὶ ὑδατῶδες· ὧν τὸ μὲν εὐθὺς ἐκπίπτει βιαζόμενον, τὸ δὲ πέφυκε τὸ ὑδατῶδες ἀμβλύτερον ποιεῖν τὸν οἶνον. παλαίωσις δὲ ἐπίτασιν ἐμποιεῖ, ἐκκρινομένου τοῦ ὑδατώδους· καὶ γίνεται μέτρῳ μὲν ἐλάττων ὁ οἶνος, δυνάμει δὲ σφοδρότερος.

212.

Galen. de simpl. med. IV p. 661 (t. XI ed. Lips.): ἐπὶ δὲ τῶν ὀξέων ἴσως ἄν τῳ δόξειε λείπειν ὅ τινας καὶ τῶν ἐλλογίμων ἰατρῶν ἐξηπάτησεν· τῷ γὰρ τοὺς οἴνους τοὺς ἀσθενεῖς ἔν τε τῷ ἦρι καὶ τῷ θέρει μεταβάλλειν τε καὶ ὀξύνεσθαι, χειμῶνος δ' ἐν ταῖς οἰκείαις φυλάττεσθαι ποιότησιν, ὑπὸ θερμοῦ τισὶν ἔδοξεν ἡ ὀξύτης γεννᾶσθαι. συναύξει δ' αὐτῶν τὴν ὑπόληψιν ὅ τε κινηθεὶς σφοδρότερον οἶνος ὅ τ' ἐν τοῖς πλοίοις μετακομισθεὶς πορρώτερον· καὶ γὰρ οἱ τοιοῦτοι πάντες ὅταν ἀσθενεῖς ὦσιν, ὀξύνονται τάχιστα ... (p. 662:) ζητήσει γὰρ ὁ λόγος τὴν αἰτίαν, δι' ἣν ὑπὸ τῆς ἔξωθεν θερμότητος ὁ φύσει ψυχρὸς καὶ ἀσθενὴς οἶνος ἐλέγχεται, καίτοι τοῦτό γε αὐτὸ τὸ ῥῆμα τὸ ἐξελέγχεται ῥηθὲν ἁπάσας τὰς εἰρημένας ἀπορίας ἐπιλύεται. παραπλήσιον γάρ τι συμβαίνει τοῖς οἴνοις, ὅσοι φύσει ψυχρότεροι καὶ ὑδατωδέστεροι τυγχάνουσιν ὄντες, οἷόν τι καὶ ταῖς μικραῖς καὶ ἀσθενέσι φλοξί· καὶ γὰρ καὶ ταύτας ἐν ἡλίῳ καταθεὶς ἰσχυρῷ (p. 663:) τελέως ἀμυδρὰς ὄψει γιγνομένας ἢ καὶ παντάπασιν ἀποσβεννυμένας. οὕτω δὲ καὶ λύχνον καιόμενον εἴ που ἄλλῃ φλογὶ σφοδρᾷ καὶ μεγάλῃ παραθείης εἴτ' ἐν ἡλίῳ καταθείης ἰσχυρῷ, μαραινόμενόν τε καὶ διαφορούμενον αὐτίκα θεάσῃ. καὶ μὲν δὴ κἂν εἰ ῥιπίζοις ἰσχυρῶς ἀσθενῆ καὶ μικρὰν φλόγα, θᾶττον ἀποσβέσεις αὐτὴν ἢ αὐξήσεις. οὔτε γὰρ κίνησιν οὔτε θερμασίαν ἰσχυρὰν ἀσθενὴς ὑπομένει φύσις, ἀλλὰ διαφορεῖται πρὸς αὐτῆς μᾶλλον ἢ αὐξάνεται ... (p. 664:) ἀλλ' οἵ γε περὶ Θεόφραστον καὶ Ἀριστοτέλην τήν τ' ἐμπειρίαν ἐπὶ πλέον ἐκτείναντες καὶ διὰ τὴν ἐν φυσιολογίᾳ γυμνασίαν ἀκριβέστερον ἅπαντα διαρθρώσαντες, ἄλλα τε τοιαῦτα πολλὰ καὶ περὶ τῶν οἴνων ἡμᾶς ἐδίδαξαν ὡς ὅμοιόν τι τοῖς ἡμῶν αὐτῶν πάσχειν σώμασιν. ἢ γὰρ οὐχὶ καὶ ταῦτα θεώμεθα παρὰ τό πως ἔχειν ἀσθενείας ἢ ῥώμης ὑπὸ τῶν αὐτῶν ὀνινάμενα καὶ βλαπτόμενα; καὶ γὰρ καὶ γυμνάσια σφοδρὰ καὶ ἥλιος ἰσχυρότερα μὲν ἐργάζεται τὰ θερμὰ καὶ ῥωμαλέα σώματα, καταβάλλει δὲ καὶ διαφορεῖ καὶ καταψύχει τὰ μὴ τοιαῦτα, καὶ τῶν οἴνων τοὺς μὲν θερμοὺς φύσει καὶ κίνησις ῥιπίζουσα καὶ ἥλιος ἐκθερμαίνων καὶ φλόγες πλησίον καιόμεναι πεπαίνουσι θᾶττον· ὅσοι δὲ ψυχρότεροί εἰσι καὶ ὑδατωδέστεροι, τού-

21 mox 1, 9, 4: Ἀριστοτέλης γὰρ ἐν τῷ αὐτῷ βιβλίῳ (probl. 23, 10) φησί ... || 35 διαφυλάττουσι add. cod. Farn. (Stobaei). || 36 pro καὶ Farn. habet ὁ. || 42 συμβαίνειν Dübner: συμμένειν vulgo.

b1 ita Wytt., codd. παλαίωσις ἐπὶ τὰ ἐκκρινομένου, Steph. π. καὶ ἐπίτασιν λαμβάνει ἐκκο. || haec ultima ita reddit Macrobius: *inesse autem aquam musto vel hinc docetur quod cum in vetustatem procedit, fit mensura minus sed acrius fortitudine, quia exhalata aqua qua molliebatur remanet vini sola natura cum fortitudine sua libera, nulla diluti humoris permixtione mollita.* || 6 ἐπὶ: ἐπεὶ vulgo.

τους ἐξελέγχει τε τὰ τοιαῦτα πάντα καὶ θᾶττον ἀναγκάζει πάσχειν ἃ μικρὸν (p. 665:) ὕστερον ἔμελλε πείσεσθαι. φυλάττεται μὲν γὰρ ἕκαστον τῶν ὄντων ἐπὶ τῆς οἰκείας φύσεως οἰκείῳ θερμῷ, διαφθείρεται δὲ πρὸς τῆς ἔξωθεν ἀμετρίας ἤτοι θερμότητος ὀθνείᾳ ἢ ψύξεως πλεονεξίᾳ.

213.

Galen. de simpl. med. I p. 413: ἐπὶ δὲ τὰ λοιπὰ τῶν ὑγρῶν φαρμάκων ἤδη μεταβαίνωμεν, ὧν ἐν τοῖς μάλιστα περὶ ὄξους ἠμφισβήτηται, τῶν μὲν ψυχρὸν εἶναι λεγόντων αὐτό, τῶν δὲ θερμόν, ἐνίων δὲ τινὰ μὲν θερμότητα διδόντων αὐτῷ τινὰ δ' ἀφαιρουμένων, ὥσπερ οἱ λέγοντες οἶνον τεθνεῶτα καὶ νεκρὸν εἶναι τὸ ὄξος· οὗτοι γὰρ ἀπολωλεκέναι μὲν αὐτό φασι τὴν οἰκείαν οἴνου θερμότητα, σηπεδονώδη δέ τινα προσειληφέναι. — id. IV p. 629: ἔτι δὲ τούτων μᾶλλον ἐπὶ ὄξους θαυμάζουσιν εἰ τολμῶμεν αὐτὸ λέγειν ἀπολωλεκέναι μὲν τὴν ἔμφυτον τοῦ οἴνου θερμότητα, τὴν δ' ἐκ σήψεως ἔχειν, ὅπερ δὴ καὶ Ἀριστοτέλει καὶ Θεοφράστῳ δοκεῖ· τὰ μὲν γὰρ οἰνώδη μόρια τοῦ οἴνου κατὰ τὴν εἰς ὄξος μεταβολὴν ἀποψύχεται, τὸ δ' ὑδατῶδες περίττωμα σηπόμενον ἐπίκτητόν τινα ἴσχει θερμότητα, ὥσπερ καὶ τἆλλα πάντα τὰ σαπέντα. καὶ γίγνεται σύνθετόν τι τὸ ὄξος ἐξ ἐνιαντιωτάτων ταῖς δυνάμεσι μορίων τῶν μὲν ἀπεψυγμένων τῶν δὲ θερμῶν, ὥσπερ αἱ τῶν καυθέντων ξύλων τέφραι πᾶσαι. καὶ γὰρ ἐν ἐκείναις τὸ μὲν οἷον ἐμπύρευμα κατὰ μικρὰ μόρια παρέσπαρται, καὶ τοῦτο μὲν ἱκανῶς ἐστὶ θερμόν, τὸ δ' ἄλλο πᾶν γεῶδές τε καὶ ψυχρόν. καὶ διὰ τοῦτο ἐπειδὰν ὕδατι βραχεῖσα τέφρα διά τινων σωμάτων ἀραιῶν συμμέτρως ἠθῆται, συναποφέρεται μὲν ἐν τῷδε τὰ θερμὰ καὶ δριμέα μόρια, τὸ δ' ὑπόλοιπον οὐκέτι θερμόν ἐστιν ἐναποθέμενον τῷ ὕδατι τὰ πυρώδη μόρια. καλοῦσι δὲ τὸ τοιοῦτον ὕδωρ οἱ ἄνθρωποι κονίαν. — id. IV p. 657: διενήνοχε μέντοι τὴν δύναμιν κατὰ τοσόνδε ὄμφακος χυλὸς ὄξους, ὅτι τῷ μὲν ὄξει προσέρχεταί τις ἐκ σηπεδονώδους θερμότητος δριμύτης· καὶ διὰ τοῦτο καλῶς ἔλεγεν Ἀριστοτέλης αὐτῷ τὸ μὲν οἰκεῖον τοῦ οἴνου θερμὸν ψυχρὸν ὑπάρχειν, τὸ δ' ἐπίκτητον θερμόν.

214.

Galen. de simpl. med. II p. 474: δέον δὲ ὥσπερ ὁ Ἀριστοτέλης καὶ Θεόφραστος ἕτεροί τέ τινες ἄνδρες φιλόσοφοι τὰ τοιαῦτα τῶν προβλημάτων ἐν τοῖς φυσικοῖς ζητήμασι προβάλλουσί τε καὶ λύουσι, καὶ αὐτὸς (ὁ Διοκλῆς) εἴπερ ἐβούλετο τὰς αἰτίας ἁπάντων τῶν γιγνομένων ζητεῖν, ὁμοίως ἐκείνοις προβάλλειν τε καὶ λύειν. εἰ δ' οὐ φαίνεται τοῦτο ποιῶν, ἐν τούτῳ καὶ μάλιστα δοκεῖ μοι σφάλλεσθαι· τὸ μὲν γὰρ φαινόμενον ἐναργῶς ἀεὶ χρὴ (p. 475:) τίθεσθαι πρῶτον, ἐπισκέπτεσθαι δὲ ἐφεξῆς εἴ τις ἐθέλοι τὴν αἰτίαν αὐτοῦ, φυσικὰ προβλήματα συντιθέντα τρόπῳ τοιῷδε· διὰ τί τὸ μὲν ἔλαιον ξηρὰ καὶ ψαθυρὰ καὶ κραῦρα τὰ ἐν αὐτῷ καθεψόμενα ποιεῖ, τὸ δὲ ὕδωρ ὑγρὰ καὶ μαλακά; ἢ διὰ τί τὰ μὲν ἑψόμενα κατὰ τοὔλαιον ἀποξηραίνεται, τὰ δ' ἄλλως ἐν αὐτῷ βρεχόμενα φυλάττει τὴν οἰκείαν ὑγρότητα μᾶλλον ἢ εἰ μηδ' ὅλως ἐβρέχετο; διὰ τί δὲ τὰς ἀπὸ σκίλλης καὶ ἀκαλήφης δήξεις ἰᾶται; διὰ τί δὲ τούτων μὲν ἰατικόν ἐστι, αὐτὸ δὲ δάκνει τοὺς ὀφθαλμούς; διὰ τί τὸ μὲν ἄλλο σῶμα πᾶν οὐ δάκνει, τοὺς ὀφθαλμοὺς δὲ δάκνει; διὰ τί τὴν μὲν φάρυγγα τραχύνει, τὰ δὲ ἕλκη παρηγορεῖ; διὰ τί γαστρὸς ὑπάγωγόν ἐστι; διὰ τί κόπων ἰατικόν; διὰ τί τοὺς ἀλειψαμένους ἀπεριψύκτους τηρεῖ; διὰ τί τῶν ἐντόμων ζώων ἀναιρετικόν ἐστι; διὰ τί τῶν ἱμάντων καὶ βυρσῶν μαλακτικὸν ὑπάρχει, τῶν δ' ἑψομένων ἐν αὐτῷ σχεδὸν ἁπάντων σκληρυντικόν; ἓν μὲν εἶδός σοι προβλημάτων τοῦτο, φυσικῷ προσῆκον μόνῳ.

215.

Plutarch. qu. conv. 7, 3, 3: ἐδόκει δὲ πρὸς τοῦτον ὑπεναντιοῦσθαι τὸν λόγον Ἀριστοτέλης τετηρηκώς, ὥς φησιν, εὐωδέστερόν τε γινόμενον καὶ βέλτιον ὅλως τὸ ἐν τοῖς ἀποκενουμένοις ἀγγείοις ἔλαιον· εἶτα τῷ ἀέρι τὴν αἰτίαν τῆς βελτιώσεως ἀνατίθησι· πλείων γάρ ἐστι καὶ κρατεῖ μᾶλλον εἰς ἀποδεὲς κατερχόμενος τὸ ἀγγεῖον.

216.

Galen. de simpl. med. IX p. 164 (t. XII): τὰ μὲν οὖν δριμέα πολὺ τῆς θερμότητος ἀπόλλυσι καυθέντα, τὰ δὲ μὴ τοιαῦτα προσλαμβάνει, τελέως δὲ ψυχρὸν οὐδὲν τῶν καυθέντων ἐστίν. ἐγκαταλείπεται γὰρ αὐτοῖς οἷον ἐμπύρευμά τι· καὶ γὰρ προσηγόρευεν οὕτως Ἀριστοτέλης αὐτό· καὶ τοῦτ' ἐστὶ τὸ κατὰ τὰς πλύσεις ἀπορρυπτόμενον. ἔστι δὲ τὸ λεπτομερέστατον τῆς τῶν καυθέντων οὐσίας, οὗ συναπελθόντος τῷ ὕδατι τὸ λοιπὸν τοῦ καυθέντος οὐσία γεώδης ἐστί· τὸ μὲν γὰρ ὑγρὸν ἅπαν ἡ καῦσις ἐκδαπανᾷ, τὸ δ' ὑπολειπόμενον γεῶδές ἐστιν ἅμα τῷ πρὸς Ἀριστοτέλους ἐμπυρεύματι κληθέντι. τοῦτ' οὖν ὅταν τις ἀφέληται καὶ χωρίσῃ τῇ πλύσει, τὸ μὲν ὕδωρ ᾧ τὸ φάρμακον ἐπλύθη, θερμὴν δύναμιν ἐπεκτήσατο λεπτομερῆ, τὸ δ' ὑπόλοιπον γίνεται γεῶδες ψυχρὸν ξηραίνειν ἀδήκτως δυνάμενον.

217.

Galen. de simpl. med. IV p. 653: ἅπαντα δὲ

31 ἠθεῖται vulgo. ‖ 38 αὐτῷ: αὐτὸ vulgo.
b11 ἰατρικὸν vulgo. ‖ 16 ἀλειψομένους vulgo. ‖ 25 ita Wytt., codd. ἀποκειμένοις.

τὰ γλυκέα τῇ μὲν θερμότητι πλησίον ἥκει τῶν σωμάτων οἷς φαίνεται γλυκέα, κατὰ διττὸν δὲ τρόπον, ὡς εἴρηται, γίνεται (p. 654:) τοιαῦτα· τινὰ μὲν οἰκείῳ θερμῷ καθάπερ τὸ μέλι, τινὰ δ' ἐπικτήτῳ καθάπερ ἅπαντα τὰ διὰ πυρὸς σκευαζόμενα· καὶ διὰ τοῦτό περ ἄχρις ἂν ᾖ θερμά, μέχρι τοσοῦδε καὶ ἡδίω φαίνεται τοῖς ἀναθρέψεως δεομένοις. ἔοικε δὲ καὶ τὸ γλεῦκος οὐκ οἰκείᾳ μόνον ἀλλὰ καὶ ἐπικτήτῳ θερμασίᾳ φαίνεσθαι γλυκύ· πολὺ γάρ, ὡς καὶ Θεόφραστος καὶ Ἀριστοτέλης ἔλεγε, τὸ ἐκ τῆς ἡλιακῆς θερμασίας οἷον ἐμπύρευμά τι ταῖς τε ῥαξὶ καὶ τοῖς ἄλλοις ὑπάρχει καρποῖς, ὑφ' οὗ τὸ ὑδατῶδες ἐν αὐτοῖς ἔτι καὶ οἷον ἡμίπεπτον εἰς πέψιν ἄγεται καὶ κατεργάζεται τῷ μεταβάλλοντι συνεξομοιούμενον, ὥστε κἂν ἀποθλίψῃς τὸν χυλὸν ὀπώρας ἡστινοσοῦν, εὑρήσεις μὲν εὐθέως ζέοντα καθάπερ τὸ γλεῦκος, ἐν δὲ τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσαν τὴν ζέσιν εἰς ὅσον ἂν καὶ ὁ καρπὸς τοῦ καρποῦ διαφέρει θερμότητος. μεταβληθέντος δὲ καὶ κατεργασθέντος τοῦ ὑδατώδους τε καὶ ἡμιπέπτου καὶ τῆς τὴν ζέσιν ἐργαζομένης θερμασίας διαπνευσάσης, αἱ τῶν χυλῶν οἰκεῖαι φαίνονται ποιότητες εἰλικρινεῖς.

218.

Pseudo-Iuliani epist. 24 (Heyler): σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδὺ ἀλλὰ καὶ ἀναδόσει κρεῖττόν ἐστι. οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον ὥστε καὶ ἀλεξιφάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν Ἀριστοτέλης εἶναι καὶ τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν τῶν ἐδεσμάτων προτίθεσθαί τε καὶ ἐπιτραγηματίζεσθαι, καθάπερ ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων ἀδικίαις περιπτυσσόμενον. καὶ μὴν ὅτι θεοῖς τό σῦκον ἀνάκειται καὶ θυσίας ἐστὶν ἀπάσης ἐπιβώμιον καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖττον ἐς θυμιάματος σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος οὗτος ὁ λόγος, ἀλλ' ὅστις τὴν χρείαν αὐτοῦ ἔμαθεν οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί.

219.

Schol. in Aristoph. vesp. 145 συκίνῳ: . . . καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος, καὶ Ἀριστοτέλης φησὶν ἐν προβλήματι.

220.

Gellius 3, 6: *Per hercle rem mirandam Aristoteles in septimo (?) problematorum et Plutarchus in octavo symposiacorum dicit. si super palmae, inquiunt, arboris lignum magna pondera inponas ac tam graviter urgeas oneresque ut magnitudo oneris sustineri non queat, non deorsum palma cedit nec intra flectitur, sed adversus pondus resurgit et sursum nititur recurvaturque. propterea, inquit Plutarchus, in certaminibus palmam signum esse placuit victoriae, quoniam ingenium ligni eiusmodi est ut urgentibus opprimentibusque non cedat.*

Plutarchus qu. conv. 8, 4, 5: ἴδιον δὲ παρὰ ταῦτα πάντα καὶ μηδενὶ συμβεβηκὸς ἑτέρῳ τὸ μέλλον λέγεσθαι· φοίνικος γὰρ ξύλον ἂν ἄνωθεν ἐπιθεὶς βάρη πιέζῃς, οὐ κάτω θλιβόμενον ἐνδίδωσιν, ἀλλὰ κυρτοῦται πρὸς τοὐναντίον, ὥσπερ ἀνθιστάμενον τῷ βιαζομένῳ. τοῦτο δὴ καὶ περὶ τοὺς ἀθλητικοὺς ἀγῶνάς ἐστι· τοὺς μὲν γὰρ ὑπ' ἀσθενείας καὶ μαλακίας εἴκοντας αὐτοῖς πιέζουσι κάμπτοντες, οἱ δὲ ἐρρωμένως ὑπομένοντες τὴν ἄσκησιν οὐ μόνον τοῖς σώμασιν ἀλλὰ καὶ τοῖς φρονήμασιν ἐπαίρονται καὶ αὐξοῦνται.

221.

Apollon. mirab. 21: τῶν παρατετηρημένων δ' ἐστὶ τὸ τὰ δίχηλα μόνα τῶν ζώων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν. ἀποδέδωκε τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασιν, διὰ τί ἐν τοῖς ὀπισθίοις καὶ οὐκ ἐμπροσθίοις· οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν.

222.

Plutarch. qu. conv. 2, 2: Διὰ τί βρωτικώτεροι γίνονται περὶ τὸ μετόπωρον . . . Λαμπρίᾳ δὲ καὶ ἀνάγκη πρὸ τοῦ κήπου κυδαίνοντι τὸν περίπατον καὶ τὸ Λύκειον ἔργῳ μαρτυρεῖν Ἀριστοτέλει. φησὶ γὰρ ὁ ἀνὴρ βρωτικώτατον ἕκαστον αὐτὸν αὑτοῦ περὶ τὸ φθινόπωρον εἶναι· καὶ τὴν αἰτίαν ἐπείρηκεν, ἐγὼ δ' οὐ μνημονεύω . . . ὁ δὲ Λαμπρίας εἶπεν ὅτι τὸ οἰκεῖον καὶ τὸ σύμφυτον θερμὸν ἡμῶν ᾧ τρέφεσθαι πεφύκαμεν, ἐν μὲν τῷ θέρει διέσπαρται καὶ γέγονεν ἀσθενέστερον καὶ μανόν, ἐν δὲ τῷ φθινόντι καιρῷ συναγείρεται πάλιν καὶ ἰσχύει κατακρυπτόμενον ἐντὸς διὰ τὴν περίψυξιν καὶ τὴν πύκνωσιν τοῦ σώματος.

223.

Apollon. mir. 51: Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασι τὸν ἄνθρωπόν φησι βεβρωκότα καὶ πεπωκότα τὸν αὐτὸν σταθμὸν ἄγειν καὶ ὅτε νήστης ὑπῆρχεν. πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἀποδιδόναι.

224.

Plutarch. de tuenda sanit. praec. 19: ἐπεὶ δὲ Ἀριστοτέλης οἴεται τῶν δεδειπνηκότων τὸν μὲν περίπατον ἀναρριπίζειν τὸ θερμόν, τὸν δὲ ὕπνον ἂν εὐθὺς κατεύδωσι καταπνίγειν· ἕτεροι δὲ τὴν μὲν ἡσυχίαν οἴονται τὰς πέψεις βελτίονας ποιεῖν, τὴν δὲ κίνησιν ταράττειν

7 καί τι γλ. vulgo. ‖ 38 vel potius ποοβλήμασι.
b37 εἴρηκεν add. cod. post προβλήμασιν.

τὰς ἀναδόσεις· καὶ τοῦτο τοὺς μὲν περιπατεῖν εὐθὺς ἀπὸ δείπνου, τοὺς δὲ ἀτρεμεῖν πέπεικεν ...

225.

Apollon. mir. 9: Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσι μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.

226.

Athen. XV p. 692b: ζητεῖ δ' ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασι „διὰ τί οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ; εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ' ἔνδεια θερμοῦ, ἡ ξηρότης μαραίνει. διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης."

Clemens Alex. paed. 2, 69 p. 77 Sylb.: αἱ δὲ ἀφραίνουσαι γυναῖκες βάπτουσαι μὲν τὰς πολιὰς μυρίζουσαι δὲ τὰς τρίχας πολιώτεραι θᾶττον φαίνονται διὰ τὰ ἀρώματα ξηραντικὰ ὄντα, διὸ καὶ αὐχμηρότεροι γίνονται οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτε ἔνδεια θερμοῦ, τῆς ξηρότητος τὴν οἰκείαν τῆς τριχὸς ἐκπινούσης τροφὴν τὴν ὑγρὰν καὶ πολιοὺς ἀποτελούσης, πῶς ἂν εἰκότως ἔτι ἀγαπῷμεν τὰ μύρα, δι' ἃ αἱ πολιαί, οἱ φεύγοντες πολιάς;

227.

Epit. Athen. I p. 24e: ἔστι καὶ τρόπος ἕτερος καμάτων λύσεως ἐκ τῶν κατὰ κεφαλῆς καταιονήσεων „θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων". αἱ γὰρ ἐμβάσεις περικεχυμένου πανταχόθεν τοῖς πόροις τοῦ ὕδατος φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν, καθάπερ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθῇ· διέξεισι γὰρ οὐθέν, εἰ μή τις αὐτὸν μετεωρίσας τοῖς πόροις ἀναψυχὴν καὶ διέξοδον εἰς τὸ ἔξω παράσχῃ, ὡς Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς φυσικοῖς προβλήμασι ζητῶν, διὰ τί οἱ ἱδροῦντες ἐπὰν ἔλθωσιν εἰς θερμὸν ἢ ψυχρὸν ὕδωρ, οὐκ ἔτι ἱδροῦσιν, ἕως ἂν πάλιν ἐπανέλθωσιν ἀπὸ τῶν ἐμβάσεων.

228.

Apollon. mirab. 28: Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς „ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται". τοῦτο δέ, φησίν, παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον. ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν.

229.

Pseudo-Alexander probl. 1, 99: Διὰ τί τὰ στρογγύλα τῶν ἑλκῶν δυσίατα; ... οἱ δὲ φυσικοὶ καὶ οἱ φιλόσοφοί φασι τῷ μὴ εἶναι ἀρχὴν ὅθεν ἡ οὐλὴ ἄρξηται· ἐν γὰρ κύκλῳ οὔτε ἀρχὴν οὔτε τέλος ἐστὶ λαβεῖν.

230.

Apuleius de magia c. 51: *Aristoteles adeo in problematis scriptum reliquit, quibus aeque caducis a dextero morbus occipiat, eorum esse difficiliorem medelam.*

231.

Pseudo-Alexander in Arist. meteor. f. 131a (ap. Id. I p. 194): λέγει δὲ (**Arist. meteor. 4, 3 p. 381b 9**) ἐν τῇ τῆς τροφῆς πέψει, ἥτις ἐν τῇ ἄνω κοιλίᾳ γίνεται, μηδὲ ζῶον γεννᾶσθαι, ὥς τινες ᾤοντο, ἀλλ' ἐν τοῖς περιττώμασι καὶ τῇ ἀποκρίσει καὶ τῇ κάτω κοιλίᾳ σηπομένῃ, ὡς ἐπὶ τῶν ἐκτὸς σηπομένων ὁρᾶταί τινα ζῶα, ὡς προείρηκεν ὅτε ἔλεγε περὶ σήψεως· γεννώμενα δὲ οὕτω τε καὶ ἐνταῦθα ἐπάνεισι πολλάκις ἐπὶ τὴν ἄνω κοιλίαν. ἐστὶ δὲ ταῦτα αἵ τε λεγόμεναι τερηδόνες καὶ οἱ ἕλμινθες. διὸ πολλάκις ἐν ταῖς νόσοις καὶ ἐμοῦνται. τὴν δ' αἰτίαν τοῦ κάτω μὲν γίνεσθαι αὐτὰ ἐπανιέναι δὲ πολλάκις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, ἐν ἑτέροις εἰρῆσθαί φησιν (381b 13)· ἐν γὰρ τοῖς προβλήμασι. κάτω μὲν γὰρ καὶ ἐν τῇ κάτω κοιλίᾳ, ὅτι ἐκ σήψεως γίνεται, ἐνταῦθα δὲ ἡ σῆψις. ἐπάνεισι δὲ ἐν ταῖς νόσοις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν δι' ἃς ἐν ἐκείνοις αἰτίας λέγει.

232.

Plutarch. qu. conv. 8, 10, 1: Διὰ τί τοῖς φθινοπωρινοῖς ἐνυπνίοις ἥκιστα πιστεύομεν; προβλήμασιν Ἀριστοτέλους φυσικοῖς ἐντυγχάνων Φλῶρος εἰς Θερμοπύλας κομισθεῖσιν αὐτός τε πολλῶν ἀπορίων, ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλόσοφοι φύσεις, ὑπεπίμπλατο καὶ τοῖς ἑταίροις μετεδίδου ... τὰ μὲν οὖν ἄλλα μεθ' ἡμέραν οὐκ ἄχαριν ἡμῖν ἐν τοῖς περιπάτοις διατριβὴν παρέσχε, τὸ δὲ λεγόμενον περὶ τῶν ἐνυπνίων ὡς ἔστιν ἀβέβαια καὶ ψευδῆ μάλιστα περὶ τοὺς φυλλοχόους μῆνας, οὐκ οἶδ' ὅπως ἑτέρους λόγους πραγματευσαμένου τοῦ Φαβωρίνου μετὰ τὸ δεῖπνον ἀνέκυψε. τοῖς μὲν οὖν σοῖς ἑταίροις ἐμοῖς δὲ υἱοῖς ἐδόκει λελυκέναι τὴν ἀπορίαν Ἀριστοτέλης, καὶ οὐδὲν ᾤοντο δεῖν ζητεῖν οὐδὲ λέγειν ἀλλ' ἢ τοὺς καρπούς, ὥσπερ ἐκεῖνος, αἰτιᾶσθαι. νέοι γὰρ ὄντες ἔτι καὶ σφριγῶντες πολὺ πνεῦμα γεννῶσιν ἐν τῷ σώματι καὶ ταραχῶδες. οὐ γὰρ τὸν οἶνον εἰκός ἐστι μόνον ζεῖν καὶ ἀγανακτεῖν οὐδὲ τοὔλαιον ἂν ᾖ νεουργὸν ἐν τοῖς λύχνοις ψόφον ἐμποιεῖν ἀποκυματιζούσης τὸ πνεῦμα τῆς θερμότητος, ἀλλὰ καὶ τὰ

b6 *quibus eque* codd. Flor.: *quibuscumque* vulgo.

σιτία τὰ πρόσφατα καὶ τὴν ὀπώραν ἅπασαν ὁρῶμεν ἐντεταμένην καὶ οἰδῶσαν, ἄχρι ἂν ἀποπνεύσῃ τὸ φυσῶδες καὶ ἄπεπτον. ὅτι δέ ἐστι τῶν βρωμάτων ἔνια δυσόνειρα καὶ ταρακτικὰ τῶν καθ' ὕπνον ὄψεων, μαρτυρίοις ἐχρῶντο τοῖς τε κυάμοις καὶ τῇ κεφαλῇ τοῦ πολύποδος, ὧν ἀπέχεσθαι κελεύουσι τοὺς δεομένους τῆς διὰ τῶν ὀνείρων μαντικῆς.

233.

Gellius 19, 6: *In problematis Aristotelis philosophi ita scriptum est:* Διὰ τί οἱ μὲν αἰσχυνόμενοι ἐρυθριῶσιν, οἱ δὲ φοβούμενοι ὠχριῶσιν, παραπλησίων τῶν παθῶν ὄντων; ὅτι τῶν μὲν αἰσχυνομένων διαχεῖται τὸ αἷμα ἐκ τῆς καρδίας εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος ὥστε ἐπιπολάζειν, τοῖς δὲ φοβηθεῖσι συντρέχει εἰς τὴν καρδίαν ὥστε ἐκλείπειν ἐκ τῶν ἄλλων μερῶν.

234.

Gellius 1, 11: *morem autem illum ingrediendi ad tibicinum modulos proelii institutum esse a Lacedaemoniis Aristoteles in libris problematon scripsit, quo manifestior fieret exploratiorque militum securitas et alacritas. nam diffidentiae, inquit, et timori cum ingressione huiuscemodi minime convenit et maesti atque formidantes ab hac tam intrepida ac tam decora incedendi modulatione alieni sunt. verba pauca Aristotelis super ea re apposui:* Διὰ τί ἐπειδὰν κινδυνεύειν μέλλωσι, πρὸς αὐλὸν ἐμβαίνουσιν; ἵνα τοὺς δειλοὺς ἀσχημονοῦντας γινώσκωσιν.

XXXIX. ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

235.

(Ar. de Nilo v. 130—32 ed. meae)

Photius bibl. cod. 249 (ἀνεγνώσθη Πυθαγόρου βίος) p. 441[b] 1 Bk.: φέρονται γοῦν (οἱ ἐτησίαι ἄνεμοι) ἐπὶ τοὺς ἐναντίους τόπους· ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς Αἰθιοπίας καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο· αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργῳ κατενόησεν, ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν Μακεδόνα εἰς ἐκείνους τοὺς τόπους καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖν. διό φησιν ὡς „τοῦτο οὐκέτι πρόβλημά ἐστιν· ὤφθη γὰρ φανερῶς" ὅτι ἐξ ὑετῶν αὔξει.

Proclus in Tim. p. 37[d]: Ἐρατοσθένης δὲ οὐκέτι φησὶν οὐδὲ ζητεῖν χρῆναι αἰτίαν τῆς αὐξήσεως τοῦ Νείλου, σαφῶς καὶ ἀφικομένων τινῶν εἰς τὰς τοῦ Νείλου πηγὰς καὶ τοὺς ὄμβρους τοὺς γινομένους ἑωρακότων, ὥστε κρατύνεσθαι τὴν Ἀριστοτέλους ἀπόδοσιν.

Strabo XVII p. 789: οἱ μὲν οὖν ἀρχαῖοι στοχασμῷ τὸ πλέον, οἱ δ' ὕστερον αὐτόπται γενηθέντες ᾔσθοντο ὑπὸ ὄμβρων θερινῶν πληρούμενον τὸν Νεῖλον. — **p. 790**: εἰ γὰρ ἄρα, τοῦτ' ἐχρῆν ζητεῖν ὅπερ καὶ νῦν ἔτι ζητεῖται, τί δή ποτε θέρους, χειμῶνος δὲ οὔ ... τὸ δ' ὅτι ἐξ ὄμβρων αἱ ἀναβάσεις μὴ ζητεῖν μηδὲ τοιούτων δεῖσθαι μαρτύρων ... ἀλλ' ἐῶ ταῦτα πολλῶν εἰρηκότων ὧν ἀρκέσει δύο μνησθῆναι τοὺς ποιήσαντας καθ' ἡμᾶς τὸ περὶ τοῦ Νείλου βιβλίον Εὔδωρόν τε καὶ Ἀρίστωνά τὸν ἐκ τῶν περιπάτων· πλὴν γὰρ τῆς τάξεως τά γε ἄλλα καὶ τῇ φράσει καὶ τῇ ἐπιχειρήσει ταὐτά ἐστι κείμενα παρ' ἀμφοτέροις. ἐγὼ γοῦν ἀπορούμενος ἀντιγράφων εἰς τὴν ἀντιβολὴν ἐκ θατέρου θάτερον ἀντέβαλον· πότερος δ' ἦν ὁ τἀλλότρια ὑποβαλλόμενος, ἐν Ἄμμωνος εὕροι τις ἄν. Εὔδωρος δ' ἠτιᾶτο τὸν Ἀρίστωνα· ἡ μέντοι φράσις Ἀριστώνειος μᾶλλόν ἐστιν.

236.

(Ar. de Nilo v. 132—37 ed. meae).

Ioannes gramm. ad Arist. de gen. et corr. (1, 5 p. 321, 9) f. 22[a] Ven.: πέφυκε δὲ πυκνοῦσθαι (ὁ ἀήρ) καὶ εἰς ἑαυτὸν συνιζάνειν οὐ μόνον ψυχόμενος ἀλλὰ καὶ ὠθούμενος καὶ πιλούμενος. οὕτω γοῦν ἀποδέδειχεν ὁ Ἀριστοτέλης ἐν θέρει ἐν τῇ Αἰθιοπίᾳ τοὺς ὑετοὺς γινομένους· ὠθουμένης γὰρ τῆς ἐκ τῶν βορείων ἀτμίδος ὑπὸ τῶν ἐτησίων πνευμάτων καὶ τοῖς Ἀραβικοῖς προσπιπτούσης ὄρεσι μεγίστοις οὖσι καὶ συνθλιβομένης ἀεὶ ὑπὸ τῆς ἐπιγινομένης, τῇ πιλήσει πυκνοῦσθαι καὶ εἰς ὕδωρ μεταβάλλειν.

Strabo XVII p. 790: φησὶ γὰρ (Ποσειδώνιος) Καλλισθένη λέγειν (τῶν ἀναβάσεων) τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν παρὰ Ἀριστοτέλους λαβόντα.

---

26 κινδυνεύειν Hertz: vulgo πολεμεῖν.

[b]10 αὐτόπται γενηθέντες = *per se videntes facti* Ar. de Nilo l. c. ‖ 13 καὶ νῦν i. e. Eratosthenis aetate (cf. A. P. p. 712. 106 ad fr. 82. 83 etc.). ‖ cf. Ar. de Nilo v. 1. ‖ 17 καθ' ἡμᾶς i. e. Eratosthenis aetate, ut supra. ‖ 18 τὸν Κεῖον scil. in Aristotelem postea (et iam Posidonio?) mutatum? etenim si Strabo Eratosthenes, Ariston sane erit Aristoteles. ‖ 20 ἐγὼ i. e. Eratosthenes. ‖ 40 παρὰ Ἀριστοτέλους sc. iudice Posidonio.

XL. ΠΕΡΙ ΣΗΜΕΙΩΝ
('Αριστοτέλους ἢ Θεοφράστου).

237.

Geminus isag. in phaenom. p. 61 Petav.: ὥστε εἶναι φανερὸν ἐκ πάντων ὅτι οὐδ' οὗτος ὁ ἀστὴρ (ὁ κύων) οὔτ' ἄλλος οὐδεὶς τηλικαύτην τινὰ δύναμιν ἔχει ὥστε μεταβολὰς περὶ τὸν ἀέρα κατασκευάζειν, ἀλλ' ἔστι τὸ ἡγεμονικὸν αἴτιον περὶ τὸν ἥλιον, αἱ δὲ τούτων ἐπιτολαὶ καὶ δύσεις ἐπὶ τὴν ἐπίγνωσιν τῶν περὶ τὸν ἀέρα μεταβολῶν παράκειται· δι' ἣν αἰτίαν οὐδὲ διὰ παντὸς συμφωνοῦσιν. ὅθεν βελτίοσιν ἄν τις σημείοις χρήσαιτο τοῖς ὑπὸ τῆς φύσεως ἡμῖν διδομένοις, οἷς καὶ Ἄρατος κέχρηται. τὰς μὲν γὰρ ἐκ τῶν ἐπιτολῶν καὶ δύσεων τῶν ἄστρων γινομένας μεταβολὰς τοῦ ἀέρος ᾠήθη εἶναι διεψευσμένας, τὰς δὲ φυσικῶς γινομένας καὶ μετά τινος αἰτίας κατεχώρισεν ἐν τῇ τῶν φαινομένων πραγματείᾳ ἐπὶ πέρατι τῆς ὅλης συντάξεως. λαμβάνει γὰρ τὰς προγνώσεις ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ δύσεως καὶ ἀπὸ τῶν τῆς σελήνης ἀνατολῶν καὶ δύσεων καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην καὶ ἀπὸ τῶν διαισσόντων ἀστέρων καὶ ἀπὸ τῶν ἀλόγων ζώων· αἱ γὰρ ἀπὸ τούτων προγνώσεις μετά τινος φυσικῆς αἰτίας γινόμεναι κατηναγκασμένα ἔχουσι τὰ ἀποτελέσματα. ὅθεν καὶ Βοηθὸς ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως φυσικὰς τὰς αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέλης ὁ φιλόσοφος κέχρηται καὶ Εὔδοξος καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων.

238.

Ἀνέμων θέσεις καὶ προσηγορίαι: ἐκ τῶν Ἀριστοτέλους περὶ σημείων.

1. 2. Βορρᾶς. οὗτος ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων καὶ ὀρῶν διπλῶν παρ' ἄλληλα κειμένων ἃ καλεῖται Παγρικά. ἐν δὲ Καύνῳ μέσης. ἐν δὲ Ῥόδῳ Καυνίας· πνεῖ γὰρ ἀπὸ Καύνου ἐνοχλῶν τὸν λιμένα αὐτῶν τῶν Καυνίων. ἐν δὲ Ὀλβίᾳ τῇ κατὰ Μάγυδον τῆς Παμφυλίας Ἰδυρεύς· πνεῖ γὰρ ἀπὸ νήσου ἣ καλεῖται Ἰδυρίς. τινὲς δὲ αὐτὸν βορρᾶν οἴονται εἶναι, ἐν οἷς καὶ Λυρνατιεῖς οἱ κατὰ Φασηλίδα.

3. Καικίας. οὗτος ἐν μὲν Λέσβῳ καλεῖται Θηβάνας· πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιτικὸν κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα· παρὰ δέ τισι Καυνίας, ὃν ἄλλοι βορρᾶν οἴονται εἶναι.

4. Ἀπηλιώτης. οὗτος ἐν μὲν Τριπόλει τῆς Φοινίκης ποταμεὺς καλεῖται, πνεῖ δὲ ἐκ πεδίου ὁμοίου ἄλωνι μεγάλῳ, περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου ὄρους· παρὸ καὶ ποταμεὺς καλεῖται. ἐνοχλεῖ δὲ τὸ Ποσειδώνειον. ἐν δὲ τῷ Ἰσσικῷ κόλπῳ καὶ περὶ Ῥωσὸν Συριάνδος· πνεῖ δὲ ἀπὸ τῶν Συρίων πυλῶν, ἃς διέστηκεν ὅ τε Ταῦρος καὶ τὰ Ῥώσια ὄρη. ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεὺς ἀπὸ Μάρσου κώμης. ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τέῳ καὶ ἐν Κρήτῃ καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ Ἑλλησποντίας. μάλιστα δὲ ἐνοχλεῖ τόν τε τῆς Εὐβοίας Καφηρέα καὶ τὸν Κυρηναίων λιμένα, καλούμενον δὲ Ἀπολλωνίαν· πνεῖ δὲ ἀφ' Ἑλλησπόντου. ἐν δὲ Σινώπῃ Βερεκυντίας ἀπὸ τῶν κατὰ Φρυγίαν τόπων πνέων. ἐν δὲ Σικελίᾳ καταπορθμίας πνέων ἀπὸ τοῦ πορθμοῦ· τινὲς δὲ αὐτὸν καικίαν οἴονται εἶναι Θηβάναν προσαγορεύοντες.

5. Εὖρος. οὗτος ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν σκοπελεὺς καλεῖται ἀπὸ τοῦ Ῥωσίου σκοπέλου, ἐν δὲ Κυρήνῃ Κάρβας ἀπὸ τῶν Καρβανῶν τῶν κατὰ Φοινίκην· διὸ καὶ τὸν αὐτὸν Φοινικίαν καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ ἀπηλιώτην νομίζουσιν εἶναι.

6. Ὀρθρόνοτος. τοῦτον οἱ μὲν εὖρον, οἱ δὲ ἀμνέα προσαγορεύουσιν.

7. Νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται· τὸ δὲ ὄνομα διὰ τὸ νοσώδη εἶναι, ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον.

8. Λευκόνοτος ὁμοίως· τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος· λευκαίνεται γάρ ...

9. Λίψ. καὶ οὗτος τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ.

10. Ζέφυρος. καὶ οὗτος τόδε τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν, ἡ δὲ ἑσπέρα ...

11. Ἰάπυξ. οὗτος ἐν Τάραντι Σκυλλητῖνος ἀπὸ χωρίου Σκυλλητίου. κατὰ δὲ Δορύλαιον τὸ Φρυγίας ..., ὑπὸ δέ τινων φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Παγγαῖον. παρὰ πολλοῖς δὲ ἀργέστης.

17 ἐπὶ πᾶσι male edd. ‖ 31 vid. Arist opp. ed. Casaub. Lugd. 1590 t. I p. 755 et supra ed. Bekkeri p. 973. hic usus est cod. Marc. app. IV, 58 (K^a), quem et ipse inspexi cum codd. rec. Marc. 200 (= Q Bekk.). 215. 216, qui in eisdem vitiis consentiunt. ‖ 37 αὐτῶν τὸν ἀκανίαν codd. ‖ 38 μύγαλόν codd. ‖ Ἰδυρεύς Meineke: γαυσεύς codd. ‖ 39 codd. γαυρίς. ‖ 40 λυσναντεῖς codd.

b2 ita K^a Q, vulgo Ἐλαιατικόν. ‖ 4 παρὰ δὲ αἰκαυνίας vulgo, π. δ. τοῖς καυνίας (non καυνίαις, quod affert Bekker) K^a, π. δ. τῆς καυνίας Q. ‖ 5 βοσέαν K^a Q. ‖ 10 ποσειδόνιον codd., Ποσείδιον Steph. Str. etc. ‖ 11 ita codd., fort. Μυριανδεύς. ‖ 12 καὶ ταυρόσια codd. ‖ 13 ὁ μασσεύς K^a Q. ‖ 14 ἐλισποντίας K^a, ἑλισποντίας Q. ‖ 16 καιφαόεα K^a, καὶ φηόεα Q. ‖ ita codd., Κυρηναῖον vulgo. ‖ 17 ἑλησπόντου K^a, ἑλισπόντου Q. ‖ 18 βεσεκυπτίας K^a Q. ‖ 20 δηβάνω Q. ‖ 23 φοινίκων K^a Q. ‖ 26 codd. ὀρδόνοτος. ‖ 31 ὁμοίως om. Casaub. ‖ 35 lacunam. hic, ut supra post λευκ. γάρ, auctore Casaubono significant editores, non codices. ‖ 36 codd. σκυλητῖνος. ‖ 37 codd. σκυλαντίμου. ‖ κατα δε σαλεοντο Φευγίας K^a, καταδεσαλεοντοφρυγίας Marc. 215. 216. καταδεσρωλεοντοφευγίας Q. ‖ 39 ita K^a Q, vulgo Πηγαῖον.

12. Θρακίας κατὰ μὲν Θρᾴκην Στρυμονίας· πνεῖ γὰρ ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ· κατὰ δὲ τὴν Μεγαρικὴν Σκίρρων ἀπὸ τῶν Σκιρρωνίδων πετρῶν, ἐν δὲ Ἰταλίᾳ καὶ Σικελίᾳ Κιρκίας διὰ τὸ πνεῖν ἀπὸ τοῦ Κιρκαίου. ἐν δὲ Εὐβοίᾳ καὶ Λέσβῳ Ὀλυμπίας, τὸ δὲ ὄνομα ἀπὸ τοῦ Πιερικοῦ Ὀλύμπου· ὀχλεῖ δὲ Πυρραίους.

239.

Proclus in Tim. p. 285[f] Bas.: θαυμασιωτάτην δὲ εἶναί φησιν ὁ Θεόφραστος ἐν τοῖς κατ' αὐτὸν χρόνοις τὴν τῶν Χαλδαίων περὶ ταῦτα θεωρίαν τά τε ἄλλα προλέγουσαν καὶ τοὺς βίους ἑκάστων καὶ τοὺς θανάτους καὶ οὐ τὰ κοινὰ μόνον, οἷον χειμῶνας καὶ εὐδίας, ὥσπερ καὶ τὸν ἀστέρα τοῦ Ἑρμοῦ χειμῶνος μὲν ἐκφανῆ γενόμενον ψύχη σημαίνειν καύματα δὲ θέρους, εἰς ἐκείνους ἀναπέμπει· πάντα δ' οὖν αὐτοὺς καὶ τὰ ἴδια καὶ τὰ κοινὰ προγινώσκειν ἀπὸ τῶν οὐρανίων ἐν τῇ περὶ σημείων βίβλῳ φησὶν ἐκεῖνος.

240.

Schol. in Arat. 1094 (διοσ. 362) p. 244 (Buhle): περὶ δὲ τῶν ὀρνίθων Ἀριστοτέλης φησίν, ὅταν μὲν ψυχρὸς καὶ ὑγρὸς ᾖ ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ αἱ νῆσοι βρεχόμεναι ἀναφύουσιν· ὅταν δὲ αὐχμώδης ᾖ καὶ ξηρός, τότε παντελῶς τῶν νήσων μὴ ἀναφυουσῶν ἐπὶ τὴν γῆν τὰ ἐν ταῖς νήσοις ὄρνεα φεύγουσιν εἰς ἣν δύνανται κἂν ἐξ ὀλίγου τρέφεσθαι. καὶ οἱ κολοιοὶ δὲ ἐκ τῶν νήσων πετόμενοι τοῖς γεωργοῖς σημεῖον αὐχμοῦ καὶ ἀφορίας εἰσίν· ἐὰν δὲ ἔμμετροι χωρῶσιν, εὐκαρπίαν δηλοῦσι.

241.

Aelianus de nat. anim. 7, 7 (Hercher):

1. Ἀριστοτέλους ἀκούω λέγοντος ὅτι ἄρα γέρανοι ἐκ τοῦ πελάγους ἐς τὴν γῆν πετόμεναι χειμῶνος ἀπειλὴν ἰσχυροῦ ὑποσημαίνουσι τῷ συνιέντι. πετόμεναι δὲ ἄρα ἡσυχῇ αἱ αὐταὶ ὑπισχνοῦνται εὐημερίαν τινὰ καὶ εἰρήνην ἀέρος, καὶ σιωπῶσαι δὲ ὅτι ἔσται ὑπεύδια τοὺς οὐκ ἀπείρως ἔχοντας τῇ σιωπῇ ὑπομιμνήσκουσιν αἱ αὐταί. ἐὰν δὲ καταπέτωνται καὶ βοῶσι καὶ ταράττωσί τε καὶ ταράττωνται, ἀπειλοῦσι κἀνταῦθα χειμῶνα ἰσχυρόν.

2. ἐρωδιὸς δὲ κνεφαῖος βοῶν τὰ αὐτὰ ἔοικεν ὑποδηλοῦν, ὡς ὁ αὐτὸς Ἀριστοτέλης φυλάξας λέγει· πετόμενος δὲ ἐρωδιὸς τῆς θαλάττης εὐθὺ ὕδωρ ἐξ οὐρανοῦ ῥαγήσεσθαι αἰνίττεται.

3. εἰ δὲ εἴη χειμέρια, ᾄσασα γλαὺξ εὐδίαν μαντεύεται καὶ ἡμέραν φαιδράν. ἐὰν δὲ εὐδία μὲν ᾖ, ἡ δὲ ὑποφθέγγηται, χειμῶνα δεῖ προσδέχεσθαι.

4. κόραξ δὲ ἐπιτρόχως φθεγγόμενος καὶ κρούων τὰς πτέρυγας καὶ κροτῶν αὐτάς, ὅτι χειμὼν ἔσται κατέγνω πρῶτος. κόραξ δὲ αὖ καὶ κορώνη καὶ κολοιὸς δείλης ὀψίας εἰ φθέγγοιντο, χειμῶνος ἔσεσθαί τινα ἐπιδημίαν διδάσκουσι.

5. κολοιοὶ δὲ ἱερακίζοντες, ὡς ἐκεῖνος λέγει, καὶ πετόμενοι πῇ μὲν ἀνωτέρω πῇ δὲ κατωτέρω, κρυμὸν καὶ ὑετὸν δηλοῦσι.

6. κορώνη δὲ ἐπὶ δείπνου ὑποφθεγγομένη, ἐς τὴν ὑστεραίαν εὐδίαν παρακαλεῖ.

7. φανέντες δὲ ὄρνιθες πολλοὶ μὲν τὸν ἀριθμόν, λευκοὶ δὲ τὴν χρόαν, χειμὼν ὅτι ἔσται πολὺς ἐκδιδάσκουσι.

8. νῆτται δὲ καὶ αἴθυιαι πτερυγίζουσαι πνεῦμα δηλοῦσιν ἰσχυρόν.

9. ὄρνιθες δὲ ἐκ τοῦ πελάγους ἐς τὴν γῆν σὺν ὁρμῇ πετόμενοι μαρτύρονται χειμῶνα.

10. ἐρίθακος δὲ ἐς τὰ αὔλια καὶ τὰ οἰκούμενα παριὼν δῆλός ἐστι χειμῶνος ἐπιδημίαν ἀποδιδράσκων.

11. ἀλεκτρυόνες γε μὴν καὶ ὄρνιθες οἱ ἠθάδες πτερυσσόμενοι καὶ φρυαττόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσιν.

12. ἀπειλοῦσι δὲ καὶ πνεῦμα λουόμενοί γε ὄρνιθες καὶ ἀνέμων τινὰς ἐμβολὰς ὑποφαίνουσι. χειμῶνος δὲ ὄντος ἐς ἀλλήλους ὄρνιθες πετόμενοι καὶ δι' ἀλλήλων θέοντες σημαίνουσιν εὐδίαν. ὄρνιθες δὲ ἀθροιζόμενοι περί τε λίμνας καὶ ποταμῶν ὄχθας χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσι. πάλιν τε ὄρνιθες οἱ μὲν θαλάττιοι καὶ οἱ λιμναῖοι ἐς τὴν γῆν ἰόντες ὡς ἔσται χειμὼν πολὺς οὐκ ἀγνοοῦσιν, οἱ δὲ χερσαῖοι σπεύδοντες ἐς τὰ νοτερὰ εὐδίας ἄγγελοί εἰσιν, ἐὰν μέντοι σιωπῶσιν.

Aelian. ib. 7, 8:

13. ... καὶ ἐκεῖνα δὲ προσακήκοα ἐκπλῆξαι ἱκανά. βοῦς ἐὰν βοᾷ καὶ ὀσφραίνηται, ὕειν ἀνάγκη· ἄδην δὲ βόες καὶ πέρα τοῦ ἔθους ἐσθίοντες δηλοῦσι χειμῶνα.

14. πρόβατα δὲ ὀρύττοντα ταῖς ὁπλαῖς τὴν γῆν ἔοικε σημαίνειν χειμῶνα, ἀναβαινόμενα δὲ τὰ αὐτὰ πρωὶ χειμῶνα ὁμολογεῖ. κοιμώμεναι δὲ ἀθρόαι αἱ αἶγες τὰ αὐτὰ ὁμολογοῦσι.

15. μύες δὲ ἐν τοῖς ἀρώμασι φαινόμενοι ὑετοῦ φυγὴν διδάσκουσιν.

16. ἄρνες δὲ ἄρα καὶ ἔριφοι ἀλλήλοις ἐμπη-

4 Κίρκας vulgo. ‖ 5 ὁλαμπίας K[a], ὁ λαμπίας Q. ‖ 33 ἰσχυράν codd., corr. Hercher. ‖ 35 ἐστὶν codd. ‖ 41 ὡς . . . λέγει del. Hercher.

b3 ταχέως καὶ ἐπιτρόχως codd. (glossam del. Hercher). ‖ 21 περιὼν codd., corr. Abresch. ‖ 25 λούμεναί Hercher. ‖ 36 ὀσφρ. τῆς γῆς codd., del. Schn. ‖ 39 πρωὶ ⟨πρώιον⟩ Schn.: πώεα codd. ‖ 42 ὁμολογοῦσι. μύες ego: ὁμολογοῦσιν. ὗες (et mox φαινόμεναι) vulgo.

δῶντές τε καὶ ὑποσκιρτῶντες φαιδρὰν ἡμέραν ὁμολογοῦσιν.

17. γαλαῖ δὲ ὑποτρίζουσαι καὶ μύες ἐκείναις δρῶντες τὰ αὐτὰ χειμῶνα ἔσεσθαι συμβάλλονται ἰσχυρόν.

18. λύκοι δὲ φεύγοντες ἐρημίας καὶ εὐθὺ τῶν οἰκουμένων ἰόντες χειμῶνος ἐμβολὴν μέλλοντος ὅτι πεφρίκασι μαρτυροῦσι δι' ὧν δρῶσι.

19. λέοντος δὲ ἐν τοῖς καρπίμοις χωρίοις ἐπιδημία αὐχμὸν δηλοῖ.

20. σκιρτῶντά γε μὴν τὰ ὑποζύγια καὶ βοῶντα τοῦ ἔθους μᾶλλον νοτερὸν χειμῶνα ἐσόμενον δηλοῖ· εἰ δὲ καὶ ταῖς ὁπλαῖς κόνιν προσαναβάλλοι, ταὐτὰ ταῦτα δηλοῖ που.

21. λαγῷ δὲ ἐν τοῖς αὐτοῖς χωρίοις ὁρώμενοι πολλοὶ δηλοῦσιν εὐδίαν.

Aelian. ib. 9, 13:

22. ὅταν δὲ βάτραχοι γεγωνότερον φθέγγωνται καὶ τῆς συνηθείας λαμπρότερον, ἐπιδημίαν δηλοῦσιν ὑετοῦ.

XLI. ΠΕΡΙ ΜΕΤΑΛΛΩΝ

(Ἀριστοτέλους ἢ) Θεοφράστου.

De testimoniis cf. A. P. p. 261.

242.

Theophr. de lapid. init.: Τῶν ἐν τῇ γῇ συνισταμένων τὰ μέν ἐστιν ὕδατος τὰ δε γῆς· ὕδατος μὲν τὰ μεταλλευόμενα, καθάπερ ἄργυρος καὶ χρυσὸς καὶ τἆλλα, γῆς δὲ λίθος τε καὶ ὅσα λίθων εἴδη περιττότερα καὶ εἴ τινες δὴ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν ἢ χρώμασιν ἢ λειότησιν ἢ πυκνότησιν ἢ ἄλλῃ τινὶ δυνάμει. περὶ μὲν οὖν τῶν μεταλλευομένων ἐν ἄλλοις τεθεώρηται, περὶ δὲ τούτων νῦν λέγωμεν.

243.

Hesych. s. προσφανῆ: Θεόφραστος ἐν μεταλλικῷ χρυσίου συρροάς.

244.

Harpocr. (lex. p. 108, 22 Bk.) s. κεγχρεών: Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ „κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα" ἀντὶ τοῦ εἰς τὸ καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων κέγχρον διέψυχον, ὡς ὑποσημαίνει Θεόφραστος ἐν τῷ περὶ μετάλλων.

245.

Hesych. s. σύζωσμα: ἐν τῷ μεταλλικῷ τὸν ἐκκρέοντα χαλκόν.

246.

Hesych. s. σκαρφών: εἶδος καμίνου, ἐν τῷ μεταλλικῷ.

247.

Pollux 7, 99: ... καὶ σιδήρου μέταλλα καὶ γῆ σιδηρῖτις. ταύτης δὲ τὸ κάθαρμα σκωρίαν ὠνόμαζον, ὥσπερ τοῦ χρυσοῦ τὸ ἄνθος ἀδάμαντα καὶ τὸν ἀργυρίων κονιορτὸν κέρχνον. τὴν δὲ σκωρίαν καὶ κίβδον ἐκάλεσαν, ἀφ' ἧς καὶ οἱ μεταλλεῖς κίβδωνες. τὸ δὲ ἀγγεῖον ἐν ᾧ κατεκεράννυσαν τὸν σίδηρον, περίοδος καλεῖται ἐν τῷ περὶ μετάλλων εἴτε Ἀριστοτέλους ἐστὶ τὸ βιβλίον εἴτε Θεοφράστου.

Poll. 10, 149: μεταλλέως σκεύη θύλακες, περίοδος, σάλαξ. καὶ θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι, περίοδον δὲ καὶ σάλακα Θεόφραστος ἐν τῷ μεταλλικῷ, περίοδον μὲν τὸ ἀγγεῖον ἐν ᾧ κατακεραννύουσι τὸν σίδηρον, σάλακα δὲ τὸ τῶν μεταλλέων κόσκινον.

248.

Pseudaristot. mir. 42—50. 61. 62.

1 (42). περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, ἐξ ὧν τὰ ἐκβαλλόμενα αὐξάνεσθαί φασι ἀποσύρματα καὶ φύειν χρυσίον, καὶ τοῦτ' εἶναι φανερόν.

2 (43). φασὶ δὲ καὶ ἐν Κύπρῳ περὶ τὸν καλούμενον Τυρρίαν χαλκὸν ὅμοιον γίγνεσθαι. κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπείρουσιν αὐτόν· εἶθ' ὑδάτων ἐπιγενομένων αὐξάνεται καὶ ἐξανίησι καὶ οὕτως συνάγεται.

3 (44). φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς πάλιν ἀναπληρώματα γίγνεσθαι.

4 (45). περὶ Παιονίαν λέγουσιν ὅταν συνεχεῖς ὄμβροι γένωνται, εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς χρυσὸν τὸν καλούμενον ἄπυρον. λέγουσι δ' ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν τὴν γῆν ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ μνᾶν χρυσίου ὁλκήν. τῷ δὲ βασιλεῖ τινά φασιν εὑρόντα ἀνενεγκεῖν δύο βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὓς φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι καὶ ἐπ' ἐκείνων πρῶτον εἴ τι ἐσθίει ἀπάρχεσθαι.

5 (46). φασὶ δὲ καὶ ἐν Βάκτροις τὸν Ὦξον ποταμὸν καταφέρειν βωλία χρυσίου πλήθει πολλά· καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

11 γε add. H. ‖ 13 προσαναβάλλοιτο αὐτὰ τὰ αὐτὰ codd., corr. H.
b21 τοὺς ἐν Μακεδονίᾳ S^a. ‖ 25 δὲ om. S^a. ‖ 31 πάλιν om. S^a. ‖ 37 ὑπὲρ τὴν μνᾶν N^a S^a. ‖ τινά om. N^a S^a. ‖ 38 εὑρόντας N^a S^a. ‖ 42 τὸν ὦζον S^a, τόξον N^a. ‖ 43 πλῆθος N^a. ‖ 44 i. e. Δούριον.

6 (47). λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι χρυσίον τὸ μέγεθος σπιθαμιαῖον.

7 (48). λέγεται δὲ ἰδιαιτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμισηνοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δ' οἱ μὲν ἁπλῶς φασὶ πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυριμάχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἑκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου. μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

8 (49). φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότερόν εἰσι χαλκαῖ ἢ χρυσαῖ.

9 (50). τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. σημεῖον δὲ τῆς εὐτηξίας ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι· χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένηται πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασι, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ διὰ τὴν ἀσθένειαν.

10 (61). θαυμαστὸν δέ τί φασιν ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μόλυβδον συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

11 (62). φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινὸς αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγιγνόμενα οὐκέτι.

249.

Cod. gr. Paris. 1310 f. 444[b] (A. P. p. 260): Περὶ τῶν εὑρισκομένων μετάλλων ἐν τῇ νήσῳ κύπρῳ.

Ἰστέον ὅτι ἐν τοῖς βίβλοις τῶν περὶ γαληνὸν περὶ εἰδῶν, καὶ ἀριστοτέλους φυσιολογικῶν περὶ οὐσίας γῆς καὶ λίθων καὶ μετάλλων εὑρέσεις, εὑρέθη ἐν τῇ κύπρῳ νήσῳ ὅτι ἔστιν ὄρος μέγα καὶ ὑψηλὸν ὑπὲρ πάντων τῶν βουνῶν αὐτῆς, τρόγοδος καλούμενον. πολλὰ καὶ διάφορα εἴδη βοτανῶν τῆς ἰατρικῆς τέχνης χρήσιμα εὑρισκόμενα. ἅ τινα λέγειν ἐπιχειροῦντα καθ' ἕν, ἐπιλήψει με διηγούμενον ὁ χρόνος. Ὁμοίως καὶ περὶ μετάλλων γῆς, γέγραπται ἐν τῷ περὶ λίθων διαφορᾶς ἀριστοτέλους. ὅτι χρυσίου μετάλλων ὅρος, Ἡ βούκασα. ἢ καὶ διακειμένη εἰς πόδοσιν τοῦ τρογόδου. καὶ ἐπιβλέπει ἐπὶ τὰ βορειότερα μέρη τῆς νήσου. κατὰ θάλατταν δὲ, γίνεται δυτικώτερον αὐτῆς. ἔχει δὲ διαφορὰς μετάλλων καθὼς διηγήσατο. φημί, χρυσίου καὶ ἀργυρίου καὶ χαλκοῦ. στυπτηρίας σχιστῆς καὶ λευκῆς. καὶ ἀληθινῆς στυπτηρίας. καὶ σωροῖ τὸ προζύμιον τοῦ χρυσαρίου. καὶ μίσσει καὶ ὁ χαλκίτης. καὶ ἄλλα διάφορα μέταλλα. ἐν ἑτέροις δὲ ὄρεσι φασὶ τῆς κύπρου, γίνεται ὁ σίδηρος. ὁ ὕελος. καὶ πᾶσα ὕλη τιμία: —

XLII. ΠΕΡΙ ΦΥΤΩΝ.

De testimoniis vid. A. P. p. 261.

250.

Athen. XIV p. 652[a]: καὶ Ἀριστοτέλης ἐν τῷ περὶ φυτῶν οὕτως „φοινίκων ἀνόρχων, οὓς τινες εὐνούχους καλοῦσιν, οἱ δὲ ἀπυρήνους".

251.

Athen. XIV p. 653[d]: οἷον τὰ ἐπεμβεβλημένα. ὁ γὰρ Ἀριστοτέλης καὶ ἐπεμβολάδας ἀπίους ὀνομάζει τὰς ἐγκεκεντρισμένας.

Harpocr. lex. (p. 71, 8) s. ἐμβεβλημένα: ἀντὶ τοῦ ἐγκεκεντρισμένα. Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. καὶ Ἀριστοτέλης δ' ἐμβολάδας ἀπίους λέγει τὰς τοιαύτας.

252.

Pollux 10, 170: καὶ ἐν Ἀριστοτέλους δὲ ἢ Θεοφράστου φυτικοῖς γέγραπται „καλάμου, ὀρόφου, θρυαλλίδος, στροβίλου, πίτυος".

253.

Antigonus mirab. 185: περὶ δὲ φυτῶν τῆς ἀκάνθου εἶδος Ἀριστοτέλην φάσκειν περὶ τὴν Ἐρύθειαν εὑρίσκεσθαι διαποίκιλον τὴν χρόαν, ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμων δὲ ὁ κιθαρῳδὸς εἶχεν καὶ ἐπεδείκνυεν πολλοῖς, φάσκων αὐτῷ τὸν διδάσκαλον Ἀρτοκλῆν δεδωρῆσθαι, εἶναι δ' αὐτῶν τὴν ἀφὴν ἐν τῇ χρείᾳ σκληράν.

3 χασμάτων τε Sylb. ‖ 6 ἰδιωτάτην S[a]. ‖ 8 πλύναντες codd., corr. Sylb. ‖ 9 τῆς γινομένης S[a]. ‖ 10 φύσεως S[a]. ‖ 11 τῷ πυρὶ μάχον S[a]. ‖ 13 ἐκκαίετο S[a]. ‖ 14 ἀργύρου S[a]. ‖ 26 εἰ κατακλ. S[a]. ‖ 30 συμβαίνει S[a]. ‖ 31 καταχεθῇ S[a]. ‖ 34 αὐτῷ S[a]. ‖ 43 εὑρέσεως.

[b] 10 φημὶ. ‖ 12 ἀληθινῆς. ‖ σῶρυ. ‖ 13 μίσυ. ‖ 36 codd. et edd. φυσικοῖς. ‖ 39 περὶ δὲ τούτων τῆς ἀκανθείσας cod., corr. Bentl. ‖ 40 ἐρύθηναν cod.

254.

Phot. lex. s. ἔσμα: Ἀριστοτέλης, ὅπερ Θεόφραστος μίσχον· ἔστι δὲ ὁ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων.

Eustath. in Il. ν, 289 (ἐν αὐχένι) **p.** 932: σημείωσαι δὲ ὅτι αὐχὴν οὐ μόνον ἐπὶ ζώων λέγεται ἀλλὰ καὶ ἐπὶ καρπῶν, ὡς δηλοῖ ὁ οὕτω γράψας „ἔσμα φησὶν Ἀριστοτέλης, Θεόφραστος δὲ μίσχον. ἔστι δὲ ὁ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων".

XLIII. ΓΕΩΡΓΙΚΑ.

255.

Geopon. III, 3 (ἐκ τοῦ Βάρωνος καὶ τῶν Κυντιλίων): τούτῳ τῷ μηνὶ (τῷ Μαρτίῳ) ταῖς ῥίζαις τῶν ἀμυγδαλῶν κόπρον χοιρείαν ἐπιθήσομεν· τάς τε γὰρ πικρὰς γλυκείας ποιεῖ καὶ μείζους καὶ τρυφεράς, ὡς Ἀριστοτέλης φησί.

256.

Aristoteles in georgicis amaritudinem amygdali flagranti soli adsignat, cum crebrius exustae dulcior sucus hauriatur.

VII. ZOICA.

XLIV. ΖΩΙΚΑ
(= ἀνατομαί).

Apuleius de mag. 36: *legisti profecto Aristotelis* περὶ ζώων γενέσεως, περὶ ζώων ἀνατομῆς, περὶ ζώων ἱστορίας *multiiuga volumina.*

ib. c. 40: *quasi vero non paulo prius dixerim me de particulis omnium animalium de situ earum deque numero deque causa conscribere ac libros* ἀνατομῶν *Aristotelis et explorare studio et augere.*

Apollon. mir. 27: δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι ἡ μὲν περὶ ζώων ἡ δὲ περὶ τῶν ζωικῶν.

(Περὶ ἀνθρώπου φύσεως).

257.

Clemens Alex. strom. 6, 16 **p.** 290 **Sylb.:** φασὶ δὲ καὶ τὸ ἔμβρυον ἀπαρτίζεσθαι πρὸς ἀκρίβειαν μηνὶ τῷ ἕκτῳ, τουτέστιν ἑκατὸν ἡμέραις καὶ ὀγδοήκοντα πρὸς ταῖς δύο καὶ ἡμίσει, ὡς ἱστορεῖ Πόλυβος μὲν ὁ ἰατρὸς ἐν τῷ περὶ ὀκταμήνων, Ἀριστοτέλης δὲ ὁ φιλόσοφος ἐν τῷ περὶ φύσεως.

258.

Oribas. coll. med. 22, 5 (s. 1 et 2 **p.** 63 **t. III ed. Bussemaker et Daremberg cf. praef. p. XIV):** περὶ ὀκταμήνων, ἐκ τῶν Ἀριστοτέλους τοῦ φιλοσόφου.

Περὶ τῶν ὀκταμήνων εἰσί τινες οἳ φασιν οὐθὲν ζῆν. τοῦτο δέ ἐστι ψεῦδος· ζῇ γάρ, καὶ τοῦτο μάλιστα μὲν ἐν Αἰγύπτῳ δῆλον διὰ τὸ τρέφειν τε πάντα τὰ γινόμενα τοὺς Αἰγυπτίους, καὶ ἔτι τὰς γυναῖκας ἐκφόρους εἶναι καὶ τῶν παίδων τὴν τροφὴν μὴ εἶναι ἐπίκαιρον, εἴτε διὰ τὴν κουφότητα τοῦ ὕδατος· ὥσπερ γὰρ ἀφηψημένον τὸ τοῦ Νείλου ὕδωρ ἐστίν· εἴτε καὶ δι' ἄλλας αἰτίας. οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι τηροῦσιν ἔστιν ἰδεῖν οὕτως ἔχειν, ὥστε τὸ μὲν ἅπαντα τὰ ὀκτάμηνα μὴ ζῆν οὐκ ἀληθές ἐστιν, ὅτι μέντοι ὀλίγα καὶ ἧττον τῶν ἑπταμήνων τε καὶ τῶν ἐκ τοῦ πλείονος ἀριθμοῦ γενομένων ἀληθές· καὶ γὰρ ἐνδεκάμηνον δοκεῖ γεννᾶσθαι καὶ δεκάμηνον.

259.

Oribas. coll. 22, 7: περὶ συλλήψεως καὶ ἐπικυήσεως.

Αἱ δὲ συλλήψεις γίνονται μὲν οὐ πολὺ μετὰ τὰς καθάρσεις, ὀλιγάκις δὲ καὶ πρὸ τῆς καθάρσεως αὐταῖς τοσοῦτον ἐχούσαις τὸ περίσσευμα, ὅσον ἐστὶ ταῖς ἄλλαις πρὸς τῷ λήγειν ἤδη γενομένης τῆς καθάρσεως. οὔτε δὲ μὴ γινομένων ὅλως τῶν καταμηνίων οὔτε πεπαυμένων πρὸ πολλοῦ δυνατὸν γίνεσθαι σύλληψιν, οὐδὲ μὴν ἀκμαζούσης τῆς καθάρσεως. ἔμπροσθεν μὲν γὰρ τῶν καθάρσεων τετυλωμένης τῆς μήτρας οὐχ οἷόν τε προσφυῆσαι τὸ σπέρμα· οὐδὲ μὴν ἀκμαζουσῶν· ἐκκλύζεται γὰρ ὑπὸ αὐτῶν ὁ γόνος· οὐδὲ πάλιν κατὰ πᾶν πεπαυμένων καὶ τῆς μήτρας ἀνεζηραμμένης ἤδη καὶ κατεψυγμένης. ληγούσης δὲ τῆς καθάρσεως καὶ τῆς μήτρας ἀκμὴν ἐναίμου τε οὔσης καὶ διαθέρμου, καὶ διὰ ταῦτα ὀργώσης πρὸς τὴν παραδοχὴν τοῦ σπέρματος, καιρὸς εὐφυὴς πρὸς σύλληψιν.

260.

Pergit Oribasius: Γίνεται δέ τισιν ἐπισύλληψις καὶ ἐπικύησις, αἷς ἐστὶν ἕλκωσίς τε περὶ τὴν μήτραν καὶ τροφὴ ἱκανή. τισὶ μὲν οὖν ἀπὸ τῆς πρώτης συλλήψεως

b 10 *flagrantiae solis* cod. Borbon. (Scotti). ‖ 26 γινομένης cod.

ἔτι μενούσης ἐπί τινας χρόνους τῆς ἑλκώσεως ὕστερον ἐπισυλλαμβάνουσι, τισὶ δὲ καὶ μετὰ ταῦτα, καταμηνίων ἐπιφανέντων, κατὰ ἄλλα μέρη τῆς ὑστέρας. διὸ καί τινες μετὰ ὀλίγον, τινὲς δὲ μετὰ πλείονα χρόνον τῷ πρώτῳ ἕτερον ἐπιτίκτουσιν.

τῶν δὲ ἐπικυουμένων τὸ μέν ἐστιν ἀτελῆ καὶ ἀδιάρθρωτα καὶ σαρκοειδῆ, τὰ δὲ διηρθρωμένα μὲν ἀσθενῆ δέ· τινὰ δὲ αὐτῶν ἰσχυρότερα γίνεται τῶν ἔμπροσθεν.

261.

Plinius n. h. 11, 273: *miror equidem Aristotelem non modo credidisse praescita vitae esse aliqua in corporibus ipsis, verum etiam prodidisse. quae quamquam vana existimo nec sine cunctatione proferenda, ne in se quisque ea auguria anxie quaerat, attingam tamen quae tantus vir in doctrina non sprevit. igitur vitae brevis signa ponit raros dentes, praelongos digitos, plumbeum colorem pluresque in manu incisuras nec perpetuas. contra longae esse vitae incurvos umeris et in manu unam aut duas incisuras longas habentes et plures quam XXXII dentes, auribus amplis. nec universa haec, ut arbitror, sed singula observat, frivola ut reor et vulgo tamen narrata.*

262.

Plin. n. h. 2, 220: *addit . . . Aristoteles nullum animal nisi aestu recedente expirare. observatum id multum in Gallico oceano et dumtaxat in homine compertum.*

263.

Apollonius mirab. 27: Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς· δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ ζώων ἡ δὲ περὶ τῶν ζωικῶν· „οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις μελλόντων τελευτᾶν τῶν πασχόντων, ἀλλ' ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται προλελοιπότες τὴν κεφαλήν".

264.

Apollon. mir. 28: Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς „ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται".

(Περὶ τετραπόδων).

265.

Solini (interpolator ad) 27, 13 (p. 235, 29 Mommsen): *verum ut ad Africam redeam, interna eius plurimae quidem bestiae sed principaliter leones tenent: qui, ut Aristoteles perhibet, soli ex eo genere quod dentatum vocant vident protinus atque nascuntur.*

Plutarch. qu. conv. 4, 5, 2: τὸν λέοντα τῷ ἡλίῳ συνοικειοῦσιν (Αἰγύπτιοι) ὅτι τῶν γαμψωνύχων τετραπόδων βλέποντα τίκτει μόνος.

Aelian. n. a. 5, 39: λέγει Δημόκριτος τῶν ζώων μόνον τὸν λέοντα ἐκπεπταμένοις τίκτεσθαι τοῖς ὀφθαλμοῖς.

266.

Aelian. de nat. an. 9, 6: κατὰ τὴν νουμηνίαν δὲ τὰ ζῶα, ὡς πυνθάνομαι, ἢ φθέγγεταί τι τῇ συντρόφῳ φωνῇ ἢ πίπτει, λέων δὲ ἄρα μόνος, ὡς Ἀριστοτέλης φησίν, οὐδέτερον αὐτοῖν δρᾷ.

(Περὶ ὀρνίθων).

267.

Cicero de nat. deor. 2, 49 (Baiter): *illud vero ab Aristotele animadversum, a quo pleraque, quis potest non mirari, grues cum loca calidiora petentes maria transmittant, trianguli efficere formam. eius autem summo angulo aer ab iis adversus pellitur, deinde sensim ab utroque latere tamquam remis ita pinnis cursus avium levatur. basis autem trianguli quem efficiunt grues, ea tamquam a puppi ventis adiuvatur, eaeque in tergo praevolantium colla et capita reponunt. quod quia ipse dux facere non potest, quia non habet ubi nitatur, revolat ut ipse quoque quiescat. in eius locum succedit ex iis quae adquierunt, eaque vicissitudo in omni cursu conservatur.*

268.

Athen. IX, 393[d]: φησὶν ὁ Ἀριστοτέλης „ὁ κύκνος εὔτεκνός ἐστι καὶ μάχιμος. ἀλληλοκτονεῖ γοῦν ὁ μάχιμος. μάχεται δέ καὶ τῷ ἀετῷ αὐτὸς μάχης μὴ προαρξάμενος. εἰσὶ δ' ᾠδικοί, καὶ μάλιστα περὶ τὰς τελευτάς. διαίρουσι δέ καὶ τὸ πέλαγος ᾄδοντες. ἔστι δὲ τῶν στεγανοπόδων καὶ ποιηφάγων".

269.

Athen. IX, 392[b]: Ἀριστοτέλης δέ φησιν „ὁ ὄρτυξ ἐστὶ μὲν τῶν ἐκτοπιζόντων καὶ σχιδανοπόδων· νεοττιὰν δ' οὐ ποιεῖ ἀλλὰ κονίστραν, καὶ ταύτην σκεπάζει φρυγάνοις διὰ τοὺς ἱέρακας, ἐν ᾗ ἐπωάζει".

270.

Athen. IX, 389[a]: φησὶ δ' Ἀριστοτέλης περὶ τοῦ ζώου τάδε „ὁ πέρδιξ ἐστὶ μὲν χερσαῖος, σχιδανόπους.

[b]13 corr. τίκτει? ‖ 30 *succedit* codd.: *una succedit* Schoemann.

ζῇ δὲ ἔτη πεντεκαίδεκα, ἡ δὲ θήλεια καὶ πλείονα· πολυχρονιώτερα γὰρ ἐν τοῖς ὄρνισι τῶν ἀρρένων τὰ θήλεα. ἐπωάζει δὲ καὶ ἐκτρέφει, καθάπερ ἡ ἀλεκτορίς. ὅταν δὲ γνῷ ὅτι θηρεύεται, προελθὼν τῆς νεοττιᾶς κυλινδεῖται παρὰ τὰ σκέλη τοῦ θηρεύοντος ἐλπίδα ἐμποιῶν τοῦ συλληφθήσεσθαι ἐξαπατᾶ τε ἕως ἂν ἀποπτῶσιν οἱ νεοττοί, εἶτα καὶ αὐτὸς ἐξίπταται. ἔστι δὲ τὸ ζῶον κακόηθες καὶ πανοῦργον, ἔτι δὲ ἀφροδισιαστικόν· διὸ καὶ τὰ ὠὰ τῆς θηλείας συντρίβει ἵνα ἀπολαύῃ τῶν ἀφροδισίων. ὅθεν ἡ θήλεια γιγνώσκουσα ἀποδιδράσκουσα τίκτει".

271.

Athen. IX, 393f: Ἀριστοτέλης φησὶ περιστερῶν μὲν εἶναι ἓν γένος, εἴδη δὲ πέντε, γράφων οὕτως „περιστερά, οἰνάς, φάψ, φάσσα, τρυγών". ....„ἡ μὲν οὖν οἰνάς, φησὶν ὁ Ἀριστοτέλης, μείζων ἐστὶ τῆς περιστερᾶς, χρῶμα δ' ἔχει οἰνωπόν, ἡ δὲ φὰψ μέσον περιστερᾶς καὶ οἰνάδος, ἡ δὲ φάσσα ἀλέκτορος τὸ μέγεθος, χρῶμα δὲ σποδιόν, ἡ δὲ τρυγὼν πάντων ἐλάττων, χρῶμα δὲ τεφρόν. αὕτη δὲ θέρους φαίνεται, τὸν δὲ χειμῶνα φωλεύει. ἡ δέ φὰψ καὶ ἡ περιστερὰ ἀεὶ φαίνονται, ἡ δ' οἰνὰς φθινοπώρῳ μόνῳ. πολυχρονιωτέρα δὲ εἶναι λέγεται τούτων ἡ φάσσα· καὶ γὰρ τριάκοντα καὶ τεσσαράκοντα ζῇ ἔτη. οὐκ ἀπολείπουσι δ' ἕως θανάτου οὔτε οἱ ἄρρενες τὰς θηλείας οὔτε αἱ θήλειαι τοὺς ἄρρενας, ἀλλὰ καὶ τελευτήσαντος χηρεύει ὁ ὑπολειπόμενος. τὸ δ' αὐτὸ ποιοῦσι καὶ κόρακες καὶ κορῶναι καὶ κολοιοί. ἐπωάζει δ' ἐκ διαδοχῆς πᾶν τὸ περιστεροειδὲς γένος, καὶ γενομένων τῶν νεοττῶν ὁ ἄρρην ἐμπτύει αὐτοῖς ὡς μὴ βασκανθῶσι. τίκτει δὲ ὠὰ δύο, ὧν τὸ μὲν πρῶτον ἄρρεν ποιεῖ, τὸ δὲ δεύτερον θῆλυ. τίκτουσι δὲ πᾶσαν ὥραν τοῦ ἔτους· διὸ δὴ καὶ δεκάκις τοῦ ἐνιαυτοῦ τιθέασιν, ἐν Αἰγύπτῳ δὲ δωδεκάκις· τεκοῦσα γὰρ τῇ ἐχομένῃ ἡμέρᾳ συλλαμβάνει".

272.

Athen. IX, 388c: πορφυρίων ... Ἀριστοτέλης δὲ σχιδανόποδά φησιν αὐτὸν εἶναι ἔχειν τε χρῶμα κυάνεον, σκέλη μακρά, ῥύγχος ἠργμένον ἐκ τῆς κεφαλῆς φοινικοῦν, μέγεθος ἀλεκτρυόνος. στόμαχον δ' ἔχει λεπτόν, διὸ τῶν λαμβανομένων εἰς τὸν πόδα ταμιεύεται μικρὰς τὰς ψωμίδας. κάπτων δὲ πίνει, πενταδάκτυλός τε ὢν τὸν μέσον ἔχει μέγιστον.

273.

Athen. IX, 391f: καὶ γὰρ ὀχευτικὸν τὸ ζῶον καὶ πολύγονον. τίκτει γοῦν ὁ στρουθός, ὥς φησιν Ἀριστοτέλης, καὶ μέχρι ὀκτώ. ... Ἀριστοτέλης δέ φησι τοὺς ἄρρενας τῷ χειμῶνι ἀφανίζεσθαι, διαμένειν δὲ τὰς θηλείας, τεκμαιρόμενος ἐκ τῆς χρόας τὴν πιθανότητα· ἀλλάττεσθαι γὰρ ὡς τῶν κοσσύφων καὶ φαλαρίδων ἀπολευκαινομένων κατὰ καιρούς.

274.

Athen. IX, 397b: ὁ ταώς, φησὶν ὁ Ἀριστοτέλης, σχιδανόπους ἐστὶ καὶ ποιολόγος, καὶ τίκτει τριετὴς γενόμενος, ἐν οἷς καὶ τὴν ποικιλίαν τῶν πτερῶν λαμβάνει. ἐπωάζει δὲ πρὸς ἡμέρας τριάκοντα. τίκτει δὲ ἅπαξ τοῦ ἔτους ὠὰ δώδεκα, ταῦτα δὲ οὐκ εἰς ἅπαξ ἀλλὰ παρ' ἡμέρας δύο· αἱ δὲ πρωτοτόκοι ὀκτώ. τίκτει δὲ καὶ ὑπηνέμια ὠὰ ὡς ἡ ἀλεκτορίς, οὐ πλείω δὲ τῶν δύο. ἐκλέπει δὲ καὶ ἐπωάζει καθάπερ ἡ ἀλεκτορίς.

275.

Athen. IX, 390e: γράφει δέ περὶ αὐτῶν (τῶν ὤτων, immo ὠτίδων) Ἀριστοτέλης οὕτως ὅτι „ἔστι μὲν τῶν ἐκτοπιζόντων καὶ σχιδανοπόδων καὶ τριδακτύλων, μέγεθος ἀλεκτρυόνος μεγάλου. χρῶμα ὀρτυγος, κεφαλὴ προμήκης, ῥύγχος ὀξύ, τράχηλος λεπτός, ὀφθαλμοὶ μεγάλοι, γλῶσσα ὀστώδης, πρόλοβον δ' οὐκ ἔχει" ... φασὶ δ' αὐτὸν καὶ τὴν τροφὴν ἀναμηρυκᾶσθαι ἥδεσθαί τε ἵππῳ. εἰ γοῦν τις δορὰν ἵππων περιθοῖτο, θηρεύσει ὅσους ἂν θέλῃ· προσίασι γάρ.

Plutarch. de solert. an. c. 31: ὁ γὰρ Ἀριστοτέλης ἱστορεῖ φιλίας ἀλωπέκων καὶ ὄφεων διὰ τὸ κοινὸν αὐτοῖς πολέμιον εἶναι τὸν ἀετόν, καὶ τὰς ὠτίδων πρὸς ἵππους ὅτι χαίρουσι προσπελάζουσαι καὶ διασκάλλουσαι τὸν ὄνθον.

276.

Athen. IX, 390f: ἐν ἄλλοις δέ πάλιν φησὶν ὁ Ἀριστοτέλης „ὁ ὦτος ἐστὶ μὲν παρόμοιος τῇ γλαυκί, οὐκ ἔστι δὲ νυκτερινός. ἔχει τε περὶ τὰ ὦτα πτερύγια, διὸ καὶ ὦτος καλεῖται, μέγεθος πεοιστερᾶς, μιμητὴς ἀνθρώπων· ἀντορχούμενος γοῦν ἁλίσκεται".

Περὶ ἰχθύων
(Περὶ τῶν ἐνύδρων).

277.

Athen. VII, 330a: Ἀριστοτέλης ... ἐν δὲ τῷ περὶ ζωικῶν „σελάχη φησὶ βοῦς, τρυγών, νάρκη, βατίς, βάτραχος ... βούγλωττος, ψῆττα ... μῦς".

Athen. VII, 286b: τῆς μὲν οὖν βατίδος καὶ τοῦ βατράχου μνημονεύει Ἀριστοτέλης ἐν τοῖς περὶ ζωικῶν καταριθμῶν αὐτὰ ἐν τοῖς σελάχεσιν.

278.

Athen. VII, 305d: Ἀριστοτέλης ἐν τῷ περὶ ζωι-

b7 χρόνοις add. codd. et edd. post ἐν οἷς. || 41 sine lac. codd. || βούγλωττα cod. Marc. || 43 et 46 ζώων codd. (cum Marc.).

κῶν φησί „τὰ δὲ ἀνόδοντα καὶ λεῖα ὡς ῥαφίς. καὶ τὰ μὲν λιθοκέφαλα ὡς χρέμυς, τὰ δὲ σκληρόδερμα ὡς κάπρος. καὶ τὰ μὲν δίραβδα ὥσπερ σεσερῖνος, τὰ δὲ πολύραβδα καὶ ἐρυθρόγραμμα ὡς σάλπη".

VII, 319[d]: Ἀριστοτέλης ... ἐν δὲ τῷ περὶ ζωικῶν ἢ ἰχθύων ῥαφίδα αὐτὴν ὀνομάσας ἀνόδουν φησὶν εἶναι.

279.

Athen. VII, 319[c]: Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν „ἀκανθοστεφῆ φησὶν εἶναι καὶ ποικιλόχροα φυκίδα ... τῶν δὲ γραμμοποικίλων πλαγίαις τε ταῖς ῥάβδοις κεχρημένων πέρκη ...

280.

Athen. VII, 327[f]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζωικῶν ποικιλερυθρομέλαιναν αὐτὴν ὀνομάζει καὶ ποικιλόγραμμον, διὰ τὸ μελαίναις γραμμαῖς πεποικίλθαι.

281.

Athen. VII, 286[f]: Ἀριστοτέλης ἐν τῷ ἐπιγραφομένῳ ζωικῷ ἢ περὶ ἰχθύων „νωτόγραπτα, φησὶ, λέγεται βῶξ ..., σκολιόγραπτα δὲ κολίας ...

282.

Athen. VII, 313[d]: Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζωικῶν γράφει οὕτως „ὀρροπυγόστικτοι δὲ τῶν ἰχθύων μελάνουρος καὶ σαργὸς πολύγραμμοί τε καὶ μελανόγραμμοι".

283.

Athen. VII, 305[c]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζωικῶν „καὶ τὰ μὲν μελανόστικτα ὥσπερ κόσσυφος, τὰ δὲ ποικιλόστικτα ὥσπερ κίχλη".

284.

Athen. VIII, 331[d]: ... καίτοι μόνους εἰρηκότος Ἀριστοτέλους φθέγγεσθαι σκάρον καὶ τὸν ποτάμιον χοῖρον.

Oppianus hal. 1, 134:

καὶ σκάρον, ὃς δὴ μοῦνος ἐν ἰχθύσι πᾶσιν ἀναύδοις
φθέγγεται ἰκμαλέην λαλαγὴν καὶ μοῦνος ἐδητύν
ἄψορρον προίησιν ἀνὰ στόμα, δεύτερον αὖθις
δαινύμενος, μήλοισιν ἀναπτύσσων ἴσα φορβήν.

285.

Athen. VII, 328[d]: θρισσῶν δὲ μέμνηται Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν ἢ ἰχθύων ἐν τούτοις „μόνιμα ... θρίσσα, ἐγκρασίχολος, μεμβράς, κορακῖνος, ἐρυθρῖνος, τριχίς". ib. p. 328[f]: ὁμοίως δὲ τριχίαν καὶ Ἀρ. ἐν πέμπτῳ ζώων μορίων, ἐν δὲ τῷ ἐπιγραφομένῳ περὶ ζωικῶν τριχίδα.

286.

Athen. VII, 303[d]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ ἰχθύων ἀγελαῖον καὶ ἐκτοπιστικὸν εἶναι τὴν θυννίδα.

287.

Athen. III, 88[b]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζωικῶν „ὄστρεα, φησί, πίννη, ὄστρεον, μῦς, κτείς, σωλήν, κόγχη, λεπάς, τῆθος, βάλανος ... πορευτικὰ δὲ κῆρυξ, πορφύρα, ἠδυπορφύρα, ἐχῖνος, στράβηλος. ἔστι δ' ὁ μὲν κτεὶς τραχυόστρακος ῥαβδωτός, τὸ δὲ τῆθος ἀρράβδωτον λειόστρακον, ἡ δὲ πίννη λεπτόστομον, τὸ δὲ ὄστρεον παχύστομον δίθυρον δὲ καὶ λειόστρακον, λεπὰς δὲ μονόθυρον καὶ λειόστρακον, συμφυὲς δὲ μῦς, μονοφυὲς δὲ καὶ λειόστρακον σωλὴν καὶ βάλανος, κοινὸν δ' ἐξ ἀμφοῖν κόγχη".

288.

Athen. VII, 318[e]: ἐν δὲ τῷ περὶ ζωικῶν Ἀριστοτέλης μαλάκιά φησιν εἶναι πολύποδας, ὀσμύλην, ἑλεδώνην, σηπίαν, τευθίδα.

289.

Athen. VII, 318[b]: ἐν δὲ τῷ περὶ ζωικῶν ἢ ἰχθύων (Ἀρ.) „πολύπους, φησί, τὶς ὁ μὲν τρεψίχρως ὁ δὲ ναυτίλος".

290.

Athen. VII, 281[f]: Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζωικῶν μονάκανθον εἶναι καὶ κιρρὸν τὸν ἀλφηστικόν.

291.

Athen. VII, 277[e]: ταύτας (τὰς ἁμίας) Ἀριστοτέλης ἱστορεῖ τὰ μὲν βράγχια ἔχειν καλυπτά, εἶναι δὲ καρχαρόδοντας καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων, χολήν τε ἔχειν ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα ὁμοίως. λέγεται δὲ ὡς θηρευθεῖσαι προσανάλλονται καὶ ἀποτρώγουσαι τὴν ὁρμιὰν ἐκφεύγουσιν. ... Ἀριστοτέλης δὲ παρετυμολογῶν αὐτῆς τοὔνομά φησιν ὠνομάσθαι παρὰ τὸ ἅμα ἰέναι ταῖς παραπλησίαις· ἔστι γὰρ συναγελαστική.

292.

Athen. VII, 284[f]: τῆς δ' ἀφύης ἐστὶ γένη πλείω. καὶ ἡ μὲν ἀφρῖτις λεγομένη οὐ γίνεται ἀπὸ γόνου, ὡς

1 φησὶ τάδε. ἀνόδ. κ. λ. cod. Marc. ‖ 2 κρέμυς codd. ‖ σκληρόδερμα: codd. (cum Marc.) et edd. σκληρότατα τραχύδερμα. ‖ 5 ἐν δὲ τῶι περὶ ζωικῶν ἰχθύων cod. Marc. (om. ἢ). ‖ 7 φ. αὐτὴν εἶναι codd. ‖ 11 sine lac. codd. ‖ 15 ποικιλέρυθρον μέλαιναν male cod. Marc. et edd., corr. Meineke. ‖ 19 νοτόγρ. cod. M. ‖ 20 sine lac. codd. ‖ 24 σάργος cod. M. ‖ 41 περὶ ζώων καὶ ἰχθύων codd. (cum Marc.) ‖ 42 sine lac. codd.

[b]1 corr. ἐρίτιμος? ‖ 3 περὶ addidi: ἐν δὲ τῶι ἐπιγραφομένωι ζωικῶν Marc. (ζωικῷ vulgo). ‖ 9 codd. ζώων. ‖ 10 sine lac. codd. ‖ 23 ἢ: καὶ codd. (cum Marc.). ‖ 24 τριψίχρως cod. M. ‖ 29 ζώων (ζώιων Marc.) codd.

φησιν Ἀριστοτέλης, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ. ἑτέρα δ' ἐστὶν ἀφύη ἡ κωβῖτις λεγομένη. γίνεται δ' αὕτη ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ διαγενομένων κωβιδίων. καὶ ἐξ αὐτῆς δὲ ταύτης τῆς ἀφύης ἀπογεννῶνται ἕτεραι, αἵτινες ἐγκρασίχολοι καλοῦνται. γίνεται καὶ ἄλλη ἀφύη ὁ γόνος τῶν μαινίδων, καὶ ἄλλη ἐκ τῆς μεμβράδος, καὶ ἔτι ἄλλη ἐκ τῶν μικρῶν κεστρέων τῶν ἐκ τῆς ἄμμου καὶ τῆς ἰλύος γινομένων. πάντων δὲ τούτων ἡ ἀφρῖτις ἀρίστη.

Athen. VII, 300f: ἐγκρασίχολοι. καὶ τούτων μέμνηται Ἀριστοτέλης ὡς μικρῶν ἰχθυδίων ἐν τῷ περὶ ζωικῶν.

293.

Athen. VII, 294d: Ἀριστοτέλης δὲ εἴδη αὐτῶν φησὶν εἶναι πλείω, ἀκανθίαν λεῖον ποικίλον σκύμνον ἀλωπεκίαν ῥίνην ... ὁ δ' Ἀριστοτέλης ἐν πέμπτῳ ζώων μορίων καὶ κεντρίνην φησί τινα γαλεὸν εἶναι καὶ νωτιδανόν ... ἰδίως δὲ ὁ ἀκανθίας τὴν καρδίαν ἔχει πεντάγωνον. τίκτει δ' ὁ γαλεὸς τὰ πλεῖστα τρία καὶ εἰσδέχεται τὰ γεννηθέντα εἰς τὸ στόμα καὶ πάλιν ἀφίησι, μάλιστα δ' ὁ ποικίλος καὶ ὁ ἀλωπεκίας· οἱ δὲ λοιποὶ οὐκ ἔτι διὰ τὴν τραχύτητα.

294.

Athen. VII, 298b: Ἀριστοτέλης δὲ χαίρειν φησὶ τὰς ἐγχέλεις καθαρωτάτῳ ὕδατι. ὅθεν τοὺς ἐγχελυοτρόφους καθαρὸν αὐταῖς ἐπιχεῖν· πνίγεσθαι γὰρ ἐν τῷ θολερῷ. διὸ καὶ οἱ θηρεύοντες θολοῦσι τὸ ὕδωρ ἵν' ἀποπνίγωνται. λεπτὰ γὰρ ἔχουσαι τὰ βραγχία αὐτίκα ὑπὸ τοῦ θολοῦ τοὺς πόρους ἐπιπωματίζονται. ὅθεν κἂν τοῖς χειμῶσιν ὑπὸ τῶν πνευμάτων ταραττομένου τοῦ ὕδατος ἀποπνίγονται. ὀχεύονται δὲ συμπλεκόμεναι, κἄτ' ἀφιᾶσι γλοιῶδες ἐξ αὐτῶν, ὃ γενόμενον ἐν τῇ ἰλύι ζωογονεῖται. λέγουσι δὲ οἱ ἐγχελυοτρόφοι καὶ ὡς νυκτὸς μὲν νέμονται, ἡμέρας δ' ἐν τῇ ἰλύι ἀκινητίζουσι, ζῶσί τε τὸ ἐπὶ πολὺ ἐπὶ ὀκτὼ ἔτη.

Athen. p. 299c: Ἀριστοτέλης δ' ἐν τοῖς περὶ ζώων διὰ τοῦ ῑ ἔγχελις εἴρηκεν.

295.

Athen. VII, 300e: ἐρυθρῖνος. Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν. καὶ Σπεύσιππος παραπλήσιά φησιν εἶναι φάγρον, ἐρυθρῖνον, ἥπατον.

296.

Athen. VII, 301c: ἥπατος ... ἔστι δὲ μονήρης, ὥς φησιν Ἀριστοτέλης, σαρκοφάγος τε καὶ καρχαρόδους, τὴν χροιὰν μὲν μέλας, ὀφθαλμοὺς δὲ μείζονας ἢ καθ' αὐτὸν ἔχων, καρδίαν τρίγωνον λευκήν.

297.

Athen. VII, 282d: ἀνθίας, κάλλιχθυς ... Ἀριστοτέλης δὲ καὶ καρχαρόδοντα εἶναι (φησὶ) τὸν κάλλιχθυν σαρκοφάγον τε καὶ συναγελαζόμενον.

298.

Aelian. n. a. 13, 4: ἀκούσειας δ' ἂν ἁλιέων καὶ ἰχθύων τινὰ καλλιώνυμον οὕτω λεγόντων. καὶ ὑπὲρ αὐτοῦ Ἀριστοτέλης λέγει ὅτι ἄρα ἐπὶ τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει χολὴν πολλήν, αὐτῷ δὲ τὸ ἧπαρ κατὰ τὴν λαιὰν φορεῖται πλευράν.

299.

Athen. VII, 307a: ἐν δ' ἄλλοις φησὶν ὁ Ἀριστοτέλης „ὁ κεστρεὺς καρχαρόδους ὢν οὐκ ἀλληλοφαγεῖ, ἅτε δὴ οὐδ' ὅλως σαρκοφαγῶν. ἔστι δὲ ὁ μέν τις κέφαλος, ὁ δὲ χελλών, ὁ δὲ φεραῖος. καὶ ὁ μὲν χελλὼν πρὸς τῇ γῇ νέμεται, ὁ δὲ φεραῖος οὔ. καὶ τροφῇ χρῆται ὁ μὲν φεραῖος τῇ ἀφ' αὐτοῦ γενομένῃ μύζῃ, ὁ δὲ χελλὼν ἄμμῳ καὶ ἰλύι. λέγεται δὲ καὶ ὅτι τὸν γόνον τῶν κεστρέων οὐδὲν τῶν θηρίων κατεσθίει, ἐπεὶ οἱ κεστρεῖς οὐδένα τῶν ἰχθύων".

300.

Athen. VII, 305: κίθαρος. Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν ἢ περὶ ἰχθύων „ὁ κίθαρος, φησί, καρχαρόδους, μονήρης, φυκοφάγος, τὴν γλῶτταν ἀπολελυμένος, καρδίαν λευκὴν ἔχων καὶ πλατεῖαν".

301.

Athen. VII, 306b: κορδύλος. τοῦτον Ἀριστοτέλης φησὶν ἀμφίβιον εἶναι καὶ τελευτᾶν ὑπὸ τοῦ ἡλίου αὐανθέντα.

Apuleius de mag. 38: *de solis aquatilibus dicam nec cetera animalia nisi in communibus differentiis attingam. ausculta igitur quae dicam. iam me clamabis magica nomina Aegyptio vel Babylonico ritu percensere* σελάχια, μαλάκια, μαλακόστρακα, χονδράκανθα, ὀστρακόδερμα, καρχαρόδοντα, ἀμφίβια, λεπιδωτά, φολιδωτά, δερμόπτερα, στεγανόποδα, μονήρη, συναγελαστικά.

302.

Athen. VII, 309a: κυπρῖνος. τῶν σαρκοφάγων καὶ οὗτος, ὡς Ἀριστοτέλης ἱστορεῖ, καὶ συναγελαστικῶν. τὴν δὲ γλῶτταν οὐχ ὑπὸ τῷ στόματι, ἀλλ' ὑπὸ τὸ στόμα κέκτηται.

4 κωβιῶν Suid. ‖ 17 immo ἐν τῷ περὶ ζωικῶν. ‖ 32 γλοιῶδες cod. Marc. ‖ 36 περὶ ζώων cod. Marc. f. 112b, non ἐν τ. π. ζ. μορίων, ut vulgo. ‖ 40 ζώων cum Marc. codd. (ζώων καὶ Σπ. sine interp. vulgo).

b2 λευκὴν: ἧπαρ λευκόν Rondelet. ‖ 11 καθειμένην codd., corr. Gesn. ‖ τὸ δὲ ἧπαρ αὐτῷ Hercher. ‖ 25 ζώων cum Marc. codd. ‖ 39 στεγανόποδα ego (A. P. p. 309): vulgo cum Gronovio πεζά, νέποδα. ‖ 44 ita corrupte cod. Marc. cum rel.

303.

Athen. VII, 310e: λάβρακες. οὗτοι, ὡς Ἀριστοτέλης ἱστορεῖ, μονήρεις εἰσὶ καὶ σαρκοφάγοι. γλῶσσαν δ' ἔχουσιν ὀστώδη καὶ προσπεφυκυῖαν, καρδίαν τρίγωνον.

304.

Athen. VII, 312c: μύραιναι ... Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζώων μορίων ἐκ μικροῦ φησὶν αὐτὴν ταχεῖαν τὴν αὔξησιν λαμβάνειν.] καὶ εἶναι καρχαρόδουν τίκτειν τε πᾶσαν ὥραν μικρὰ ὠά.

305.

Athen. VII, 314c: ἔστι δ' ἡ νάρκη, ὥς φησιν Ἀριστοτέλης, τῶν σελαχωδῶν καὶ τῶν σκυμνοτοκούντων. θηρεύει δ' εἰς τροφὴν ἑαυτῆς τὰ ἰχθύδια προσαπτομένη καὶ ναρκᾶν καὶ ἀκινητίζειν ποιοῦσα.

306.

Athen. VII, 314e: ξιφίας. τούτον Ἀριστοτέλης φησὶν ἔχειν τοῦ ῥύγχους τὸ μὲν ὑποκάτω μικρόν, τὸ δὲ καθύπερθεν ὀστῶδες μέγα, ἴσον τῷ ὅλῳ αὐτοῦ μεγέθει· τοῦτο δὲ καλεῖσθαι ξίφος. ὀδόντας δ' οὐκ ἔχειν τὸν ἰχθύν.

307.

Athen. VII, 315e: ὄνος, φησὶν Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν, ἔχει στόμα ἀνερρωγὸς ὁμοίως τοῖς γαλεοῖς, καὶ οὐ συναγελαστικός. καὶ μόνος οὗτος ἰχθύων τὴν καρδίαν ἐν τῇ κοιλίᾳ ἔχει καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους ἐμφερεῖς μύλαις. φωλεύει τε μόνος ἐν ταῖς ὑπὸ κύνα θερμοτάταις ἡμέραις, τῶν ἄλλων ταῖς χειμεριωτάταις φωλευόντων.

Aelian. n. a. 6, 30: ὁ ἰχθὺς ὁ ὄνος τὰ μὲν ἄλλα ὅσα ἐντὸς προσπέφυκεν, οὐ πάνυ τι τῶν ἑτέρων διεστῶτα κέκτηται, μονότροπος δέ ἐστι καὶ σὺν ἄλλοις βιοῦν οὐκ ἀνέχεται. ἔχει δὲ ἄρα ἰχθύων μόνος οὗτος ἐν τῇ γαστρὶ τὴν καρδίαν, καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους οἵπερ οὖν ἐοίκασι μύλαις τὸ σχῆμα. σειρίου δὲ ἐπιτολῇ φωλεύει μόνος, τῶν ἄλλων ἐν ταῖς κρυμωδεστάταις (ἡμέραις) φωλεύειν εἰθισμένων.

idem 5, 20: ὄνος ὁ θαλάττιος ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔλαχεν ἔχειν, ὡς οἱ δεινοὶ τὰ τοιαῦτα ὁμολογοῦσιν ἡμῖν καὶ διδάσκουσιν.

Clemens Alex. paedag. 2, 1, 18 p. 65 Sylb.: ... τὸν νοῦν ἐγκατορύζας τῇ κοιλίᾳ, τῷ ἰχθύι τῷ καλουμένῳ ὄνῳ τὰ μάλιστα ἐοικώς, ὃν δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν.

Apuleius de magia c. 40 (Krüger): *at enim, inquit, piscem cui rei nisi malae proscidisti quem tibi Themison servus attulit? quasi vero non paulo prius dixerim me de particulis omnium animalium de situ earum deque numero deque causa conscribere ac libros ἀνατομῶν Aristotelis et explorare studio et augere. atque adeo summe miror quod unum a me pisciculum inspectum sciatis, cum iam plurimos, ubicumque locorum oblati sunt, aeque inspexerim, praesertim quod nihil ego clanculo sed omnia in propatulo ago . . . hunc adeo pisciculum, quem vos leporem marinum nominatis, plurimis qui aderant ostendi, necdum etiam decerno quid vocem, nisi quaeram sane accuratius, quod nec apud veteres philosophos proprietatem eius piscis reperio, quamquam sit omnium rarissima et hercule memoranda. quippe solus ille quantum sciam cum sit cetera exossis, duodecim numero ossa ad similitudinem talorum suillorum in ventre eius conexa et catenata sunt. quod Aristoteles nunquam profecto omisisset scripto prodere, qui aselli piscis solius omnium in media alvo corculum situm pro maximo memoravit.*

308.

Athen. VII, 315a: ὀρφώς ... Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζώων μορίων ταχεῖαν λέγων γίνεσθαι τοῖς ἰχθύσι τὴν αὔξησιν, καὶ ὀρφώς, φησίν, ἐκ μικροῦ γίνεται μέγας ταχέως.] ἔστι δὲ καὶ σαρκοφάγος καὶ καρχαρόδους, ἔτι δὲ μονήρης. ἴδιον δ' ἐν αὐτῷ ἐστὶ τὸ τοὺς θορικοὺς πόρους μὴ εὑρίσκεσθαι καὶ τὸ δύνασθαι πολὺν χρόνον ζῆν μετὰ τὴν ἀνατομήν. ἔστι δὲ καὶ τῶν φωλευόντων ἐν ταῖς χειμεριωτάταις ἡμέραις· χαίρει τε πρόσγειος μᾶλλον ὢν ἢ πελάγιος. ζῇ δ' οὐ πλέον δύο ἐτῶν.

Aelianus n. a. 5, 18: ὁ ὀρφὼς θαλάττιον ζῶόν ἐστι, καὶ εἰ ἕλοις καὶ ἀνατέμοις, οὐκ ἂν ἴδοις τεθνεῶτα παραχοῆμα αὐτόν, ἀλλὰ ἐπιλαμβάνει τῆς κινήσεως καὶ οὐκ ἐπ' ὀλίγον. διὰ χειμῶνος δὲ ἐν τοῖς φωλεοῖς οἰκουρῶν χαίρει· διατριβαὶ δὲ ἄρα αἱ πρὸς τῇ γῇ μᾶλλον φίλαι αὐτῷ.

Oppianus hal. 1, 142: καὶ ὀψιμόρων γένος ὀρφῶν, οἳ πάντων περίαλλα κατὰ χθόνα δηθύνουσι ζωοί, καὶ τμηθέντες ἔτι σπαίρουσι σιδήρῳ.

309.

Athen. VII, 321e: σάλπη ... Ἀριστοτέλης

8 ἐν δευτέρωι ζώιων μορίων cod. Marc. (de titulo vide A. P. p. 310). ‖ 20 μεγέθει Meineke: μέρει codd. cum M. ‖ 27 τε cod. Marc.: δὲ vulgo.

b20 *nunquam* ego: *si unquam* codd. Flor. (*si scisset, nunquam* vulgo).

δ' ἐν πέμπτῳ ζώων μορίων ἅπαξ τίκτειν φησὶν αὐτὴν τοῦ μετοπώρου.] ἔστι δὲ πολύγραμμος καὶ ἐρυθρόγραμμος, ἔτι δὲ καρχαρόδους καὶ μονήρης. λέγεσθαι δὲ καὶ ὑπὸ τῶν ἁλιέων φησὶν ὡς καὶ κολοκύντῃ θηρεύεται χαίρουσα τῷ βρώματι.

310.

Athen. VII, 329ᵃ: Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζώων ἱστορίας] σαρδίνους αὐτὰς (τὰς ἐριτίμους) καλεῖ.

311.

Athen. VII, 319ᵉ: σκάρος. τοῦτον Ἀριστοτέλης φησὶ καρχαρόδοντα εἶναι καὶ μονήρη καὶ σαρκοφάγον, ἔχειν τε στόμα μικρὸν καὶ γλῶτταν οὐ λίαν προσπεφυκυῖαν, καρδίαν τρίγωνον, ἧπαρ λευκὸν τρίλοβον, ἔχειν τε χολὴν καὶ σπλῆνα μέλανα, τῶν δὲ βραγχίων τὸ μὲν διπλοῦν τὸ δὲ ἁπλοῦν. μόνος δὲ καὶ τῶν ἄλλων ἰχθύων μηρυκάζει. χαίρει δὲ τῇ τῶν φυκίων τροφῇ· διὸ καὶ τούτοις θηρεύεται. ἀκμάζει δὲ θέρους.

312.

Athen. VII, 320ᵉ: ὅτι δὲ καὶ πληκτικός ἐστιν (ὁ σκορπίος) Ἀριστοτέλης ἱστορεῖ ἐν τῷ περὶ ἰχθύων ἢ ζωικῶν. μονήρης δ' ἐστὶ καὶ φυκοφάγος.

313.

Athen. VII, 324ᶜ: τὴν δὲ τρίγλην φησὶν Ἀριστοτέλης τρὶς τίκτειν τοῦ ἔτους ἐν πέμπτῳ μορίων, τεκμαίρεσθαι λέγων τοὺς ἁλιεῖς τοῦτο ἐκ τοῦ γόνου τρὶς φαινομένου περί τινας τόπους. μήποτ' οὖν ἐντεῦθέν ἐστι καὶ τὸ τῆς ὀνομασίας, ὡς ἀμίαι ὅτι οὐ κατὰ μίαν φέρονται ἀλλ' ἀγεληδόν, σκάρος δὲ ἀπὸ τοῦ σκαίρειν καὶ καρίς, ἀφύαι δ' ὡς ἂν ἀφυεῖς οὖσαι τουτέστι δυσφυεῖς, θύω θύννος ὁ ὁρμητικὸς διὰ τὸ κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ὑπὸ τοῦ ἐπὶ τῆς κεφαλῆς οἴστρου ἐξελαύνεσθαι.] ἔστι δὲ καρχαρόδους συναγελαστικὴ παντόστικτος, ἔτι δὲ σαρκοφάγος. τὸ δὲ τρίτον τεκοῦσα ἄγονός ἐστι· γίνεται γάρ τινα σκωλήκια αὐτῇ ἐν τῇ ὑστέρᾳ, ἃ τὸν γόνον τὸν γινόμενον κατεσθίει.

314.

Athen. VII, 327ᶜ: φάγρος ... Ἀριστοτέλης δὲ σαρκοφάγον φησὶν αὐτὸν εἶναι καὶ μονήρη καρδίαν τε ἔχειν τρίγωνον ἀκμάζειν τε ἔαρος.

(Περὶ μαλακίων).

315.

Athen. VII, 316ᶜ: ἱστορεῖ δ' Ἀριστοτέλης τὸν πολύποδα ἔχειν πόδας ὀκτώ, ὧν τοὺς μὲν ἄνω δύο καὶ κάτω ἐλαχίστους, τοὺς δ' ἐν μέσῳ μεγίστους· ἔχειν δὲ καὶ κοτυληδόνας δύο, αἷς τὴν τροφὴν προσάγεσθαι· τοὺς δ' ὀφθαλμοὺς ἐπάνω τῶν δύο ὀδόντων· τὸ δὲ στόμα καὶ τοὺς ὀδόντας ἐν μέσοις τοῖς ποσίν. ἀναπτυχθεὶς δὲ ἐγκέφαλον ἔχει διμερῆ. ἔχει δὲ καὶ τὸν λεγόμενον θολόν, οὐ μέλανα καθάπερ σηπία, ἀλλ' ὑπέρυθρον, ἐν τῷ λεγομένῳ μήκωνι· ὁ δὲ μήκων κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις· σπλάγχνον δ' οὐκ ἔχει ἀναλογοῦν. τροφῇ δὲ χρῆται ἔστιν ὅτε καὶ τοῖς τῶν κογχυλίων σαρκιδίοις, τὰ ὄστρακα ἐκτὸς τῶν θαλαμῶν ῥίπτων· ὅθεν διαγινώσκουσιν οἱ θηρεύοντες. ὀχεύει δὲ συμπλεκόμενος καὶ πολὺν χρόνον πλησιάζει διὰ τὸ ἄναιμος εἶναι. τίκτει δὲ διὰ τοῦ λεγομένου φυσητῆρος, ὅς ἐστι πόρος τῷ σώματι, καὶ τίκτει ὠὰ βοτρυδόν.

316.

Athen. VII, 317ᶠ: ὁ δὲ ναυτίλος καλούμενος, φησὶν Ἀριστοτέλης, πολύπους μὲν οὐκ ἔστιν, ἐμφερὴς δὲ κατὰ τὰς πλεκτάνας. ἔχει δὲ τὸ νῶτον ὀστρακόδερμον. ἀναδύνει δὲ ἐκ τοῦ βυθοῦ ἐφ' ἑαυτὸν ἔχων τὸ ὄστρακον, ἵνα μὴ τὴν θάλατταν ἕλκῃ· ἐπαναστραφεὶς δ' ἐπιπλεῖ ἄνω ποιήσας δύο τῶν πλεκτανῶν, αἳ μεταξὺ αὐτῶν λεπτὸν ὑμένα ἔχουσι διαπεφυκότα, ὡς καὶ τῶν ὀρνίθων οἱ πόδες ὁρῶνται μεταξὺ τῶν δακτύλων δερμάτινον ὑμένα ἔχοντες· ἄλλας δὲ δύο πλεκτάνας καθίησιν εἰς τὴν θάλασσαν ἀντὶ πηδαλίων. ὅταν δέ τι προσιὸν ἴδῃ, δείσας συστέλλει τοὺς πόδας καὶ πληρώσας αὐτὸν τῆς θαλάσσης κατὰ βυθοῦ ὡς τάχος χωρεῖ.

317.

Athen. VII, 323ᶜ: τὴν σηπίαν δὲ Ἀριστοτέλης φησὶ πόδας ἔχειν ὀκτώ, ὧν τοὺς ὑποκάτω δύο μεγίστους, προβοσκίδας δύο, καὶ μεταξὺ αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ στόμα. ἔχει δὲ καὶ ὀδόντας δύο τὸν μὲν ἄνω τὸν δὲ κάτω, καὶ τὸ λεγόμενον ὄστρακον ἐν τῷ νώτῳ. ἐν δὲ τῇ μυτιδι ὁ θολός ἐστιν· αὕτη δὲ κεῖται παρ' αὐτὸ τὸ στόμα κύστεως τρόπον ἐπέχουσα. ἔστι δ' ἡ κοιλία πλακώδης καὶ λεία, ὁμοία τοῖς τῶν βοῶν ἠνύστροις. τρέφονται δὲ αἱ μικραὶ σηπίαι τοῖς λεπτοῖς ἰχθυδίοις, ἀποτείνουσαι τὰς προβοσκίδας ὥσπερ ὁρμιὰς καὶ ταύταις θηρεύουσαι. λέγεται δὲ ὡς ὅταν ὁ χειμὼν γένηται, τῶν πετριδίων ὥσπερ ἀγκύραις ταῖς προβοσκίσι λαμβανόμεναι ὁρμοῦσι. διωκομένη τε ἡ σηπία τὸν θολὸν ἀφίησι καὶ ἐν αὐτῷ κρύπτεται ἐμφήνασα φεύγειν εἰς τοὔμπροσθεν. λέγεται δὲ ὡς καὶ θηρευθείσης τῆς θηλείας τριόδοντι οἱ ἄρρενες ἐπαρήγουσιν ἀνθέλκοντες αὐτήν· ἂν

7 ita cod. Marc. (A. P. p. 314): ἐν πέμπτῳ μορίων *fide membranarum* Casaubonus. ‖ 8 σαργίνους Meineke. ‖ 13 codd. τρίγωνον παράλευκον, corr. Rondelet. ‖ τρίβολον cod. Marc. ‖ 20 ἐν τῶι περὶ ἰχθύων ζωικῶν cod. Marc. ‖ 24 sic Marc. om. ζώων, quod vulgo addunt. ‖ 27 cf. supra fr. 291.

b2 δύο ποδῶν codd. ‖ 23 δερμάτιον cod. Marc. ‖ 30 φησὶ om. cod. Marc. ‖ 37 cod. Marc. δὴ pro δὲ αἱ.

δ' οἱ ἄρρενες ἁλῶσιν, αἱ θήλειαι φεύγουσιν. οὐ διετίζει δ' ἡ σηπία, καθάπερ οὐδ' ὁ πολύπους.

318.

Athen. VII, 326[b]: τευθίς. Ἀριστοτέλης εἶναί φησι καὶ ταύτην τῶν συναγελαζομένων, ἔχειν τε τὰ πλεῖστα τῆς σηπίας, τὸν τῶν ποδῶν ἀριθμόν, τὰς προβοσκίδας. τῶν δὲ ταύτης ποδῶν οἱ μὲν κάτω μικροί εἰσιν οἱ δ' ἄνω μείζους, καὶ τῶν προβοσκίδων ἡ δεξιὰ παχυτέρα, καὶ τὸ ὅλον σωμάτιον τρυφερὸν καὶ ὑπομηκέστερον. ἔχει δὲ καὶ θολὸν ἐν τῇ μύτιδι οὐ μέλανα ἀλλ' ὠχρόν, καὶ τὸ ὄστρακον μικρὸν λίαν καὶ χονδρῶδες.

319.

Athen. VII, 326[d]: τεῦθος. ὁ δὲ τεῦθος μόνῳ τούτῳ διαφέρει, τῷ μεγέθει· γίνεται δὲ καὶ τριῶν σπιθαμῶν. τὸ δὲ χρῶμά ἐστιν ὑπέρυθρος, καὶ τῶν ὀδόντων τὸν μὲν κάτω ἐλάττονα ἔχει τὸν δὲ ἄνω μείζονα, ἄμφω δὲ μέλανας καὶ ὁμοίους ῥύγχει ἱέρακος. ἀναπτυχθεὶς δὲ κοιλίαν ἔχει ὁμοίαν ταῖς ὑείαις.

XLV. ΕΚΛΟΓΗ ΑΝΑΤΟΜΩΝ.

320.

Apollonius mir. 39: Ἀριστοτέλης δ' ἐν ταῖς ἐκλογαῖς τῶν ἀνατομῶν· ὄφις ὤφθη ἐν Πάφῳ πόδας ἔχων δύο ὁμοίους χερσαίῳ κροκοδείλῳ.

XLVI. ΠΕΡΙ ΖΩΩΝ

ᾱ περὶ ἑτεροφωνίας τῶν ὁμογενῶν (321—4)
β̄ περὶ τῶν ἀθρόως φαινομένων (325—6)
γ̄ περὶ τῶν δακετῶν καὶ βλητικῶν (327—30)
δ̄ περὶ τῶν λεγομένων φθονεῖν (331)
ε̄ περὶ τῶν ἐν τῷ ξηρῷ διαμενόντων
ς̄ περὶ τῶν μεταβαλλόντων τὰς χρόας (332)
ζ̄ περὶ τῶν φωλευόντων (333—4).

(Ἀριστοτέλους ἢ) Θεοφράστου.

321. 322. 323.

Aelian. n. a. 16, 33: Ἀριστοτέλης γε μήν φησι τῶν βοῶν τῶν ἐν Νευροῖς ἐκπεφυκέναι τὰ κέρατα καὶ τὰ ὦτα ἔκφυσιν τὴν αὐτὴν καὶ εἶναι συνυφασμένα. ὁ δὲ αὐτὸς ἐν χώρῳ τινὶ Λιβύων τὰς αἶγας τοῦ στήθους φησὶ τοὺς μαζοὺς ἔχειν ἀπηρτημένους. εἴη δ' ἂν τοῦ παιδὸς τοῦ Νικομάχου καὶ ταῦτα· ἐν τοῖς περὶ τὸν Σκαρίσκον Βουδινοῖς οἰκοῦσιν οὐ γίνεσθαί φησι πρόβατον λευκόν, ἀλλὰ μέλανα πάντα.

id. 5, 27: τοὺς δὲ ἐν Νευροῖς βοῦς Ἀριστοτέλης φησὶν ἐπὶ τῶν ὤμων ἔχειν τὰ κέρατα.

324.

Aelian. n. a. 5, 8: Ἀριστοτέλης ὄφεσιν ἐχθρὰν εἶναι τὴν Ἀστυπαλαιέων γῆν λέγει, καθάπερ καὶ τὴν Ῥήνειαν ταῖς γαλαῖς ὁ αὐτὸς ὁμολογεῖ ἡμῖν. κορώνη δὲ ἐς τὴν Ἀθηναίων ἀκρόπολιν οὐκ ἔστιν ἐπιβατά. ἡμιόνων δὲ Ἥλιν μητέρα οὐκ ἐρεῖς, ἢ τὸ λεχθὲν ψεῦδός ἐστιν.

325.

Antig. mir. 19: ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν σισυμβρίων φησὶ σαπέντων σκορπίους γίνεσθαι.

326.

Aelian. n. a. 5, 14: ἐν τῇ Γυάρῳ τῇ νήσῳ Ἀριστοτέλης λέγει μῦς εἶναι καὶ μέντοι καὶ τὴν γῆν σιτεῖσθαι τὴν σιδηρῖτιν.

327.

Aelian. n. a. 4, 57: Ἀριστοτέλης λέγει τὸν ὑπὸ ὕδρου πληγέντα παραχρῆμα ὀσμὴν βαρυτάτην ἀπεργάζεσθαι, ὡς μὴ οἷόν τε εἶναι προσπελάσαι αὐτῷ τινά. λήθην τε καταχεῖσθαι τοῦ πληγέντος ὁ αὐτὸς λέγει καὶ μέντοι καὶ ἀχλὺν κατὰ τῶν ὀμμάτων πολλήν, καὶ λύτταν ἐπιγίνεσθαι καὶ τρόμον εὖ μάλα ἰσχυρὸν καὶ ἀπόλλυσθαι διὰ τρίτης αὐτόν.

328.

Schol. in Theocrit. 7, 22 (p. 245, 23 Ahr.) σαῦρος: ἀρσενικῶς ὁ σαῦρος. λέγεται καὶ θηλυκῶς ἡ σαῦρα. φησὶ δὲ Ἀριστοτέλης περὶ τοῦ ζώου τούτου ὅτι ξηραινόμενον εἰς ἔχιν μεταβάλλεται.

Geopon. 15, 1, 21: Θεόφραστος καὶ Ἀριστοτέλης φασὶ... τῶν ζώων καὶ τῶν φυτῶν μεταβάλλεσθαί τινα εἰς ἕτερα. καὶ γὰρ τὴν κάμπην φασὶν εἰς ζῶον ἕτερον πτερωτὸν τὴν καλουμένην ψυχὴν καὶ τὰς ἀπὸ τῆς συκῆς κάμπας εἰς κανθαρίδας τόν τε ὕδρον εἰς ἔχιν ξηραινομένων τῶν λιμνῶν.

329.

Anon. catasterism. 41: Κόρακος. τοῦτο τὸ ἄστρον κοινόν ἐστιν (κόρακος, ὕδρου, κρατῆρος) ἀπὸ πράξεως γεγονὸς ἐναργοῦς. τιμὴν γὰρ ἔχει ὁ κόραξ παρὰ τῷ Ἀπόλλωνι· ἑκάστῳ γὰρ τῶν θεῶν ὄρνεόν ἐστιν ἀνακείμενον. θυσίας δὲ γινομένης τοῖς θεοῖς, σπονδὴν πεμφθεὶς ἐνέγκαι ἀπὸ κρήνης τινός, ἰδὼν παρὰ τὴν κρήνην συκῆν ὀλύνθους ἔχουσαν ἔμεινεν ἕως πεπανθῶσι. μεθ' ἱκανὰς δὲ ἡμέρας πεπανθέντων τούτων, καὶ φαγὼν τῶν συκῶν αἰσθόμενος τὸ ἁμάρτημα, ἐξαρπάσας καὶ τὸν ἐν τῇ κρήνῃ ὕδρον ἔφερε σὺν τῷ κρατῆρι, φάσκων αὐτὸν ἐκπίνειν καθ' ἡμέ-

36 exhibeo ea tantum quae Aristotelis nomine citantur (cf. A. P. p. 327—72). ‖ 39 Νευροῖς: λεύκτροις codd. ‖ 43 al. l. καρίσκον. ‖ 44 codd. βουδιανοῖς.
[b]7 ἐπιβατόν codd. ‖ 13 πάρῳ codd., corr. Holsten. ‖ 20 τῷ πληγέντι codd., corr. Hercher. ‖ 22 εὖ Reiske: εὐθύς codd.

ραν τὸ γιγνόμενον ἐν τῇ κρήνῃ ὕδωρ. ὁ δὲ Ἀπόλλων ἐπιγνοὺς τὰ γενόμενα τῷ μὲν κόρακι ἐν τοῖς ἀνθρώποις ἐπιτίμιον ἔθηκεν ἱκανόν, τοῦτον τὸν χρόνον διψᾶν, καθάπερ Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς περὶ θηρίων, μνημόνευμα δώσων τῆς εἰς θεοὺς ἁμαρτίας σαφές, εἰκονίσας δὲ ἐν τοῖς ἄστροις ἔθηκεν εἶναι τόν τε ὕδρον καὶ τὸν κρατῆρα καὶ τὸν κόρακα μὴ δυνάμενον πιεῖν μηδὲ προσελθεῖν τῷ κρατῆρι.

Schol. vet. (Par.) in Germanici Arat. ph. 426 (ex apogr. Heins. ms. Berol. Diez. Sant. 94: A. P. p. 346): *Hoc signum commune est quod est facti εναργους. honoratus est autem corvus ab Apolline. sacrificio facto deis, ⟨missus⟩ sponden adferre de lacu quodam: quod fuit castum antequam vinum ostenderetur. qui cum vidisset et ad fontem ficus grossos arbores habentes, volans consedit in eis donec maturae fierent. post paucos dies peracto sacro et ille ficus comedit. cum sensisset se peccasse, eripit ex eo fonte anguem et attulit cum ipso cratere dicens ebibisse quod fuerit in fonte anguem. re cognita Apollo corvo inter homines poenam ad paucum tempus dedit sitim, ut Aristoteles dicit in eo libro qui de bestiis scribitur, [item Isidorus in naturalibus idem phisicis memorie tradidit] ut ipse peccati poenas daret. quem postea astris intulit. cratera autem cum aqua in medio posuit angue, caudam autem anguis [in medio] corvum rostro adpetentem neque posse iuxta accedere ut bibat.*

Hyginus poet. astron. 2, 40 (ex cod. Harl. saec. X): *Hydra est in qua corvus insidere et crater positus existimatur, de qua hanc habemus memoriae proditam causam. corvus Apollinis tutela usus et sacrificante eo missus ad fontem aquam puram petitum, vidit arbores complures ficorum inmaturas. expectans dum maturescerent, in arbore quadam earum consedit. itaque post aliquot dies coctis ficis et a corvo compluribus earum comesis, expectans Apollo corvum vidit cum cratere pleno volare festinantem. pro quo admisso eius dicitur, quod diu moratus sit, Apollinem qui coactus mora corvi alia aqua est usus, hac ignominia eum affecisse ut quam diu fici coquerentur corvus bibere non possit, ideo quod guttur habeat pertusum illis diebus. itaque cum vellet significare sitim corvi, inter sidera constituit cratera et supposuit hydram quae corvum sitientem moratur. videtur enim rostro caudam eius extremam verberare, ut tamquam sinat se ad cratera transire.*

330.

Aelian. de n. a. 6, 14: ἡ ὕαινα, ὡς Ἀριστοτέλης λέγει, ἐν τῇ ἀριστερᾷ χειρὶ ἔχει δύναμιν ὑπνοποιὸν καὶ ἐνεργάζεται κάρον μόνον προσθιγοῦσα. πάρεισι γοῦν ἐς τὰ αὔλια πολλάκις καὶ ὅταν ἐντύχῃ τινὶ καθεύδοντι, προσελθοῦσα ἡσυχῇ τὴν ὑπνοποιὸν ὡς ἂν εἴποις χεῖρα προσέθηκε τῇ ῥινί· ὁ δὲ ἕλκεταί τε καὶ πιέζεται καὶ ἀναισθήτῳ μᾶλλον ἔοικε. καὶ ἐκείνη μὲν ὑπορύττει τὴν γῆν τὴν ὑπὸ τῇ κεφαλῇ ἐς τοσοῦτον, ἐς ὅσον ἀνέκλασεν ἐς τὸν βόθρον καὶ τὴν φάρυγγα ὑπτίαν ἀπέφηνε καὶ γυμνήν. ἐνταῦθα δὲ ἡ ὕαινα ἐνέφυ καὶ ἀπέπνιξε καὶ ἐς τὸν φωλεὸν ἀπάγει. καὶ τοῖς κυσὶ δὲ ἐπιτίθεται ἡ αὐτὴ τὸν τρόπον ἐκεῖνον· ὅταν ᾖ πλήρης ὁ τῆς σελήνης κύκλος, κατόπιν λαμβάνει τὴν αὐγὴν καὶ τὴν αὐτῆς σκιὰν ἐπιβάλλει τοῖς κυσὶ καὶ παραχρῆμα αὐτοὺς κατεσίγασε καὶ καταγοητεύσασα, ὡς αἱ φαρμακίδες, εἶτα ἀπάγει σιωπῶντας καὶ κέχρηται ὅ τι καὶ βούλεται τὸ ἐντεῦθεν αὐτοῖς.

331.

Antigon. mir. 20: οὐχ ἧττον δὲ τούτων θαυμάσια τὰ φθονερὰ τῶν ὠφελούντων, οἷον ὁ γαλεώτης ὅταν ἐκδύῃ τὸ γῆρας, ἐπιστραφεὶς καταπίνει· ἐπιληψίας γάρ ἐστι, φασίν, ὡς ὁ Ἀριστοτέλης καταγράφει, φάρμακον. ὡσαύτως δ' ἡ φώκη λέγεται ἐμεῖν τὸν ὀρόν· καὶ γὰρ τοῦτον πρὸς τὴν αὐτὴν ἀρρωστίαν χρήσιμον. τὰς δὲ ἵππους τὸ ἐπιφυόμενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀπεσθίειν· γίνεσθαι δὲ τοῦτο ἐπὶ τοῦ μετώπου καὶ πρὸς πολλὰ ζητεῖσθαι. τὴν δὲ ἔλαφον τὸ δεξιὸν κέρας κατορύσσειν· εἶναι δὲ καὶ τοῦτο ἐν πολλοῖς χρήσιμον. ταῦτα μὲν οὖν εἴτε κατὰ προαίρεσιν εἴτε κατὰ τύχην οὕτως ἔχει, πολλῆς ἐστὶν ἐπιστάσεως δεόμενα.

332.

Antig. mir. 25: καὶ γὰρ τοῖς στελέχεσι τῶν δέν-

3 ἐπιτίμιον Heyne: ἐπιτιμῶν edd. cum cod. Ox. ‖ 6 δὲ om. v. ‖ 8 cod. Oxon. et edd. τόν τε ὕδρον καὶ μὴ δυνάμενον πιεῖν καὶ μὴ προσελθεῖν. ‖ 11 *factum arcis* cod. ‖ 13 *de his respondenda* codd., corr. Breysig. ‖ 17 *peractos agros* cod. (*peracto sacrificio* schol. rec.), corr. Merkel. fort. *percoctis grossis?* ‖ 19 *ex eo fontem aquam attulit* cod., corr. Merkel. ‖ 20 *ebibisse* Breysig: *excidisse* cod. (*excessisse* rec.). ‖ 21 *fonte anguem*: *fontem aqua* cod. ‖ 24 Isidorus testis ex margine inductus. ‖ 25 *peccatis* cod. ‖ 26 cratera: *Caetera* cod. ‖ *cum qua medio* cod. ‖ 28 *in medio corvo* cod. ‖ 29 *ascendere* cod. ‖ 34 *usus, eo sacrificante missus* rec. ‖ 36 *eas expectans* rec. ‖ 39 *v. eum cum* rec.

b1 *eum* om. H. ‖ 2 *posset* H. ‖ 5 (item 8) *cratera* H. ‖ 6 *moratur* H: moraretur *rec.* ‖ 14 ἡσυχῇ om. Hercher. ‖ 15 ὁ δὲ ἄγχεταί τε καὶ πιέζεται (cet. om.) Hercher, ὁ δὲ ἕλκ. κ. π. μᾶλλον καὶ ἀν. ἐ. codd. ‖ 20 καὶ ante τοῖς del. Hercher. ‖ 29 φθονερά: φθαρ.. κά cod. sec. Bast., unde vulgo φθαρτικά. ‖ 32 φ. μετὰ τὸ τεκεῖν τὸν θορόν codd., corr. Niclas. ‖ 33 τοῦτο vulgo.

δρων καὶ τοῖς φύλλοις καὶ τῇ γῇ, τὸν αὐτὸν τρόπον ἅπαντι τόπῳ συμμεταβάλλει τὴν χροιὰν (ὁ χαμαιλέων). Ἀριστοτέλης δέ φησι καὶ τὸν καλούμενον τάρανδον τοῦτο πάσχειν, ὄντα τετράπουν καὶ σχεδὸν ἴσον ὄνῳ καὶ παχύδερμον καὶ τετριχωμένον, καὶ θαυμαστὸν εἶναι πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλλοιοῦνται.

333.

Schol. Porphyr. in Hom. Il. φ, 126 (p. 571b 39 Bk.): τοῦ γοῦν χειμῶνος ἐκ τοῦ πελάγους εἰς τὴν γῆν καταίρουσιν οἱ ἰχθύες· πολλοὺς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ τοῦ βάθους διὰ τὴν αὐτὴν αἰτίαν ἱστορεῖ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ περὶ ζώων φύσεως.

334.

Schol. in Hom. Il. χ, 93 χειῇ: ἡ διπλῆ ὅτι τὴν τῶν ὄφεων κατάδυσιν χειὰν εἴρηκεν ἀπὸ τοῦ χεῖσθαι (A) ... ἢ ὅτι δίκην ὕδατος ἐκχεῖται εἰς αὐτὴν τὸ θηρίον. ἀγριώτερα δὲ τὰ ἐν ἐρήμῳ γεννώμενα. φησὶ δὲ καὶ ἐν τῷ ς περὶ ζώων Ἀριστοτέλης ἐσθίοντα αὐτὸν μύρμηκας καὶ κανθαρίδας μετὰ τὴν φώλευσιν ἰοῦ πληροῦσθαι πλείονος τοῦ ἐμφύτου καὶ ἐρεθίζεσθαι καὶ λυσσᾶν ἐπιθυμοῦντά που ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν (B).

XLVII. ΙΑΤΡΙΚΑ.

335.

Galenus in comm. ad I Hipp. de nat. hom. (XV, 25): ὥσπερ γε πάλιν εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους ἐπιγεγραμμένας μὲν Ἀριστοτέλει ὁμολογουμένας δὲ ὑπὸ τοῦ Μένωνος, ὃς ἦν μαθητὴς αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος ἀναζητήσας ἐπιμελῶς τὰ διασωζόμενα κατ' αὐτὸν ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰς δόξας αὐτῶν ἐκεῖθεν ἀνελέξατο. τῶν δ' ἤδη διεφθαρμένων ... οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ' οὖν τὰ βιβλία χολὴν ξανθὴν ἢ μέλαιναν ἢ φλέγμα στοιχεῖον ἀνθρώπου φύσεως οὐκ ἂν εὕροις οὐδ' ὑφ' ἑνὸς εἰρημένον, αἷμα δὲ καὶ τῶν μεθ' Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντες ἐν ἡμῖν, ὥστε καὶ τὴν πρώτην γένεσιν ἡμῶν ἐξ αὐτοῦ γίγνεσθαι καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξησιν καὶ ἀποκυηθέντων τελείωσιν.

336.

Diogenes Laertius 5, 61: γεγόνασι δὲ Στράτωνες ὀκτώ· ... ἕβδομος ἰατρὸς ἀρχαῖος, ὡς Ἀριστοτέλης φησίν.

337.

Plutarch. qu. conviv. 8, 9, 3: καὶ μὴν ἔν γε τοῖς Μενωνείοις σημεῖον ἡπατικοῦ πάθους ἀναγέγραπται τὸ τοὺς κατοικιδίους μῦς ἐπιμελῶς παραφυλάττειν καὶ διώκειν.

338.

Plinius n. h. 28, 74: *peculiariter (lac) valet potum contra venena quae data sint e marino lepore, bupresti, ut Aristoteles tradit, dorycnio, et contra insaniam quae facta sit hyoscyami potu.*

339.

Cael. Aurel. celer. passion. 2, 13 p. 110 (ed. Amman Lugd. Bat. 1709): *hanc (pleuritidem) definiens primo (Sorani) de adiutoriis libro Aristoteles sic tradendam credidit. pleuritis inquit est liquidae materiae coactio sive densatio. nec tamen disseruit, utrumne totius, quod falsissimum, si quidem phlebotomati aegrotantes liquidum sanguinem reddunt, an vero particulae. sed cum hoc tacuit, necessarium praetermisit.*

340.

Cael. Aurel. tard. pass. 1, 5 p. 336 (de mania): *alii frigidis usi sunt rebus, passionis causam ex fervore venire suspicantes, ut Aristoteles et Diocles.*

341.

Escolapius (q. d.) de morbis p. VIII (post Physicam Hildegardis etc. ed. Io. Schottus Arg. 1533): *Iracundia irritantur (melancholici), cum mentis perversitate insaniunt, ut maniaci: in vociferatione solum differunt, Aristotele philosopho testante.*

XLVIII. ΟΠΤΙΚΑ.

Simplic., David etc. (cit. in A. P. p. 377): τὰ ὀπτικά. **Vita Ar. Marc.** τὰ ὀπτικὰ προβλήματα.

Hero catoptr. (= Ptolemaeus de speculo ed. Ven. 1518) praef.: *„Negotium autem quod circa visus dividitur in opticum id est visivum, et dioptricum id est perspectivum, et catoptricum id est inspectivum negotium. et opticum quidem opportune ab his qui ante nos descriptum est et maxime ab Aristotele. et de dioptrico autem a nobis in aliis dictum est copiose quanta videbantur. videntes autem et catoptricum negotium esse dignum studio . . .*

18 corr. ἐν τῷ ζ.

b3 vulgo Μελωνείοις, quod corr. Fabricius. || 9 *bupresti* rec.: *prae(pres)timutatim* ante corr. RV. || *dorycnum* codd. || 16 *coactio*: sic Almeloveen, vulgo *coctio*. || 20 sic emendatur in margine ed. Lugd. 1567: in textu *non promisit*. || 26 cf. Cael. Aur. tard. 1, 6 p. 340. ceterum idem potuit repeti ex (Ar.) Probl. 30, 1 (953b 14. 954, 31), sicut maniae causa (fr. 340) tangitur ibidem 954, 32.

342.

Vita Ar. Marc. f. 276[b] inf. (p. 8, 2 Robbe = vit. lat. vet.): *τῇ δὲ μαθηματικῇ (προσέθηκε) τὸ ὀξυγώνιον εἶναι τὸν κῶνον τῶν ὄψεων, διὰ τὸ ἐπὶ πλέον προιέναι τὴν ὄψιν οὗ ὁρᾷ μεγέθους· καὶ κατὰ τοῦτο γὰρ οὐδὲν τῶν ὁρωμένων ὅλον ἅμα ὁρᾶται, καὶ ταύτῃ μείζονα γίνεσθαι τὸν ἄξονα τῆς ἐκ τούτου τῆς βάσεως καὶ ὀξυγώνιον τὸν κῶνον ἀποτελεῖσθαι.*

VIII. HISTORICA.

XLIX. ΠΟΛΙΤΕΙΑΙ

ρνη.

Cicero de fin. 5, 4: *omnium fere civitatum non Graeciae sed etiam barbariae ab Aristotele mores instituta disciplinas . . . cognovimus.*

Photius biblioth. cod. 161 (p. 104[b] 38 Bk.): *ὁ δὲ δωδέκατος (τῶν ἐκλογῶν) αὐτῷ (τῷ Σωπάτρῳ) λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων καὶ . . . ἐκ τῶν Ἀριστοτέλους πολιτειῶν. Θετταλῶν τέ φημι καὶ Ἀχαιῶν καὶ Παρίων Λυκίων τε καὶ Κίων καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει.*

Vita Arist. vulg.: *ἀμέλει καὶ συνώδευσεν αὐτῷ (τῷ Ἀλεξάνδρῳ) μέχρι καὶ ἔσω τῶν Βραχμάνων, ἔνθ' ἱστόρησε τὰς σνε πολιτείας.*

Vit. Ar. Marc.: *ἀκμάσαντι δὲ Ἀλεξάνδρῳ καὶ ἐπιστρατεύσαντι κατὰ Περσῶν συνεξῆλθεν, οὐδὲ τότε ⟨τοῦ⟩ φιλοσοφεῖν ἀποσχόμενος· τὴν γὰρ ἱστορίαν τῶν ⟨σν⟩ πολιτειῶν τότε συνέλεξε.*

Vit. Ar. tert. (sec. vers. lat. vet.): *iuvene autem existente Alexandro et militante contra Persas, eundo cum eo nec tunc abstinuit philosophari: tunc enim composuit historiam ducentarum et quinquaginta politiarum.*

Io. Philop. in categ. p. 35[b] 17 Br.: *μεταξὺ δὲ ὁπόσα περὶ ἱστορίας ἔγραψε . . . τῶν δὲ μεταξύ εἰσι καὶ γεγραμμέναι αὐτῷ πολιτεῖαι ἀμφὶ τὰς ν καὶ διακοσίας οὖσαι.*

David in cat. p. 24, 32: *τὰ δὲ μεταξύ . . . ὡς ἡ ἱστορία· διττὴ δὲ αὕτη, ἡ μὲν πολιτική, ὡς αἱ πολιτεῖαι, ἃς ἱστόρησεν ἐκ τοῦ πολλὴν γῆν περιελθεῖν ἅμα Ἀλεξάνδρῳ βασιλεῖ. ἃς ἐκδέδωκε κατὰ στοιχεῖον διακοσίας πεντήκοντα οὔσας τὸν ἀριθμόν.*

Elias proleg. phil. p. 9[b] 26 Br. (A. P. IV, 425 Cramer): *διὰ δὲ τὸ πολιτικὸν γέγραπται αὐτῷ πολιτικός· γεγραμμέναι δὲ αὐτῷ εἰσὶ καὶ πολιτεῖαι διακόσιαι πεντήκοντα τὸν ἀριθμόν, ἃς συνεγράψατο ἐκ τοῦ πολλὴν γῆν περιελθεῖν σὺν Ἀλεξάνδρῳ τῷ βασιλεῖ.*

David proleg. phil. p. 16[b] 16 Br.: *ἰστέον ὅτι ἐν μὲν τῷ τῶν πολιτικῶν συγγράμματι ἕνα σκοπὸν ἔχει καὶ ὁ Ἀρ. καὶ ὁ Πλάτων· ἀμφότεροι γὰρ λέγουσι πῶς δεῖ διοικεῖσθαι πόλιν· ἐν δὲ τῷ περὶ πολιτείας διάφορός ἐστι καὶ ὁ σκοπὸς καὶ ἡ ἐπιγραφή. καὶ ἡ μὲν ἐπιγραφή, ὅτι ὁ μὲν Πλάτων ἑνικῶς ἐπέγραψε πολιτείαν, ὁ δὲ Ἀρ. πληθυντικῶς πολιτείας. ὁ δὲ σκοπός ἐστι διάφορος, ὅτι ὁ μὲν Ἀρ. λέγει πῶς ἐπολιτεύοντο οἱ ἀρχαῖοι, οἷον οἱ Ἀργεῖοι, οἱ Βοιωτοί, ὁ δὲ Πλάτων λέγει πόσα εἴδη πολιτειῶν καὶ πῶς δεῖ πολιτεύεσθαι.*

Anonymi comm. in Porphyrii isag. (cod. Par. 1939 f. 51[a]): *γέγραπται δὲ αὐτῷ καὶ πολιτικὰ ὁμοίως τῷ Πλάτωνι, ἐν ᾧ διαλέγεται πῶς νῦν χρὴ κατὰ τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν. ἔγραψε γὰρ καὶ ἑκάτερος καὶ πολιτικὸν καὶ πολιτείας· καὶ ἐν μὲν τῷ πολιτικῷ τὸν αὐτὸν ἔχουσι σκοπόν, ἐν δὲ τῇ πολιτείᾳ διαφωνοῦσιν. ὁ μὲν γὰρ Ἀριστοτέλης συνὼν καὶ Ἀλεξάνδρῳ τῷ κτίστῃ πολιτείας λέγεται μετ' αὐτοῦ περιελθεῖν, ὧν ἀνεγράφετο τὸν βίον κατὰ στοιχεῖον· ὅτι τυχὸν μὲν Ἀλεξανδρεῖς τοιῶσδε πολιτεύονται καὶ Ἀθηναῖοι τοιῶσδε καὶ Βιθυνοὶ καθεξῆς κατὰ τὴν τάξιν τῶν στοιχείων· οὕτως οὖν καὶ τὰς πολιτείας τέθεικεν. ὁ δὲ Πλάτων ἔγραψε πολιτείαν ἐν ᾗ διαλέγεται πῶς χρὴ κρατεῖν καὶ τάττειν πολιτείαν.*

Ἀθηναίων α.

Memoratur in indice bibliothecae saec. III (Zündel: Rhein. Mus. 1866 p. 432).

343.

Harpocration s. Ἀπόλλων πατρῷος· *ὁ Πύθιος. προσηγορία τίς ἐστι τοῦ θεοῦ πολλῶν καὶ ἄλλων οὐσῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος· τούτου γὰρ οἰκήσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι καὶ Ἀπόλλω πατρῷον αὐτοῖς ὀνομασθῆναι.*

---

5 Nova tria politiarum fragmenta et titulum unum (Δελφῶν) debemus E. Millero, qui ex codicum in Graecia repertorum et ab ipso edendorum thesauro (de quo quae retulit vid. L'Institut. Journ. univ. des sc. Sect. II. sc. hist. 1865 no. 353 et 357) liberaliter quae ad manum prompta haberet in usum meum concessit.

[b]16 ἐν ᾧ: sic. ‖ 40 ἀπόλλω cod. Vind.: ἀπόλλων cod A et ἀπόλλωνα cod. B sec. Bekk.

Exc. polit. Heraclid. init.: Ἀθηναῖοι τὸ μὲν ἐξ ἀρχῆς ἐχρῶντο βασιλείᾳ· συνοικήσαντος δὲ Ἴωνος αὐτοῖς, τότε πρῶτον Ἴωνες ἐκλήθησαν.

Lex. rhet. Seguer. p. 291 Bk. et Schol. ad Plat. Euthyd. p. 369 Bk.: οἱ δέ (φασιν) ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι καὶ διὰ ταῦτα πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν.

Schol. Aristoph. av. 1527: πατρῷον δὲ τιμῶσιν Ἀπόλλωνα Ἀθηναῖοι, ἐπεὶ Ἴων ὁ πολέμαρχος Ἀθηναίων ἐξ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ξούθου (γυναικός) ἐγένετο.

344.

Plinius 7, 205: *Gyges Lydus picturam Aegypti (condere instituit) et in Graecia Euchir Daedali cognatus, ut Aristoteli placet, ut Theophrasto, Polygnotus Atheniensis.*

345.

Schol. Soph. Oed. Col. 701: ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια ἐλαίου τοῦ ἐκ τῶν μορίων γινομένου δίδοσθαί φησιν.

Phot. lex. (p. 275, 3 Pors.) s. μορίαι· ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς, ἐξ ὧν τὸ ἔλαιον ἔπαθλον ἐδίδοτο τοῖς νικῶσι τὰ Παναθήναια.

346.

Plut. Thes. 25: ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις, καὶ τὸ δεῦρ' ἴτε πάντες λεῴ κήρυγμα Θησέως γενέσθαι φασὶ πανδημίαν τινὰ καθιστάντος. οὐ μὴν ἄτακτον οὐδὲ μεμιγμένην περιεῖδεν ὑπὸ πλήθους ἐπιχυθέντος ἀκρίτου γενομένην τὴν δημοκρατίαν, ἀλλὰ πρῶτος ἀποκρίνας χωρὶς εὐπατρίδας καὶ γεωμόρους καὶ δημιουργούς, εὐπατρίδαις δὲ γινώσκειν τὰ θεῖα καὶ παρέχειν ἄρχοντας ἀποδοὺς καὶ νόμων διδασκάλους εἶναι καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητὰς τοῖς ἄλλοις πολίταις, ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν εὐπατριδῶν, χρείᾳ δὲ γεωμόρων, πλήθει δὲ τῶν δημιουργῶν ὑπερέχειν δοκούντων. ὅτι δὲ πρῶτος ἀπέκλινε πρὸς τὸν ὄχλον, ὡς Ἀριστοτέλης φησί, καὶ ἀφῆκε τὸ μοναρχεῖν, ἔοικε μαρτυρεῖν καὶ Ὅμηρος ἐν νεῶν καταλόγῳ μόνους Ἀθηναίους δῆμον προσαγορεύσας.

Exc. Heraclid. (p. 3 Schn.): Θησεὺς δ' ἐκήρυξε καὶ συνεβίβασε τούτους ἐπ' ἴσῃ καὶ ὁμοίᾳ.

347.

Schol in Plat. Axioch. p. 465 Bk. (cf. Moeris att. p. 193, 16 Bk.) γεννήτῃ: Ἀριστοτέλης φησὶ τοῦ ὅλου πλήθους διῃρημένου Ἀθήνησιν εἴς τε τοὺς γεωργοὺς καὶ τοὺς δημιουργοὺς φυλὰς αὐτῶν εἶναι τέσσαρας, τῶν δὲ φυλῶν ἑκάστης μοίρας εἶναι τρεῖς, ἃς τριττύας τε καλοῦσι καὶ φρατρίας, ἑκάστης δὲ τούτων τριάκοντα εἶναι γένη, τὸ δὲ γένος ἐκ τριάκοντα ἕκαστον ἀνδρῶν συνεστάναι. τούτους δὴ τοὺς εἰς τὰ γένη τεταγμένους γεννήτας καλοῦσι.

Harpocration s. τριττύς: ... τριττύς ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς· αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς καὶ ἔθνη καὶ φρατρίας, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Harpocr. s. γεννῆται: οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαί, ἑκάστη δὲ φυλὴ τριχῇ διῄρητο καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων τριττὺς καὶ φρατρία. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη διῄρητο εἰς γένη λ, ἐξ ὧν αἱ ἱερωσύναι αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο.

Pollux 8, 111: ὅτε μέντοι τέτταρες ἦσαν αἱ φυλαί, εἰς τρία μέρη ἑκάστη διῄρητο, καὶ τὸ μέρος τοῦτο ἐκαλεῖτο τριττὺς καὶ ἔθνος καὶ φρατρία. ἑκάστου δὲ ἔθνους γένη τριάκοντα ἐξ ἀνδρῶν τοσούτων, ἃ ἐκαλεῖτο τριακάδες καὶ οἱ μετέχοντες τοῦ γένους γεννῆται ... τρία δ' ἦν τὰ ἔθνη πάλαι, εὐπατρίδαι γεωμόροι δημιουργοί.

348.

Servius ad Virgil. georg. 1, 19 *uncique puer monstrator aratri: ... vel Epimenides (significatur) qui postea Buzyges dictus est secundum Aristotelem.*

Probus ad h. l. (p. 29, 22 Keil): ... *quidam Buzygen (dicunt), qui primus iunctis existimatur ad arandum usus.*

Plinius n. h. 7, 199: *bovem et aratrum (invenit) Buzyges Atheniensis.*

Hesych. s. Βουζύγης: ἥρως Ἀττικὸς ὁ πρῶτος βοῦς ὑπὸ ἄροτρον ζεύξας· ἐκαλεῖτο δὲ Επιμενίδης.

Lex. rhet. Seg. p. 221, 8 (= Etym. M. p. 206, 47) s. Βουζυγία: γένος τι Ἀθήνησιν, ἱερωσύνην τινὰ ἔχον· Βουζύγης γάρ τις τῶν ἡρώων πρῶτος βοῦς ζεύξας τὴν γῆν ἤροσε καὶ εἰς γεωργίαν ἐπιτήδειον ἐποίησεν, ἀφ' οὗ γένος καλεῖται Βουζυγία.

Schol. in Il. σ, 483: καὶ ἄροτρον δὲ πρῶτος Ἐπιμενίδης ὁ καὶ Βουζύγης ἔζευξε.

349.

Phot. lex. s. ναυκραρία: τὸ πρότερον οὕτως ἐκάλουν, ναυκραρία καὶ ναύκραρος· ναυκραρία μὲν ὁποῖόν τι ἡ συμμορία καὶ ὁ δῆμος, ναύκραρος δὲ ὁποῖόν τι ὁ δήμαρχος, Σόλωνος οὕτως ὀνομάσαντος, ὡς καὶ Ἀριστοτέλης φησί. καὶ ἐν τοῖς νόμοις δὲ „ἐάν τις ναυκραρίας ἀμφισβητῇ", καὶ „τοὺς ναυκράρους τοὺς κατὰ τὴν ναυκραρίαν". ὕστερον δὲ ἀπὸ Κλεισθένους δῆμοί εἰσιν, καὶ

δήμαρχοι ἐκλήθησαν. ἐκ τῆς Ἀριστοτέλους πολιτείας ὃν τρόπον διέταξε τὴν πόλιν ὁ Σόλων· „φυλαὶ δὲ ἦσαν τέσσαρες καθάπερ πρότερον καὶ φυλοβασιλεῖς τέσσαρες· ἐκ δὲ τῆς φυλῆς ἑκάστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώδεκα καθ' ἑκάστην".

Pollux 8, 108: δήμαρχοι οἱ κατὰ δήμους ἄρχοντες. ἐκαλοῦντο δὲ τέως ναύκραροι, ὅτε καὶ οἱ δῆμοι ναυκραρίαι. ναυκραρία δ' ἦν τέως φυλῆς δωδέκατον μέρος καὶ ναύκραροι ἦσαν δώδεκα, τέτταρες κατὰ τριττὺν ἑκάστην. τὰς δ' εἰσφορὰς τὰς κατὰ δήμους διεχειροτόνουν οὗτοι καὶ τὰ ἐξ αὐτῶν ἀναλώματα. ναυκραρία δ' ἑκάστη δύο ἱππέας παρεῖχε καὶ ναῦν μίαν, ἀφ' ἧς ἴσως ὠνόμαστο.

350.

Harpocr. s. ἱππάς: ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέτταρα διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας καὶ ζευγίτας καὶ θῆτας.

Harpocr. s. θῆτες ... εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ.

Harpocr. s. πεντακοσιομέδιμνον: ... ὅτι $\bar{\delta}$ τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Plutarch. Solon. 18: πρῶτον μὲν οὖν τοὺς Δράκοντος νόμους ἀνεῖλε πλὴν τῶν φονικῶν ἅπαντας ... δεύτερον δὲ Σόλων ... ἔλαβε τὰ τιμήματα τῶν πολιτῶν καὶ τοὺς μὲν ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας πρώτους ἔταξε καὶ πεντακοσιομεδίμνους προσηγόρευσε· δευτέρους δὲ τοὺς ἵππον τρέφειν δυναμένους ἢ μέτρα ποιεῖν τριακόσια, καὶ τούτους ἱππάδα τελοῦντας ἐκάλουν· ζευγῖται δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν, οἷς μέτρον ἦν συναμφοτέρων διακοσίων. οἱ δὲ λοιποὶ πάντες ἐκαλοῦντο θῆτες, οἷς οὐδεμίαν ἀρχὴν ἔδωκεν ἄρχειν, ἀλλὰ τῷ συνεκκλησιάζειν καὶ δικάζειν μόνον μετεῖχον τῆς πολιτείας.

Pollux 8, 130: τιμήματα δ' ἦν τέτταρα, πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν. οἱ μὲν ἐκ τοῦ πεντακόσια μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες, ἀνήλισκον δὲ εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τριακόσια, ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγίσιον τελοῦντες ἀπὸ διακοσίων μέτρων κατελέγοντο, ἀνήλισκον δὲ μνᾶς δέκα. οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον οὐδέν.

351.

Photius lex. s. πελάται: οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι· καὶ θῆτες οἱ αὐτοὶ καὶ ἑκτήμοροι, ἐπειδὴ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν. — πελάται: οἱ μισθῷ δουλεύοντες, ἐπεὶ τὸ πέλας ἐγγύς, οἷον ἔγγιστα διὰ πενίαν προσιόντες. Ἀριστοτέλης.

Schol. in Plat. Euthyphr. p. 327: πελάτης ὁ ἀντὶ τροφῶν ὑπηρετῶν καὶ προσπελάζων, ἀπὸ τοῦ πέλας ἤτοι ἐγγύς· ἐκαλεῖτο ὁ δι' ἔνδειαν προσιὼν μίσθιος δὲ ὑπηρετῶν. ἄλλως. πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι καὶ θῆτες. οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι, ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν.

Pollux 4, 165: ἑκτημόριοι δὲ οἱ πελάται παρὰ τοῖς Ἀττικοῖς. — **idem** 3, 82: πελάται δὲ καὶ θῆτες ἐλευθέρων ἐστὶν ὀνόματα διὰ πενίαν ἐπ' ἀργυρίῳ δουλευόντων (**Hesych.** s. ἑκτήμοροι. **Plut. Sol.** 13).

352.

Harpocr. s. κύρβεις: ... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶν „ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ."

Plutarch. Solon. 25: ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε· καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους, ὧν ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ λείψανα μικρὰ διεσώζετο·] καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί, κύρβεις.

Schol. in Aristoph. av. 1354: κύρβεις ... κατὰ δὲ ἐνίους ἄξονες τριγωνοι] ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι ... καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησί καὶ Ἀπολλόδωρος.

353.

Gellius 2, 12: *In legibus Solonis illis antiquissimis quae Athenis axibus ligneis incisae sunt quasque latas ab eo Athenienses ut sempiternae manerent poenis et religionibus sanxerunt, legem esse Aristoteles refert scriptam ad hanc sententiam: „si ob discordiam dissensionemque seditio atque discessio populi in duas partes fiet et ob eam causam irritatis animis utrimque arma capientur pugnabiturque, tum qui in eo tempore in eoque casu*

20 τελεῖν Bekk.: ἐτελεῖτο codd. cf. lex. Seg. 261, 2. Et. M. p. 410, 1. 452, 5. ‖ 42 δὲ ante εἰς om. Schol. in Plat. remp. p. 415. ‖ 45 ζευγίσιον Et. M.: ζευγήσιον codd. Poll., Hes., Phot., Schol. Pl., Lex. Seg.
b24 βασιλίδι cod. D et Phot. ‖ 43 *fieret* codd., corr. Hertz.

civilis discordiae non alterutra parte sese adiunxerit, sed solitarius separatusque a communi malo civitatis secesserit, is domo patria fortunisque omnibus careto, exul extorrisque esto".

Plutarch. Solon. 20 in.: τῶν δ' ἄλλων αὐτοῦ νόμων ἴδιος μὲν μάλιστα καὶ παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν στάσει μηδετέρας μερίδος γενόμενον.

Plut. de sera num. vind. 4: παραλογώτατον δὲ τὸ τοῦ Σόλωνος ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέρᾳ μερίδι προσθέμενον μηδὲ συστασιάσαντα.

354.

Plutarch. Solon. 32: ἡ δὲ δὴ διασπορὰ κατακαυθέντος αὐτοῦ (Σόλωνος) τῆς τέφρας περὶ τὴν Σαλαμινίων νῆσον ἔστι μὲν διὰ τὴν ἀτοπίαν ἀπίθανος παντάπασι καὶ μυθώδης, ἀναγέγραπται δ' ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων καὶ Ἀριστοτέλους τοῦ φιλοσόφου.

355.

Schol. in Aristoph. Acharn. 234 Παλλήναδε: οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος ... μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

356.

Schol. in Aristoph. Lysistr. 665 λυκόποδες: λυκόποδας ἐκάλουν, ὡς μὲν Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους· τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔλαβον. λυκόποδες δὲ ἐκαλοῦντο ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. τινὲς δὲ λυκόποδας διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. ὁ δὲ Ἀριστοφάνης ἔφη τοὺς νῦν λεγομένους Ἀλκμαιωνίδας· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν τὸ Λειψύδριον. — (ad v. 666) Λειψύδριον: χωρίον τῆς Ἀττικῆς περὶ τὴν Πάρνηθον, εἰς ὃ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Phot. s. λυκόποδας: Ἀριστοφάνης Λυσιστράτῃ· τοὺς πρὸς Ἱππίαν ἀγωνισαμένους ἐπὶ Λειψυδρίῳ ὡς γενναίους. ἔλεγον γὰρ τοὺς δορυφόρους τῶν τυράννων διὰ τὸ κατειλεῖσθαι δέρμασι τοὺς πόδας καὶ λυκόποδας εἶναι· ἢ διὰ τὸ λύκον ἔχειν ἐπίσημον ἐπὶ ταῖς ἀσπίσιν ἀπὸ Διονυσίου πρώτου.

Etym. M. p. 361, 32 (Suid., Eustath.) s. ἐπὶ Λειψυδρίῳ μάχη: ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων· τὸ δὲ Λειψύδριον χωρίον ἦν ὑπὸ τὴν Πάρνηθον ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων ὧν οἱ Ἀλκμαιωνίδαι προεστήκεσαν. ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾖδετο „αἰαῖ Λειψύδριον προδωσέταιρον, οἷους ἄνδρας ἀπώλεσας μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας, ὁπότ' ἔδειξαν οἷων πατέρων ἔσαν.

Hesych. s. Λειψύδριον: χωρίον τι ὑπὲρ Πάρνηθος ὃ ἐτείχισαν Ἀλκμαιωνίδαι.

357.

Schol. in Aristoph. Lysistr. 1153: Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχιμόλιον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ· καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ πελαργικὸν τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἑάλωσαν.

358.

Schol. in Aristoph. vesp. 502 ... εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν τὸν Ἱππίαν παρέλαβεν· πρεσβύτατος γὰρ ἦν αὐτὸς καὶ τὴν τυραννίδα εἶχε, καθὰ καὶ Θουκυδίδης φησί. δοκεῖ δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη $\overline{\nu}$, τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος, Ἡροδότου δὲ ἓξ καὶ τριάκοντα.

359.

Harpocr. s. ναυκραρικά: ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶ „κατέστησεν καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις". καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησε.

Harpocr. s. δήμαρχος: Λυσίας ἐν τῷ κατὰ Μόσχου. ἄρχων τις ἦν ὁ δήμαρχος· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν καὶ

27 ἔλαβον Suidae cod. Brux. et edd. post Kuesterum: ἔβαλλον Schol. (codd. Suid. vulg. et Apostol. 10, 91). ‖ 29 ἐπικαίεσθαι Naber. ‖ 31—34 om. cod. Rav. ‖ 35 ita cod. Rav., alii τὸ ὑπεράνω Πάρνηθος, τὸ ὑπὲρ Πάρνηθος Suid., ὑπὸ τὴν Πάρνηθον Et. M. ‖ 36 τινες add. L et Suid. ‖ 40 ἔλεγον: ἔλαθον edd. Porson. et Naber.

b1 corr. Διονύσου. ‖ 6 ὧν Suid. et Eust: οὗ Et. M.. ‖ 10 τε: γε Suid. codd. B. V. (μάχεσθαί τ' ἀγ. Eust.). ‖ ὁπότ': οἳ τότ' Athen. Suid., om. Eust. ‖ ἔσαν: ἔασιν Et. M., κύρησαν Athen. XV p. 695. ‖ 12 ἐτείχισαν ἀλκμαίων cod. ‖ 19 ἀγχίμολον cod. Rav. ‖ 23 Πελασγικόν Herodotus. ‖ 30 $\overline{\nu\alpha}$ Bournot cum Meursio (= Ar. pol. 5, 12. 1315b 31). ‖ 31 ita Bentley, codd. Ἀριστοφάνους. ‖ 35 ita sch. Ar. nub. 37, Harp. κατέστησαν δὲ. ‖ 37 ita sch. Aristoph.: Harp. τ. πρ. ν., δημίους (vel sec. cod. A δημαίους) ἀντὶ τῶν ναυκράρων ἐποίησαν. ‖ 40 τῶν ἐν cod. Darmstad. et Eudocia: τῶν om. ἐν vulgo codd. (etiam Vind.), τῶν προσόντων codd. DE et Suidas.

συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις.

360.

Plut. Themist. 10: κρατήσας δὲ τῇ γνώμῃ (ὁ Θεμιστοκλῆς) ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνάων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν ... οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις· Κλείδημος δὲ καὶ τοῦτο Θεμιστοκλέους ποιεῖται στρατήγημα ... ἐκπλεούσης δὲ τῆς πόλεως τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν ἔλεον εἶχον· ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσι. ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παραννηχόμενος ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσι.

Plut. Caton. 5: κύνας δὲ συντρόφους γενομένους καὶ συνήθεις ἄλλοι τε πολλοὶ καὶ Ξάνθιππος ὁ παλαιὸς τὸν εἰς Σαλαμῖνα τῇ τριήρει παραννηξάμενον ὅτε τὴν πόλιν ὁ δῆμος ἐξέλιπεν, ἐπὶ τῆς ἄκρας ἐκήδευσεν, ἣν Κυνὸς σῆμα μέχρι νῦν καλοῦσιν.

361.

Aelianus de nat. an. 12, 35: πέπυσμαι δὲ πρὸς τοῖς ἤδη μοι προειρημένοις κύνας γενέσθαι φιλοδεσπότους, ὡς Ξανθίππου τοῦ Ἀρίφρονος. μετοικιζομένων γὰρ τῶν Ἀθηναίων εἰς τὰς ναῦς, ἡνίκα τοῦ χρόνου ὁ Πέρσης τὸν μέγαν πόλεμον ἐπὶ τὴν Ἑλλάδα ἐξῆψε καὶ ἔλεγον οἱ χρησμοὶ λῷον εἶναι τοῖς Ἀθηναίοις τὴν μὲν πατρίδα ἀπολιπεῖν ἐπιβῆναι δὲ τῶν τριήρων, οὐδὲ οἱ κύνες τοῦ προειρημένου ἀπελείφθησαν, ἀλλὰ συμμετῳκίσαντο τῷ Ξανθίππῳ καὶ διανηξάμενοι εἰς τὴν Σαλαμῖνα ἀπέσβησαν. λέγετον δὲ ἄρα ταῦτα Ἀριστοτέλης καὶ Φιλόχορος.

362.

Harpocr. s. ἑλληνοταμίαι: ... ὅτι ἀρχή τις ἦν οἱ ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

363.

Plutarch. Cimon. 10: ὡς δ' Ἀριστοτέλης φησίν, οὐχ ἁπάντων Ἀθηναίων ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο (ὁ Κίμων) τῷ βουλομένῳ τὸ δεῖπνον.

Cic. de off. 2, 18: *Theophrastus quidem scribit Cimonem Athenis etiam in suos curiales Laciadas hospitalem fuisse. ita enim instituisse et villicis imperavisse ut omnia praeberentur, quicumque Laciades in villam suam devertisset.*

364.

Plutarch. Pericl. 4: Ἀριστοτέλης δὲ παρὰ Πυθοκλείδῃ μουσικὴν διαπονηθῆναι τὸν ἄνδρα φησίν (τὸν Περικλέα).

365.

Plutarch. Pericl. 9: τρέπεται (ὁ Περικλῆς) πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἰήθεν, ὡς Ἀριστοτέλης ἱστόρηκε.

366.

Argum. Isocrat. Areopagit. (apud Schol. in Aeschinem et Isocr. ed. Guil. Dindorf. Oxon. 1852 p. 111): ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ πολιτείᾳ τῶν Ἀθηναίων ὅτι καὶ ὁ Θεμιστοκλῆς αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας.

367.

Plutarch. Pericl. 10: Ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν.

368.

Schol. in Lucian. Tim. 30 (p. 47 ed. Iacobitz): ἐπέστη δὲ (Κλέων) καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος προσθεὶς ἄρχοντα Εὔθυνον καὶ Ἀριστοτέλης.

8 ἀθηναίων codd., corr. Sint. ‖ 13 ὀκτὼ δρ. vulgo post στρατευομένων posita transposuit Sint. cum cod. A. ‖ 17 γενεὰς Sintenis: γονέας codd. ‖ 43 συμμετῴκισαν codd., corr. Valck.

b2 ἀπέσβησαν Jacobs: ἀπέβησαν codd. ‖ 7 τὰ scil. κοινὰ χρ., cf. Etym. M. (ex Photio) s. ἑλληνοταμίαι: οἱ τῶν Ἑλληνικῶν χρημάτων ταμίαι· καὶ γὰρ ἦσαν κοινὰ χρήματα τῆς Ἑλλάδος συγκείμενα ἐν τῷ δημοσίῳ (αποκείμενα ἐν Δήλῳ Lex. Seg.). ‖ 21 μουσικὴν Bryanus: μουσικὴν ἂν vulgo. ‖ 31 immo ὁ Περικλῆς. ‖ πάντα: πάντως cod. Mustoxydis. ‖ 42 Ἀριστοτέλης: sic Hemsterh. nam codices habent Φιλόχορος καὶ Ἀριστοφάνης ποσθεὶς ἄρχοντα Εὔθυνον. Ἀριστοτέλης δὲ καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων. cf. Sch. in Aeschin. p. 14, 11 Dind.

369.

Plutarch. Nic. 2: ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἄγνωνος.

370.

Schol. in Aristoph. ran. 1532 Κλεοφῶν δὲ μαχέσθω: παρόσον, ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.

371.

Harpocr. s. δεκάζων: ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια.

Lex. rhet. Seg. s. δεκάζειν **p.** 236, 6. (**Etym. M. p.** 254, 31): πρῶτος δ' ἐδόκει δεκάσαι Μέλητος τὰς εὐθύνας διδοὺς τῆς ἐν Πύλῳ στρατηγίας ἣν κακῶς ἐστρατήγησεν.

372.

Harpocr. s. τετρακόσιοι: ... οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν τῶν τριάκοντα τυράννων παρ' Ἀθηναίοις, οἵτινες τέτταρας μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

373.

Schol. in Aristoph. vesp. 157 Δρακοντίδης: ... Καλλίστρατος δὲ ἕνα τῶν τριάκοντά φησιν, εἰ μὴ ὁμώνυμος· ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν τριάκοντα ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν πολιτείαις.

374.

Pollux onomast. 8, 85—87 **Bk.**: ἀρχόντων δὲ τῶν Ἀθήνησιν ὀνόματα οἱ ἐννέα ἄρχοντες. εἰσὶ δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἓξ· ἐκ τούτων γὰρ οἱ ἐννέα συμπληροῦνται. ἐκαλεῖτο δέ τις θεσμοθετῶν ἀνάκρισις, εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας καὶ τὸν δῆμον πόθεν καὶ εἰ Ἀπόλλων ἔστιν αὐτοῖς πατρῷος καὶ Ζεὺς ἕρκειος καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι καὶ εἰ ἐστράτευνται ὑπὲρ τῆς πατρίδος καὶ εἰ τὸ τίμημα ἔστιν αὐτοῖς. ἐπηρώτα δ' ἡ βουλή, ὤμνυον δ' οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ, ἐπὶ τοῦ λίθου ὑφ' ᾧ τὰ ταμιεῖα, συμφυλάξειν τοὺς νόμους καὶ μὴ δωροδοκήσειν, ἢ χρυσοῦν ἀνδριάντα ἀποτῖσαι. εἶτα ἐντεῦθεν εἰς ἀκρόπολιν ἀνελθόντες ὤμνυον ταὐτά. μυρρίνῃ δ' ἐστεφάνωντο, καὶ κοινῇ μὲν ἔχουσιν ἐξουσίαν θανάτου ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστι, καὶ κληροῦν δικαστάς, καὶ ἀθλοθέτας ἕνα κατὰ φυλὴν ἑκάστην καὶ στρατηγοὺς χειροτονεῖν ἐξ ἁπάντων, καὶ καθ' ἑκάστην πρυτανείαν ἐπερωτᾶν εἰ δοκεῖ καλῶς ἄρχειν ἕκαστος· τὸν δ' ἀποχειροτονηθέντα κρίνουσιν· καὶ ἱππάρχους δύο καὶ φυλάρχους δέκα καὶ ταξιάρχους δέκα. καὶ κοινῇ μὲν ταῦτα.

375.

Lex. rhetor. fragm. Cantabrig. (post Phot. ed. Oxon.) p. 670, 14 (**p.** 17 **Meier**) θεσμοθετῶν ἀνάκρισις: κατὰ Ἀριστοτέλην οἱ θεσμοθέται ἐκ τῶν $\overline{\theta}$ ἀρχόντων, αὐτοὶ ἓξ ὄντες. οἱ δὲ λαχόντες ὑπὸ τῆς βουλῆς τῶν πεντακοσίων καὶ τοῦ δικαστηρίου δοκιμάζονται πλὴν τοῦ γραμματέως ἐρωτώμενοι τίνες αὐτῶν πατέρες, ὁμοίως καὶ δήμων τίνων εἰσί, καὶ εἰ ἔστιν αὐτοῖς Ἀπόλλων πατρῷος καὶ Ζεὺς ἕρκειος, καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι, καὶ εἰ τὰ τέλη τελοῦσι, καὶ εἰ τὰς ὑπὲρ τῆς πατρίδος στρατείας ἐστρατεύσαντο. πάντα οὖν ⟨ταῦτα⟩ ἀνάκρισιν εὐλόγως ὠνόμασαν.

376.

Poll. 3, 17: ὁ δὲ πάππου ἢ τήθης πατήρ ... τάχα δ' ἂν τοῦτον τριτοπάτορα Ἀριστοτέλης καλοῖ.

377.

Harpocr. s. λίθος: ... ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ $\overline{\gamma}$ ὑποσημαίνουσιν.

Plut. Solon. 25: κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων εἴ τι παραβαίη τῶν θεσμῶν ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς.

Exc. Heraclid. (**p.** 5, 15 **Schn.**): εἰσὶ δὲ καὶ ἐννέα ἄρχοντες θεσμοθετικοί, οἳ δοκιμασθέντες ὀμνύουσι δικαίως ἄρξειν καὶ δῶρα μὴ λήψεσθαι ἢ ἀνδριάντα χρυσοῦν ἀναθήσειν.

378.

Pollux 8, 87—88: ἰδίᾳ δὲ οἱ μὲν θεσμοθέται προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας, καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρα-

5 μιλησίου, μιλησίων codd., corr. Sint. ‖ 21 μέλης cod., corr. Ἄνυτος.
b1 „ὑφ' ᾧ τὰ ταμιεῖα codex Schotti: ἐφ' ᾧ τε ceteri". Bekk. ‖ 18 πλὴν cod.: fort. παρὰ. ‖ 22 ταῦτα add. Meier.

νόμων γραφὰς καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειεν, καὶ στρατηγοῖς εὐθύνας. γίνονται δὲ γραφαὶ πρὸς αὐτοὺς ξενίας, δωροξενίας, δώρων, συκοφαντίας, ψευδοκλητείας, ψευδεγγραφῆς, βουλεύσεως, ἀγραφίου, μοιχείας. εἰσάγουσι δὲ καὶ δοκιμασίαν ταῖς ἀρχαῖς καὶ τοὺς ἀπεψηφισμένους καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικὰς καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τὰ ἴδια καὶ τὰ δημόσια, καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι καὶ τὰς τῶν ψευδομαρτυριῶν τῶν ἐξ Ἀρείου πάγου.

Harpocr. s. θεσμοθέται: ... ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων, εἰσὶ δὲ ἐκ τῶν καλουμένων θ̄ ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον ... ὁ δὲ Ἀριστοτέλης ἐν τῇ α̅ Ἀθηναίων πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.

379.

Lex. rhet. Cantabrig. p. 674, 7 (p. 25 Meier) ξενίας γραφὴ καὶ δωροξενίας διαφέρει· Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ περὶ τῶν θεσμοθετῶν διαλεγόμενος „εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν τις κατηγορῆται ξένος εἶναι, δωροξενίας δὲ ἐάν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν.

Harpocr. s. παράστασις: ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ θεσμοθετῶν λέγων φησὶν οὕτως „εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν· καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας."

Harpocr. s. δωροξενία, ... καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταὐτί „εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν."

Harpocr. (**Photius, Lex. Seg.**) s. ἡγεμονία δικαστηρίου: ... πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας (ἐλαγχάνοντο δίκαι) καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων.

Poll. 8, 44: δωροξενίας δὲ εἴ τις ξενίας κρινόμενος δῶρα δοὺς ἀποφύγοι.

380.

Synagog. lex. Seguer. ap. Bekk. Anecd. p. 436 ἀπὸ συμβόλων δικάζει: Ἀθηναῖοι ἀπὸ συμβόλων ἐδίκαζον τοῖς ὑπηκόοις. οὕτως Ἀριστοτέλης.

381.

Poll. 8, 89: ὁ δὲ ἄρχων διατίθησι μὲν Διονύσια καὶ Θαργήλια μετὰ τῶν ἐπιμελητῶν, δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς δατητῶν αἵρεσιν, ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι. ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν αἳ ἂν φῶσιν ἐπ' ἀνδρὸς τελευτῇ κύειν, καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν. ἔστι δ' ἐπώνυμος οὗτος καὶ ἀπ' αὐτοῦ ὁ χρόνος ἀριθμεῖται.

(**Harp.**, **Phot.**,) **Lex. rhet. Seg.** s. ἡγεμ. δικ. p. 310, 1: πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνοντο γραφαὶ καὶ τῶν γονέων εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν καὶ τῶν ὀρφανῶν, ἔτι δὲ παρανοίας καὶ ἀργίας, καὶ ἐπιδικασίαι ἐπικλήρων γυναικῶν.

Lex. rhet. Cantabr. p. 670, 4 (p. 17 Meier) ἐπώνυμος ἄρχων: ἀφ' οὗ ἡ πόλις χρηματίζει· ἔχει δὲ ἐπιμέλειαν χορηγοὺς καταστῆσαι εἰς Διονύσια καὶ Θαργήλια, ἐπιμελεῖται δὲ καὶ τῶν εἰς Δῆλον καὶ τῶν ἀλλαχόσε πεμπομένων Ἀθήνηθεν χορῶν. λαγχάνονται δὲ πρὸς αὐτὸν καὶ γραφαί, καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει.

382.

Harpocr. s. εἰς ἐμφανῶν κατάστασιν: ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ ... ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίναντα εἰσάγειν εἰς τὸ δικαστήριον.

383.

Harpocr. (cf. **Etym. M.** p. 249, 43) s. δατεῖσθαι τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν. ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινά, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Lex. rhet. Cantabrig. p. 667, 28 (p. 13 Meier) εἰς δατητῶν ⟨αἵρεσιν⟩: πρόκλησις νεμέσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ „δίκαι

17 ἐν τῇ α̅ Ἀθηναίων: sic cod. A i. e. Angelicanus, om. α̅ cett. ‖ 23 πρὸς: cod. περὶ. ‖ cod. περιστάσεις. ‖ 25 cod. διδοὺς. ‖ 31 ἀγραφίου: ἀργυρίου codd., γραφίου Suid., φίου Suid. cod. Pal. et Phot. ‖ 37 συκοφαντίαν ex sequentibus errore arreptum pro ξενίαν.

b 17 ἀργίας ἐπιδικασίαι καὶ cod. ‖ 24 πρὸς αὐτὸν: cod. παρ' αὐτοῖς. ‖ 28 εἶναι: θεῖναι Grashof (τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι codd. DE et Suid.). ‖ 31 ἀνακρίναντα Bekk.: codd. ἀνακρίνοντα, praeter N ubi ἀνακριθέντα.

λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τινὲς καὶ εἰς δατητῶν αἱρεσιν, ὅταν μὴ θέλῃ κοινὰ τὰ ὄντα νέμεσθαι.

Etym. M. p. 249, 43 δατητής: παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης.

Lex. rhet. Seg. s. ἡγεμ. δικ. **p. 310, 17:** οἱ διαιτηταὶ πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν.

384.

Harpocr. s. σῖτος: . . . σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος ᾱ ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας.

385.

Poll. 8, 90: ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν καὶ Δηναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας καὶ ἱερωσύνης ἀμφισβητήσεως. καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι πᾶσιν αὐτὸς δικάζει, καὶ τὰς τοῦ φόνου δίκας εἰς Ἄρειον πάγον εἰσάγει καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων. δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας. τὴν δὲ συνοικοῦσαν αὐτῷ βασίλισσαν καλοῦσιν.

Lex. rhet. Seg. p. 219, 14 s. βασιλεύς: βασιλεύς ἐστιν εἷς τῶν ἐννέα ἀρχόντων. ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνησε. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας. καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ προστιμᾷ. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον.

Phot. (Lex. rhet. Seg. p. 310, 6) s. ἡγεμονία δικαστηρίου: τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἀμφισβήτει, πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν τοῖς ἱερεῦσιν ἀμφισβητήσεις. προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ.

386.

Harpocrat. s. ἐπιμελητὴς τῶν μυστηρίων: παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς . . . Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως „ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν", οὓς ὁ δῆμος ἐχειροτονεῖ, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων.

387.

Poll. 8, 91: ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων, καὶ τοῖς περὶ Ἁρμόδιον ἐναγίζει. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων, ἰσοτελῶν, ⟨ξένων⟩, προξένων. καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ τι μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων μετοίκων.

388.

Harpocrat. s. πολέμαρχος: . . . Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος „πρὸς ταῦτα, φησίν, αὐτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος".

Harp. s. ἀποστασίου: . . . Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· „οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων."

Lex. rhet. Seg. p. 310, 9 Bk.: ὁ πολέμαρχος (εἰσάγει δίκας) ἀποστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις· καὶ τἆλλα ὅσα τοῖς ἀστοῖς ὁ ἄρχων, οὗτος τοῖς μετοίκοις παρέχεται.

389.

Harpocr. s. πάρεδρος: . . . Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ „λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν.

Poll. 8, 92: πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ. προσαιροῦνται δὲ καὶ γραμματέα, ὃς ἐννόμῳ δικαστηρίῳ κρίνεται.

390.

Harpocr. s. στρατηγοί: . . . οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερίδου κατ' Αὐτοκλέους καὶ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους.

1 ἄλλαι τινὲς Meier: cod. ἀλλ' εἴ τις. ‖ 2 ὅταν ὁ μὲν θέλῃ ὁ δὲ μὴ θέλῃ τὰ κοινὰ ὄντα νέμεσθαι Meier. ‖ 13 καὶ ἐκ Σόλωνος ἄξονον codd. AB et Vind. ‖ 19 καὶ add. schol. Pl. Eutyphr. p. 325. ‖ 20 ἱερεῦσι ex schol. Pl. Bekk.: ἱεροῖς codd. ‖ 38 ἱερῶν: γερῶν Meier.

b2 χειροτονεῖ Bekk. et Müller. ‖ τέσσαρες δὲ ἦσαν, δύο μὲν ... εἷς δὲ ... Suid. et Et. M. ‖ 9 ξένων add. Meier. ‖ 31 corr. ὅ τε ἀ. καὶ ὁ βασιλεὺς καὶ ὁ πολ., δύο ἕκαστος... ‖ 33 παρεδρεύωσιν (-ουσιν) codd., corr. Alberti et Bekk.

391.

Harpocr. s. ἵππαρχος ... λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ̄ Φιλιππικῶν φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Phot. s. ἵππαρχοι: δύο ἦσαν, οἳ τῶν ἱππέων ἡγοῦντο διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε. ἐπιμεληταὶ δέ εἰσι τῶν ἱππέων ⟨οἱ φύλαρχοι⟩, καθάπερ οἱ ταξίαρχοι δέκα ὄντες, εἷς ἐφ' ἑκάστης φυλῆς, τῶν ὁπλιτῶν.

392.

Harpocr. s. φύλαρχος: ... φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί.

Poll. 8, 94: ἵππαρχοι δὲ δύο ἐξ ἁπάντων Ἀθηναίων αἱρεθέντες ἐπιμελοῦνται τῶν πολέμων. οἱ δὲ φύλαρχοι δέκα, εἷς ἀπὸ φυλῆς ἑκάστης, τῶν ἱππέων προΐστανται, καθάπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν.

393.

Harpocr. s. πρυτανείας: ... ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λς̄ ἢ λε̄ ἃς ἑκάστη φυλὴ πρυτανεύει. διείληκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Harpocr. (Lex. Seg., Schol. Plat. p. 459) s. πρυτάνεις: τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεντακοσίων, πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα πρυτάνεις ἐκαλοῦντο. ἐπρυτάνευον δὲ ⟨κατὰ πρυτανείαν⟩ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι ⟨κατὰ ἐνιαυτόν⟩.

Schol. in Plat. leg. p. 459 Bekk. πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν ἤτοι λς̄ ἢ λε̄, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ιβ̄ μὲν γὰρ οἱ μῆνες, ῑ δέ εἰσι πρυτανεῖαι καὶ φυλαὶ ῑ. καὶ διήρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ· κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ φυλῇ τῶν δέκα ἐπιβάλλειν λε̄ ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέσσαρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λς̄ ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λε̄.

Photius s. πρυτανεία ... πρυτανεῖαι δὲ ὁ τῶν ἡμερῶν ἀριθμός. δέκα ἐγίνοντο κατ' ἐνιαυτόν, ὅτι καὶ δέκα αἱ φυλαί· ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν σεληνιακὸν ἦγον· ἐπέβαλλον δὲ ἑκάστῃ φυλῇ τῶν δέκα λε̄ ἡμέραι καὶ ἐπεριττευον ἐκ τοῦ σεληνιακοῦ ἐνιαυτοῦ ἡμέραι τέσσαρες, ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις πρυτανεύειν τέσσαρσι φυλαῖς· καὶ τῶν μὲν τεσσάρων πρῶτον ἑκάστη εἶχε τὴν πρυτανείαν ἀπαρτιζομένην εἰς λς̄ ἡμέρας, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λε̄.

394.

Poll. 8, 95—96: πρυτάνεις. οὗτοι τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ᾖ ἄφετος, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας· καὶ προγράφουσι πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις καὶ τὰς λήξεις τῶν κλήρων. ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις, ἱκετηρίαν θεμένοις, λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα. ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. ἐπιστάτης δ' ἐστὶν εἷς τῶν πρυτάνεων, ὁ κλήρῳ λαχών. δὶς δ' οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. ἔχει δὲ οὗτος τῶν ἱερῶν τὰς κλεῖς ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. καὶ ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς.

395.

Harpocrat. s. κυρία ἐκκλησία: ... τίνες δὲ αἱ κύριαι ἐκκλησίαι Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. προγράφουσι δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν· καὶ περὶ φυλακῆς δὲ τῆς χώρας. καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι καὶ τὰ ἑξῆς.

396.

Lex. rhet. Cantabrig. p. 672, 3 (p. 21 Meier) κυρία ἐκκλησία: ... ἄμεινον οὖν Ἀριστοτέλει ⟨πείθεσθαι⟩· τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις φησὶν ἐπιχειροτονεῖσθαι καὶ τὰς εἰσαγγελίας ⟨τὸν βουλόμενον εἰσαγγέλλειν⟩ καὶ τὰ ἄλλα τῶν ἀναγκαίων χρηματίζειν

8 οἱ φύλαρχοι addendum ex Poll. 8, 94. ‖ 22 λς̄: λη̄ A. cf. schol. Pl. ‖ ἃς: καὶ codd. ‖ 29 κατὰ πρυτανείαν Lex. Seg. et schol. Pl.: om. Harp. ‖ 30 κατὰ ἐνιαυτὸν add. Etym. M. (.. αἱ φυλαὶ διὰ τούτων τῶν ἀνδρῶν κλήρῳ λαχόντων Lex. Seg.). ‖ 33 ἢ λη̄ ἢ λε̄ codd. ‖ 34 λέγεται: hucusque eadem etiam Lex. Seg.

b1 ἐπέβαλλον ... ἡμέραι: ἐπέβαλεν ... ἡμέρας cod. (et Suid.). ‖ 34 προγράφουσι Bekk. (Poll.): προσγράφουσι codd. ‖ 41 πείθεσθαι om. cod. ‖ 42 cod. ἔφησεν χεις. ‖ 43 τὸν βουλ. εἰσαγγέλλειν add. Meier. ‖ 44 cod. τὰς ἄλλας.

καὶ περὶ σίτου ⟨καὶ⟩ φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν καὶ τὰς λήξεις τῶν κλήρων. ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας προχειροτονίαν δίδοσθαι εἰ δοκεῖ ἢ μή.

397.

Harpocr. s. ἐπιστάτης: . . . δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὧν ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Suidas (ex Photio) s. ἐπιστάτης: τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα πλὴν τῆς πρυτανευούσης. καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσιν· αὐτὸς δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς.

Eustath. in Odyss. ρ, 455 (p. 1827 Rom.): προσενθυμητέον δὲ καὶ Τηλέφου τοῦ ὡς ἱστορεῖται Περγαμηνοῦ, ὅτι κατὰ τὴν ἐκείνου παράδοσιν νομική τις ἦν λέξις ἢ τεχνικὴ ἐν τοῖς μεθ' Ὅμηρον ὁ ἐπιστάτης· γίνεται γάρ φησιν Ἀθήνησιν ἐκ τῶν πρυτάνεων εἷς ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν, καὶ πλείω χρόνον οὐκ ἔξεστιν οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι, τάς τε κλεῖς ⟨τῶν ἱερῶν⟩ ἐν οἷς τὰ χρήματά εἰσι φυλάττει καὶ τὰ γράμματα τῆς πόλεως καὶ τὴν δημοσίαν σφραγῖδα. κληροῖ δὲ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα πλὴν τῆς πρυτανευούσης καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα.

398.

Harpocrat. s. πρόεδροι ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διώκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. . . . ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Photius (Lex. Seg.) s. πρόεδροι: οἱ τὰ περὶ τὰς ἐκκλησίας Ἀθήνησι διοικοῦντες. εἷς ἐκληροῦτο ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην ἐκκλησίαν ἐξ ἑκάστης φυλῆς· πρόεδροι δὲ ὅτι προεδρίαν εἶχον ἐν ταῖς ἐκκλησίαις.

399.

Harpocr. s. γραμματεύς: . . . ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Pollux 8, 98: γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα, καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ. ἀντιγραφεὺς πρότερον μὲν αἱρετός, αὖθις δὲ κληρωτὸς ἦν καὶ πάντα ἀντεγράφετο παρακαθήμενος τῇ βουλῇ. [δύο δ' ἦσαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως.

Harpocrat. s. ἀντιγραφεύς: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα ὥστε ἀντιγράφεσθαι ταῦτα . . . [διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος,] ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Suidas (Lex. Seg.) s. γραμματεύς: οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται.

400.

Harpocrat. s. ἀποδέκται: ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται . . . Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ.

Lex. rhet. Seg. p. 198, 1 (**Etym. M.** p. 124, 41. **Zonaras** p. 234. **Synag. lex. Seg.** p. 427, 13) ἀποδέκται: ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ· διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. εἶτα ἐξήταζον τά τε ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν.

Hesych. s. ἀποδέκται: ἀρχὴ Ἀθήνησι τῶν ὑποδεχομένων τὰ χρήματα.

Poll. 8, 97: ἀποδέκται δὲ ἦσαν δέκα οἱ τοὺς φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο, καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον· εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον.

401.

(Lex. Seg.) Harpocr. s. πωληταὶ καὶ πωλη-

1 καὶ om. cod. ‖ 2 λήξεις: cod. δείξεις. ‖ 4 cod. ἐπιχεις. ‖ 13 φυλάσσει . . . σφραγῖδα: haec etiam Etym. M. ‖ 28 τῶν ἱερῶν om. Eust.

τήριον: οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα ⟨καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει⟩. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας β̄: διείληκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Photius s. πωληταί: οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας· ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον, ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλλον εἰς τὸ δημόσιον.

Pollux 8, 99: πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας καὶ τὰ δεδημευμένα. πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς ὃς τὰ πωλούμενα βεβαιοῖ.

402.

Harpocrat. s. ταμίαι: ... ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν (ἱερῶν) τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν.

Photius (Lex. rhet. Seg. p. 306, 7) s. ταμίαι: ἄρχοντές εἰσιν Ἀθήνησι κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς ⟨καὶ τὸν κόσμον⟩. εἰσὶ δὲ καὶ ἄλλοι ταμίαι, ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος.

Pollux 8, 97: ταμίαι τῆς θεοῦ κληρωτοὶ μὲν ἐκ πεντακοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης.

403.

Lex. rhet. Cantabrig. p. 675, 28 (p. 30 Meier) Πάραλος καὶ Σαλαμινία: ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο· ἐχρῶντο δὲ αὐταῖς εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. ἡ δὲ Πάραλος καὶ ἀπό τινος ἥρως ἐπιχωρίου ἐκλήθη. τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν, Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος δὲ ἐν τῇ ς̄ τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα.

Photius s. Πάραλοι: ... Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρετεῖ. ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἐβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ ἐχρῶντο· λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία. ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς.

Photius s. Πάραλος: ἱερὰ τριήρης ὥσπερ καὶ ἡ Σαλαμινία. ἦσαν δὲ καὶ ἄλλαι τριήρεις δύο Ἀντιγονὶς καὶ Δημητριάς, ἔτι δὲ καὶ Ἀμμωνιάς· ἀλλ' ἡ μὲν Πάραλος ἐπέμπετο πρὸς τὰς θεωρίας, εἴς τε Δῆλόν φημι καὶ Ὀλυμπίαν, ἡ δὲ Σαλαμινία πρὸς τὸ μεταπέμπεσθαι τοὺς ἐξ ἀλλοδαπῆς Ἀττικοὺς ἀδικεῖν δοκοῦντας. ἐπολέμουν δὲ ὅμως καὶ αὗται αἱ τριήρεις.

Harp. s. Ἀμμωνίς: ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης· Δείναρχος ἐν τῷ κατὰ Ἱμεραίου.

Schol. in Demosth. p. 636, 16 Dind. ... καὶ Ἀμμωνιὰς ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον.

404.

(Phot., Lex. Seg.) Etymolog. Magn. p. 468, 56 ἱεροποιοί: κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθετοῦσι κἄν τι καλλιερῆσαι δέῃ καλλιεροῦσι μετὰ τῶν μάντεων καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι πλὴν Παναθηναίων. ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Pollux 8, 107: ἱεροποιοί. δέκα ὄντες οὗτοι ἔθυον θυσίας τὰς ⟨νομιζομένας καὶ⟩ πεντετηρίδας ⟨διοικοῦσι⟩ τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλείων, τὴν Ἐλευσῖνι.

405.

Harpocr. s. εὐθῦναι: ... εὐθύνης ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. δέκα τὸν ἀριθμὸν ἦσαν ἄνδρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. διείληκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

2 διοικοῦσι: πωλοῦσι Lex Seg., Et. M. ‖ 6 quae uncis inclusa add. Lex. Seg. (cf. Et. M.). ‖ 33 καὶ τὸν κόσμον add. Lex. Seg. ‖ 4 cod. ἀμοριάδα. ‖ 5 cod. στησίχορος. ‖ 6 cod. ἀμοριάδα. ‖ 13 τῇ Παράλῳ: immo τῇ Ἀμμωνιάδι. ‖ ἡ αὐτή: scil. ἡ Ἀμμωνιάς. ‖ 21 ἀλλοδαπῆς: αὐτῆς cod. ‖ 31 ἱεροθυτοῦσι cod. D (-θύτουν V), Lex. Seg. et Phot. ‖ κἄν τις καλλιερήσῃ συγκαλλιεροῦσι τοῖς μαντεύμασι Phot. ‖ 37 θυσίας τὰς πεντετηρίδας, τὴν εἰς ... vulgo.

Phot. s. εὔθυνος: ἀρχὴ ἦν τις. ἐξ ἑκάστης δὲ φυλῆς ἕνα κληροῦσι· τούτῳ δὲ δύο παρέδρους.

406.

Harpocr. s. λογισταὶ καὶ λογιστήρια: ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ̄, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείληκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν.

Lex. Seg. (Etym. M.) p. 276, 17 λογισταί: ἄρχοντές εἰσι κληρωτοί, δέκα τὸν ἀριθμόν, ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχὴν ἡντινοῦν λόγον ἀπέφερον τῶν διῳκημένων.

Pollux 8, 99: λογισταί. καὶ τούτους ἡ βουλὴ κληροῖ κατ' ἀρχὴν ὡς παρακολουθεῖν τοῖς διοικοῦσιν.

Phot. (Lex. Seg.) s. εὐθύνας: κυρίως ἃς εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς· καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσι, κατηγορεῖ δὲ ὁ βουλόμενος· καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν.

Lex. Seg. (Phot. s. ἡγ. δικ.) p. 310, 6: οἱ λογισταὶ τὰς εὐθύνας ἁπάσας εἰσῆγον.

407.

Lex. rhet. Cantabr. p. 627, 20 (p. 22 Meier) s. λογισταὶ καὶ συνήγοροι: Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτως λέγει „λογισταὶ δὲ αἱρεῖνται δέκα, παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας. καὶ ἄλλοι δέκα συνήγοροι, οἵτινες συναναπρίνουσι τούτοις. καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνονται πρῶτον, εἶτα ἐφίενται εἰς τὸ δικαστήριον, εἰς ἕνα καὶ φ̄.

Schol. in Aristophan. vesp. 691: κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν.

Phot. s. εὐθῦναι: οἱ ἀπολογισμοὶ τῶν ἀρξάντων· καὶ εὔθυνοι οἱ τούτους ἀνακρίνοντες.

408.

Harpocr. s. ἀστυνόμος: ... δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

409.

Harpocr. s. ἀγορανομοι: οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι πέντε μὲν εἰς Πειραιᾶ, πέντε δὲ εἰς ἄστυ.

410.

Harpocr. s. ἐπιμελητὴς ἐμπορίου: ... Ἀριστοτέλης „ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν· τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν".

411.

Harpocr. s. σιτοφύλακες: ... ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε̄, ῑ μὲν ἐν ἄστει, ε̄ δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Photius s. σιτοφύλακες: ἀρχή τις ... ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πεντεκαίδεκα, ῑ ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ· ὕστερον δὲ λ̄ μὲν ἐν ἄστει, ῑ δὲ ἐν Πειραιεῖ.

Lex. rhet. Seg. p. 300, 19 σιτοφύλακες: ἄρχοντες Ἀθήνησι κληρωτοί. οὗτοι δ' ἐπεμελοῦντο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.

412.

Harpocrat. s. μετρονόμοι: ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων ... ἦσαν δὲ τὸν ἀριθμὸν ιε̄, εἰς μὲν τὸν Πειραιᾶ ε̄, ῑ δ' εἰς ἄστυ· εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

Photius (Lex. Seg.) s. μετρονόμοι: ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ· καὶ εἶχον τὴν ἐπιμέλειαν ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων.

413.

Harpocr. s. κατὰ δήμους δικαστάς: ... περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τετταράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ ⟨Ἀθηναίων⟩ πολιτείᾳ.

Pollux 8, 100: οἱ δὲ τετταράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν· μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τοῦ τριάκοντα τετταράκοντα ἐγένοντο.

6 δέκα: cf. schol. Aesch. p. 82, 11 ἑκάστης φυλῆς εἷς. || 13 ἀρχήν τινα Et. M || 16 εὐθύνα ... ἦν Phot. || 28 ἄλλοις ... συνηγόροις cod. || 30 ἀνακρίνοντες cod.

b7 ἀστικὸν Lex. Seg. || 14 τ̄ add. Valesius. || 17 τ̄ om. cod. || 18 τ̄: cod. ε̄. || 27 ε̄, τ̄ Boeckh: τ̄, ε̄ codd. || 38 Ἀθηναίων add. Meier.

Phot. s. τετταράκοντα: κληρωτή τις ἦν Ἀθήνησιν ἀρχὴ μ̄ τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον· ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν, τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν.

Lex. rhet. Seg. p. 306, 15: ἀρχή τίς ἐστι κληρωτὴ τεσσαράκοντα τὸν ἀριθμὸν, πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι δέκα δραχμῶν. τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς διαιτηταῖς παραδιδόασιν.

Lex. rhet. Seg. (ἡγ. δικ.) p. 310, 22: οἱ τεσσαράκοντα . . . οὗτοι, ἕως ἦσαν οἱ τριάκοντα, ἕως δέκα δραχμῶν ἐδίκαζον κατὰ δήμους.

414.

Harpocr. s. διαιτηταί: . . . εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Pollux 8, 126: διαιτηταὶ δ' ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται, καὶ ἀτιμία αφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν. διῄτων δ' ἐν ἱεροῖς. πάλαι δ' οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο. ἔλεγον δὲ ἐπιτρέψαι δίαιταν καὶ ἡ δίαιτα ἐκαλεῖτο ἐπιτροπή. ἡ δ' ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον γένοιτο, εἰς ἐχῖνον τὰς ψήφους ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τὰς τοῦ φεύγοντος καὶ διώκοντος κατεσημαίνοντο.

Hesych. s. διαιτηταί: Ἀθήνησιν ἕτεροί τινες τῶν δικαστῶν, οἷς ἐπέτρεπον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ διῄτων· εἰ δὲ μή, ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ περὶ ἑξήκοντα ἔτη γεγονότες διῄτων.

Lex. rhet. Seg. (**Schol. Plat.** p. 457 Bk.) p. 235, 20: διαιτηταὶ τίνες εἰσί: κριταί. ἦσαν γὰρ διαιτηταί τινες τῶν ἰδιωτικῶν κριταί. εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν αὐτοῖς, εἰσῆγον αὐτοὺς εἰς δικαστήριον. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι οἷς ἑξηκοστὸν ἔτος ἦν. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἐξῆν εἰσαγγέλλειν, καὶ εἴ τις ἑάλω ἀτιμία ἦν τὸ ἐπιτίμιον.

415.

Harpocrat. s. ἐχῖνος: ἔστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. . . . μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Ἀριστοφάνης Δαναΐσιν.

Photius (I, 240 Naber) s. ἐχῖνοι: οἱ μὲν χαλκοῖ, οἱ δὲ ἐκ κεράμου· εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα εἰ ἐγκληθείη ἡ δίαιτα τοῖς δικασταῖς ἐπεδίδουν.

Photius (**Lex. Seg.**) s. ἐχῖνος: καδίσκος τίς ἐστι χαλκοῦς, εἰς ὃν αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων· καὶ κατεσημαίνοντο ἵνα μηδεὶς κακουργήσῃ περὶ τὰ ἐμβαλλόμενα.

416.

Pollux, 8, 62: ἔφεσις δέ ἐστιν ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη. αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοτέλης λέγει.

417.

Harpocr. s. ἐπὶ Παλλαδίῳ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται.

Hesychius ἐπὶ Παλλαδίῳ: δικαστήριον ἔνθα ἐδίκαζον οἱ ἐφέται τοῖς ἀκουσίων φόνων δικαζομένοις.

Eust. in **Od.** p. 1419, 53 (**Suid.** ex **Photio**, **Lex. Seg.** p. 311, 8) ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίου φόνου οἱ ἐφέται.

418.

Harpocr. s. βουλεύσεως: ἐγκλήματος ὄνομα ... ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή. ... μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ.

419.

Harpocrat. s. ἐπὶ Δελφινίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ

2 μ̄: cod. μετὰ. ‖ 9 διαιτηταῖς: δικασταῖς cod. ‖ 29 διῄτων: ita Kühne pro τῶν.
b14 κακουργήσῃ μετὰ τὸ ἅπαξ ἐμβάλλεσθαι Lex. Seg.

ὁμολογοῦντες μὲν ἀπεκτονέναι δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Pollux 8, 119: ... οὗς ὡμολόγει μὲν ἀποκτεῖναι, δικαίως δ' ἔφη τοῦτο δεδρακέναι.

(Suid. ex Phot. ἐπὶ Δ., Hesych. et Lex. Seg. p. 311, 13 s. δικαστήρια) Eustath. in Il. p. 1221, 30: δικαστήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων φασὶ δεδρακέναι μὲν φόνον, κατὰ νόμους δέ.

420.

Schol. in Aristoph. Plut. 278 (cf. schol. ad 277) ὁ δὲ Χάρων τὸ ξύμβολον: περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει „τοῖς γὰρ δικαστηρίοις χρῶμα ἐπιγέγραπται ἐφ' ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. ὁ δὲ λαβὼν τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βαλάνῳ. ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρχήν".

421.

Schol. in Aristoph. vesp. 684 τοὺς τρεῖς ὀβολούς: τὸν φόρον λέγει, ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν πολιτείαις.

Hesych. s. δικαστικόν: Ἀριστοφάνης· ἐν Ὥραις τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο.

Pollux 8, 113: τὸ δικαστικόν, ὅπερ καὶ τριώβολον καὶ δύ' ὀβολὼ καὶ ὀβολὸς ἦν Ἀττικός.

422.

Zenob. 6, 29 (Phot.) s. ὑπὲρ τὰ Καλλικράτους: ... Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

423.

Harpocr s. διαμεμετρημένη ἡμέρα: μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν ... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων.

424.

Harpocrat. s. τετρυπημένη: ... Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ γράφει ταυτί „ψῆφοι δέ εἰσι χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι πλήρεις. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις μήτε τετρυπημένας λαμβάνωσιν".

Photius (Lex. Seguer.) τετρυπημένη ψῆφος: τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν αἱ μὲν ἦσαν τετρυπημέναι ὅσαι καὶ κατεψηφίσαντο, αἱ δὲ πλήρεις ἀτρύπητοι ὅσαι ἠφίεσαν τοὺς κρινομένους.

425.

Lex. rhet. Cantabrig. p. 670, 30 (p. 18 Meier) s. ἴσαι αἱ ψῆφοι αὐτῶν: ἐγένοντο δὲ ἴσαι ψῆφοι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· „καὶ ἦσαν τοῦ μὲν διώκοντος αἱ τετρυπημέναι, τοῦ δὲ φεύγοντος αἱ πλήρεις· ὁποτέρῳ δ' ἂν πλείους γένωνται, οὗτος ἐνίκα· ὅτε δὲ ἴσαι, ὁ φεύγων ἀπέφυγεν", ὡς καὶ Θεοδέκτης ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

426.

Schol. Aristoph. equit. 1150 κημόν: ... κημὸς ὁ ἐπὶ τοῦ καδίσκου εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις σχοίνινον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος· καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθημα εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι· πρὸς τοῦτο οὖν ὁ κημός.

Pollux 8, 123: ψήφους δ' εἶχον χαλκᾶς δύο, τετρυπημένην καὶ ἀτρύπητον, καὶ κάδον ᾧ κημὸς ἐπέκειτο δι' οὗ καθίετο ἡ ψῆφος. αὖθις δὲ δύο ἀμφορεῖς, ὁ μὲν χαλκοῦς ὁ δὲ ξύλινος, ὁ μὲν κύριος ὁ δὲ ἄκυρος· τῷ δὲ χαλκῷ ἐπῆν ἐπίθημα μιᾷ ψήφῳ χώραν ἔχον.

427.

Schol. in Aristoph. vesp. 578 παίδων τοίνυν δο-

15 lacunam ind. Dobraeus, sic explet Dindorf: τέ ἐστιν ἴδιον ἑκάστῳ καὶ γράμμα. ‖ 36 μισθοὺς: δικαστικοὺς μισθοὺς Phot.
b9 post πλήρεις add. ABCD μήτε ταύτη (ταῦτα A) ὑπομείνας. ‖ 13 μήτε τετρυπημένας: ita ex Harp. Phot., μήτε ταύτη (ταύτας C) ABC et Suid. i. e. μὴ τετρυπη (...) ut supra. ‖ 20 haec, coll. Harp. et Photio, qui eodem fonte utuntur, sic fere sunt redintegranda: ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο: Αἰσχίνης κατὰ Κτησιφῶντος ... ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκομένων. ἀπολύονται γὰρ οἱ διωκόμενοι ἀπὸ τῶν δικαζομένων κἂν ἴσαι γένωνται ψῆφοι, ὡς Ἀριστοτέλης . . .

κιμαζομένων: πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται οἳ νεώτεροι μὴ ἐτῶν ιη εἶεν.

428.

Harpocrat. s. περίπολος: ... Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως „τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξάμενοι τῷ δήμῳ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις".

429.

Harpocrat. s. στρατεία ἐν τοῖς ἐπωνύμοις: ...τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων „εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ ἐνεγράφησαν ὁ ἐπώνυμος καὶ ὁ τῷ προτέρῳ ἔτει δεδιῳκηκώς· νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται". καὶ μετ' ὀλίγα „χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσιν ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι".

Harpocr. s. ἐπώνυμοι: ... διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν $\bar{\iota}$ τὸν ἀριθμὸν ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ $\bar{\beta}$ καὶ $\bar{\mu}$ ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἀπὸ $\overline{\iota\eta}$ ἐτῶν μέχρις $\bar{\xi}$.

Etym. M. p. 369, 16 (**Lex. Seg.** p. 245, 17) s. ἐπώνυμοι: διττοί εἰσιν οὗτοι, οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν· καὶ εἰσὶ δύο καὶ τεσσαράκοντα οἳ καλοῦνται καὶ λήξεων ἐπώνυμοι· οἱ δὲ δέκα ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν, οἷον Ἐρεχθεύς, Αἰγεύς, Πανδίων, Λεώς, Ἀκάμας, Οἰνεύς, Κέκροψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος. ταῦτα δὲ τὰ δέκα ὀνόματα ἀπόροις ὁ Πύθιος εἵλετο, Κλεισθένους οὕτω διαταξαμένου τὸ πᾶν πλῆθος εἰς δέκα φυλάς.

430.

Harpocr. s. ἀδύνατοι: ... οἱ ἐντὸς τριῶν μνῶν κεκτημένοι τὸ σῶμα πεπηρωμένοι. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς δύο ὀβολοὺς τῆς ἡμέρας ἑκάστης ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ... ἔστι δὲ καὶ λόγος τις ὡς Λυσίου περὶ τοῦ ἀδυνάτου ἐν ᾧ ὡς ὀβολὸν λαμβάνοντος μέμνηται.

Synag. lex. Seg. (**Lex. Seg.** p. 200, 3) p. 345, 15 ἀδύνατοι: οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος ὡς μηδὲ ἐργάζεσθαι· οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτῶν τῶν ἐντὸς τριῶν μνῶν περιουσίαν κεκτημένων. ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν πεντακοσίων βουλῆς καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας ὀβολὸν ἕνα . . . Ἀριστοτέλης δὲ δύο ἔφη.

Hesych. ἀδύνατοι: οἱ ἐντὸς κεκτημένοι τριῶν μνῶν παρὰ Ἀττικοῖς. ἐλάμβανον δὲ παρὰ τῆς βουλῆς δύο ὀβολούς.

431.

Harpocr. p. 140, 17: Ὅτι νόμος ἐστὶν ὑπὲρ τεσσαράκοντα ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Αἰγινητῶν.

432.

Athenaeus VI p. 272[d]: Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν πολιτείᾳ καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων.

Schol. (**Vrat. A**) **Pindari Olymp.** 8, 30: οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης.

Αἰτωλῶν.

433.

Strabo VII p. 321: ὅτι δὲ πλάνητες (οἱ Λέλεγες) καὶ μετ' ἐκείνων (τῶν Καρῶν) καὶ χωρὶς καὶ ἐκ παλαιοῦ καὶ αἱ Ἀριστοτέλους πολιτεῖαι δηλοῦσιν. ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων φησὶ τὸ μὲν ἔχειν αὐτῆς Κουρῆτας, τὸ δὲ προσεσπέριον Λέλεγας, εἶτα Τηλεβόας· ἐν δὲ τῇ τῶν Αἰτωλῶν τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ· κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν. ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων· ἐν δὲ τῇ Λευκαδίων καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.

Ἀκαρνάνων.

434.

Strabo VII p. 321: ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων

2 scil. εἰς τὸ ληξιαρχικὸν γραμματεῖον. || 8 παρὰ τοῦ δήμου τὰς τ. Valesius. || 14 εἰσὶ γάρ φησιν Phot. Suid., om. v. λέγων. || 18 ἐπεγράφησαν codd. item Phot. Suid., corr. Bekk. || ὁ ἐπ. καὶ ὁ: καὶ ἐπ. ὁ codd. || 19 δεδιῳκηκώς: δεδεικτικῶς codd. BD, δεδεικτικώς G, δὲ δεικτικῶς AC (καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἐπιδεδημηκώς Phot. et Suid.). || 32 Ἀκαμας: ἀλμᾶς codd. || 34 ἀπόροις: ἄπορα codd. cf. Phot. (Et. M. v. 9—11) s. ἐπώνυμοι (ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖς φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆσαι). || Κλεισθένης . . . διαταξάμενος codd. || 39 codd. πεπηρωμένον.

b4 αὐτῶν Müll.: αὐτοῖς cod., f. αὐτῆς. || 9 τριῶν περὶ (om. μνῶν) cod.

(πολιτείᾳ Ἀριστοτέλης) φησὶ τὸ μὲν ἔχειν αὐτῆς Κουρῆτας, τὸ δὲ προσεσπέριον Λέλεγας, εἶτα Τηλεβόας.

435.

Schol. in Pind. Nem. 3, 27 παγκρατίου στόλῳ: ... Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι.

Ἀκραγαντίνων.

436.

Pollux 4, 174: Ἀριστοτέλης δὲ ἐν μὲν Ἀκραγαντίνων πολιτείᾳ προειπὼν ὡς ἑζημίουν πεντήκοντα λίτρας, ἐπάγει „ἡ δὲ λίτρα δύναται ὀβολὸν Αἰγιναῖον".

Pollux 9, 80: καὶ μὴν ἐν Ἀκραγαντίνων πολιτείᾳ φησὶν Ἀριστοτέλης ζημιοῦσθαί τινας τριάκοντα λίτρας, δύνασθαι δὲ τὴν λίτραν ὀβολὸν Αἰγιναῖον.

(Etymol. Gud. p. 371, 22) Hesych. s. λίτρα: ὀβολός.

Ἀμβρακιωτῶν.

437.

Stephani Byz. epit. s. Δεξαμεναί: μέρος τῆς Ἀμβρακίας, ἀπὸ Δεξαμενοῦ τοῦ Μεσόλου παιδὸς καὶ Ἀμβρακίας τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου. τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν πολιτείᾳ.

(Ἀνταν δρίων.)

438.

Steph. Byz. s. Ἄνταν δρος: πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀνταν δρου τοῦ στρατηγοῦ Αἰολέων. τὸ ἐθνικὸν Ἀνταν δριος. Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι, καὶ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη.

Plin. n. h. 5, 123: *rursus in litore Antandros Edonis prius vocata, dein Cimmeris.*

Ἀργείων.

439.

Plin. 7, 195: *turres, ut Aristoteles, Cyclopes (invenerunt).*

440.

Pollux 10, 179: εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρὸν ἀπὸ τῶν Φειδωνίων μέτρων ὠνομασμένων, ὑπὲρ ὧν ἐν Ἀργείων πολιτείᾳ Ἀριστοτέλης λέγει.

441.

Strabo VIII p. 373 Cas.: Δρυόπων δ' οἰκητήριόν φασι καὶ τὴν Ἀσίνην ... ἐκ τῶν περὶ Σπερχειὸν τόπων ὄντας αὐτοὺς Δρύοπος τοῦ Ἀρκάδος κατοικίσαντος ἐνταῦθα, ὡς Ἀριστοτέλης φησίν.

Ἀρκάδων.

442.

Harpocr. p. 280: μύριοι ἐν Μεγάλῃ πόλει ... συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ ἀρχόμενος τοῦ βιβλίου.

Photius s. μυοίων: συνέδριον ἦν μυρίων ἐν Μεγάλῃ πόλει τῆς Ἀρκαδίας.

Lex. Seg. p. 280, 4 μύριοι: οὓς Θηβαῖοι συνῴκισαν πάλαι διῳκισμένους διὰ τὴν πρὸς Λακεδαιμονίους ἔχθραν.

Ἀχαιῶν.

Testatur Sopater (Phot. bibl. cod. 161).

Βοττιαίων.

443.

Plutarch. Thes. 16: ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· ἀφορία τε γὰρ καὶ νόσος ἐπέσκηψε πολλὴ καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τοῦ θεοῦ προστάξαντος ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ μήνιμα καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, ἐπικηρυκευσάμενοι καὶ δεηθέντες ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν δασμὸν ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ Λαβυρίνθῳ διαφθείρειν ... Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν ... Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν. καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων συνεξελθεῖν. ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι πρῶτον μὲν εἰς Ἰταλίαν διαπεράσαι κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι καὶ κληθῆναι Βοττιαίους· διὸ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν „ἴωμεν εἰς Ἀθήνας".

Plutarch. quaest. Graec. 35: Τί δή ποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις „ἴωμεν

εἰς Ἀθήνας"; Κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικῆσαι, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν ἀναμεμιγμένων αὐτοῖς Ἀθηναίων. ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠιθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. ἐξ ἐκείνων οὖν τινὲς γεγονότες καὶ νομιζόμενοι Κρῆτες εἰς Δελφοὺς συναπεστάλησαν· ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους ᾖδον ἐν ταῖς ἑορταῖς „ἴωμεν εἰς Ἀθήνας".

Γελώων.

444.

Schol. in Pind. Pyth. 1, 89 καμάτων δ' ἐπίλασιν παράσχοι: καμάτων φησὶ τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Γελώων πολιτείᾳ Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ δυσουρίᾳ δυστυχῆσαι.

Plutarchus de Pyth. orac. 19: ἴστε τοίνυν ὅτι Γέλων μὲν ὑδρωπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννησεν.

Δελφῶν.

445.

Collectio proverbiorum Milleri s. τὸ Αἰσώπειον αἷμα: αὕτη λέγεται κατὰ τῶν δυσαποτρίπτοις ὀνείδεσι περιπεπταικότων· τοῖς γὰρ Δελφοῖς ἀνελοῦσιν τὸν Αἴσωπον συνέβη τὸ δαιμόνιον χαλεπῆναι, ὡς μέμνηται καὶ Ἀριστοτέλης ἐν τῇ Δελφῶν πολιτείᾳ.

Zenob. 1, 47 (Diog. 1, 46) s. Αἰσώπειον αἷμα: ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. ἐπειδὴ τοῖς ⟨Δελφοῖς⟩ ἀδίκως τὸν Αἴσωπον ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον. καὶ διὰ τοῦτο τὴν Πυθίαν φασὶν ἀνηρηκέναι αὐτοῖς ἱλάσκεσθαι τὸ ἐπὶ Αἰσώπῳ μύσος. οὕτω γὰρ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος ὡς μυθεύεται αὐτὸν ἀναβιῶναι, ὡς Τυνδάρεων καὶ Ἡρακλῆν καὶ Γλαῦκον.

Δηλίων.

446.

Plinius n. h. 4, 66: *hanc (Delum) Aristoteles ita appellatam prodidit, quoniam repente apparuerit enata. Aglaosthenes Cynthiam, alii Ortygiam, Asteriam, Lagiam, Chlamydiam, Cynethum, Pyrpilen igne ibi primum reperto.*

Schol. Apoll. Rh. 1, 308: Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος, ἣ πρὶν μὲν ἄδηλος, ὕστερον δὲ Ἀστερία ... πάλιν δὲ Ὀρτυγία ...

Etym. M. p. 264, 22: Δῆλος: ἡ ἱερὰ τοῦ Ἀπόλλωνος. εἴρηται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ ὁ Ζεὺς δήλην ἐποίησε καὶ ἀνέδωκε.

447.

Diogenes Laert. 8, 13: ἀμέλει καὶ βωμὸν προσκυνῆσαι (Πυθαγόραν φασὶν) μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ.

Iamblichus de vita Pythag. 25: λέγεται δὲ περὶ τὸν αὐτὸν χρόνον θαυμασθῆναι αὐτὸν περὶ τὴν Δῆλον προσελθόντα μόνον πρὸς τὸν ἀναίμακτον, λεγόμενον δὲ τοῦ γενέτορος Ἀπόλλωνος βωμὸν καὶ τοῦτον θεραπεύσαντα.

ibid. 35: καθάπερ καὶ πρότερον ὅτε εἰς Δῆλον κατέπλευσεν· ἐκεῖ τε γὰρ πρὸς μόνον τὸν βωμὸν τὸν τοῦ γενέτορος Ἀπόλλωνος προσευξάμενος, ὃς μόνος ἀναίμακτός ἐστιν, ἐθαυμάσθη παρὰ τοῖς ἐν τῇ νήσῳ.

448.

Athen. VII p. 296c: Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων πολιτείᾳ (Γλαῦκόν φησι τὸν θαλάττιον δαίμονα) ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν Νηρηΐδων τοῖς θέλουσι μαντεύεσθαι.

(Ἐπιδαυρίων.)

449.

Strabo VIII p. 374: ἡ Ἐπίδαυρος δ' ἐκαλεῖτο Ἐπίκαρος. φησὶ γὰρ Ἀριστοτέλης κατασχεῖν αὐτὴν Κᾶρας, ὥσπερ καὶ Ἑρμιόνην, τῶν δ' Ἡρακλειδῶν κατελθόντων Ἴωνας αὐτοῖς συνοικῆσαι τοὺς ἐκ τῆς Ἀττικῆς τετραπόλεως συνεπομένους εἰς Ἄργος.

Steph. s. Ἐπίδαυρος: πόλις πρὸς τῷ Ἄργει θηλυκῶς λεγομένη ... τινὲς δὲ Λειμήρην ... ἐκαλεῖτο καὶ Μειλισσία καὶ Αἰμηρὰ διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν ... εἶτα Ἐπίταυρος καὶ Ἐπίδαυρος.

26 Hoc fragmentum cum aliis duobus ad academiam Berolinensem misit Millerus litteris rogatus. vid. supra not. ad p. 1535, 5. ‖ 30 περιπεπτηκότων cod. („f. περιπεπτωκότων" Millerus, ut ἐμπεπτωκότων prov. Bodl. et Vat. II, 187 ed. Gotting.). ‖ 35 Δελφοῖς ex Diogeniano etc. addidit Schottus.

b3 *a venatibus Lagia vel Cynetho* Solinus, Πελασγία Steph. ‖ *Chlamydiam* vulgo: *cheran muidian* (A), *cerani mydyan, ceranymidyam* codd. ‖ *cynetum* codd. ‖ 20 μόνον: αὐτὸν codd. ‖ δὲ: καὶ codd. ‖ 29 θέλουσι: θεοῖς cod. Marc. ‖ 35 ἐπίκαρος Str. epit. Vat.: ἐπίταυρος codd. et Stephanus Byz. ‖ 42 Ἐπίταυρος: sic ex Stephano etiam Eustathius.

Ἠλείων.

450.

Harpocr. (Lex. Seg., Etym. M.) s. ἑλλανοδίκαι: ... Ἀριστοτέλης Ἠλείων πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους ἑλλανοδίκην, χρόνου δὲ διελθόντος $\overline{\beta}$, τὸ δὲ τελευταῖον $\overline{\theta}$. Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα ἑλλανοδίκας εἶναι $\overline{\iota}$, ἀφ' ἑκάστης φυλῆς ἕνα.

Schol. in Pind. Olymp. 3, 22: περὶ δὲ τοῦ τῶν ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός φησι καὶ Ἀριστόδημος, ὅτι τὸ μὲν πρῶτον $\overline{\beta}$, τὸ δὲ τελευταῖον $\overline{\iota}$· τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαὶ καὶ ἀφ' ἑκάστης εἷς ἦν ἑλλανοδίκης.

451.

Strabo VIII p. 345: τινὲς δὲ ὅλην μὲν (τὴν νῦν Ἠλείαν) μὴ κατασχεῖν αὐτούς (τοὺς Καύκωνας), δίχα δὲ μεμερισμένους οἰκεῖν, τοὺς μὲν πρὸς τῇ Μεσσηνίᾳ κατὰ τὴν Τριφυλίαν, τοὺς δὲ πρὸς τῇ Δύμῃ κατὰ τὴν Βουπρασίδα καὶ τὴν κοίλην Ἦλιν· Ἀριστοτέλης δ' ἐνταῦθα (περὶ Δύμην καὶ Ἦλιν καὶ τὸν Καύκωνα) μάλιστα οἶδεν ἱδρυμένους αὐτούς.

Ἠπειρωτῶν.

452.

Steph. Byz. ep. s. Ἀμύνται: ἔθνος Θεσπρωτικόν. ... Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν πολιτείᾳ.

Θετταλῶν.

Testis Sopater (Phot. bibl. cod. 161).

453.

Iunius Philargyrius (Iunilius Flagrius) in Virgil georg II, 97 *sunt et Aminaeae (vites): Aminaeos Aristoteles in politiis hoc scribit Thessalos fuisse, qui suae regionis vites in Italiam transtulerint, atque illis inde nomen impositum.*

Hesychius s. Ἀμιναῖον: δι' ἑνὸς ν, τὸν οἶνον λέγει· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται.

Macrobius saturn. 3, 20, 6: *uvarum ista sunt genera, Aminaea, scilicet a regione, nam Aminaei fuerunt ubi nunc Salernum est.*

Plinius n. h. 3, 70: *a Surrento ad Silarum amnem triginta milia passuum ager Picentinus fuit Tuscorum, templo Iunonis Argivae ab Iasone condito insignis. intus oppidum Salerni, Picentia.*

454.

Eustath. in Odyss. ν, 408 p. 1746 Rom. (de proverbio ἐς κόρακας**):** Παυσανίας δέ φησιν ὅτι Βοιωτοῖς (ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις) ἔχρησεν ὁ θεός, ἔνθα λευκοὶ κόρακες αὐτοῖς ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. ἰδόντες οὖν φησὶ κόρακας πετομένους περὶ τὸν Παγασητικὸν κόλπον (τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς), οὓς ἄκακοι παῖδες ἐγύψωσαν, καὶ (τελεῖσθαι τὸν χρησμὸν φήσαντες) ᾤκησαν ἐκεῖ καλέσαντες τὸ χωρίον Κόρακας. ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς ἔπεμπον ἐκεῖ τοὺς φυγαδευομένους. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι Ἀριστοτέλης ἱστορεῖ λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐπαοιδαῖς ἀφιέναι ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ φεῦγ' εἰς κόρακας.

Photius lex. s. ἐς κόρακας: Βοιωτοῖς ὁ θεὸς ἔχρησεν ὅπου ἂν λευκοὶ κόρακες ὀφθῶσιν, ἐκεῖ κατοικεῖν· περὶ δὲ τὸν Παγασητικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας ἰδόντες περιπετομένους τοὺς Ἀπόλλωνος ᾤκησαν χωρίον Κόρακας. ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς τοὺς φυγαδευομένους ἐς αὐτὸ ἔπεμπον. οἱ δὲ ὡς τοῦ ζώου ἀναιδοῦς καὶ δυτικοῦ τῶν ἀνθρώπων ὄντος. Ἀριστοτέλης δέ φησι λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐᾶν ζῶντας, καὶ ἐπιλέγειν τῷ λοιμῷ φεῦγ' ἐς κόρακας.

[**Eustath. in Il. α, 359 p. 117** ὅθεν καὶ ζῶα δύτικα παρ' Ἀριστοτέλει τὰ καθ' ὕδατος δυόμενα.]

455.

Harpocrat. s. τετραρχία: τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς. ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν Φθιῶτιν Πελασγιῶτιν Ἑστιαιῶτιν. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ πυρροῦ διῃρῆσθαί φησιν εἰς $\overline{\delta}$ μοίρας τὴν Θετταλίαν.

456.

Schol. (Vat.) ad Eurip. Rhes. v. 307 (p. 296 Cobet, p. 29 t. I Dind.) πολλὰ πελταστῶν τέλη: πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως „διελὼν δὲ τὰς πόλεις Ἀλεύας ἔταξε κατὰ τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, πελτα-

33 *politiis*: *politicis* vulgo (*polypticis* cod. Guelph.). ‖ 37 Πικεντία Voss. ‖ 40 *Falernum* codd. (rec., uno excepto, saec. XV).
b4 (7,9) quae uncis inclusa sunt supplevi ex schol. in Aristoph. nub. 133. ‖ 8 ὑπὸ μέθης scil. ut in schol. ‖ 20 τοῦ Ἀπόλλωνος cod. (i. e. τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς, ut habet schol. Aristoph.). ‖ 23 δυτικοῦ (δυντικοῦ): δυνατικοῦ cod. (δυσοιωνιστικοῦ Suid.). ‖ 43 τὰς πόλεις: τὴν πέλιν cod. ‖ Ἀλεύας: ἀλόας cod. ‖ κατὰ: καὶ cod. ‖ 44 πελταστὰς Cobet: ὁπλίτας cod.

στὰς δὲ ὀγδοήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα (οὐδ') ἐπίχαλκος (οὐδὲ βοὸς ἀλλ') αἰγὸς (ἢ οἰὸς) δέρματι περιτεταμένη. καὶ τριάκοντα (ὁπλίτας), οἳ μικρὸν δόρυ πάντες ἐφόρουν ὃ σχέδιον ἐκαλεῖτο.

(Phot., Lex. Seg. s. πελτασταί) Eustath. in Il. μ, 295 p. 905, 59: τὸ δὲ χαλκείη δέδωκε τοῖς μεθ' Ὅμηρον ἐπίχαλκον ἀσπίδα εἰπεῖν πρὸς διαστολήν, φασί, τῆς πέλτης. ἡ γὰρ πέλτη οὔτε ἴτυν ἔχει, καὶ αἰγὸς ἢ οἰὸς περιέσταλται δέρματι. — p. 911, 63: ὅτι δὲ καὶ ἡ πέλτη ἀσπὶς ἦν δέρματι κεκαλυμμένη αἰγὸς ἢ οἰὸς προείρηται.

Hesych. s. πέλτη: ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

Schol. in Plat. legg. VII p. 453 Bk.: πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει οὐδ' ἔστιν ἐπίχαλκος οὐδὲ βοὸς ἀλλ' αἰγὸς δέρματι περιτεταμένη.

457.

Athen. XI p. 499: λάγυνον δὲ μέτρου λέγουσιν εἶναι ὄνομα παρὰ τοῖς Ἕλλησιν, ὡς χοὸς καὶ κοτύλης, χωρεῖν δ' αὐτὸ κοτύλας Ἀττικὰς δώδεκα. ... Ἀριστοτέλης δ' ἐν τῇ Θετταλῶν πολιτείᾳ θηλυκῶς λέγεσθαί φησιν ὑπὸ Θετταλῶν τὴν λάγυνον.

458.

Ammonius de diff. voc. p. 147 Valck. s. χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρου Ἰλιάδος· ἡ μὲν χλαῖνα ἡρωικὸν φόρημα, χλαμὺς δὲ Μακεδονικόν, ... διαφέρειν φησὶ καὶ τῷ σχήματι· ἡ μὲν γὰρ χλαῖνα τετράγωνον, φησίν, ἱμάτιον, ἡ δὲ χλαμὺς εἰς κύκλον περὶ τὰ κάτω συνῆκται. καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. προσάγεται Ἀριστοτέλην Φύλαρχον Πολέμωνα ὅτι πολὺ διαφέρουσιν.

Schol. ad Il. β, 183 χλαῖναν: χλαῖνα ἡ τετράγωνος, χλαμὺς ἡ εἰς ὀξὺ λήγουσα.

Pollux 10, 124: Ὅμηρος καὶ τὰ λεπτὰ (ἱμάτια) χλαίνας καλεῖ· οἱ μέντοι Ἀττικοὶ τὸ λεπτὸν χλανίδα καὶ τὸ ἱππικὸν χλαμύδα, ὡς Θετταλῶν.

(Θηβαίων.)

459.

Schol. in Dionys. Thrac. gramm. (in Bekkeri An. Gr. t. II) p. 783, 1: τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασί. τινὲς δὲ τῆς Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκτορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις καὶ Ἀριστοτέλης λέγει. φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα.

ibid. schol. p. 786, 1: τῶν στοιχείων ὁ Κάδμος εὑρετής ἐστιν, ὥς φησιν Ἔφορος καὶ Ἀριστοτέλης. ἄλλοι δὲ λέγουσιν ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα.

Plinius 7, 192: *litteras semper arbitror Assyriis fuisse, sed alii apud Aegyptios a Mercurio, ut Gellius, alii apud Syros repertas volunt. utique in Graeciam intulisse e Phoenice Cadmum sedecim numero, quibus Troiano bello Palamedem adiecisse quattuor hac figura* ΖΘΦΧ, *totidem post Simonidem melicum* ΗΞΨΩ, *quarum omnium vis in nostris recognoscitur. Aristoteles decem et octo priscas fuisse* ΑΒΓΔΕΖΙΚΛΜΝΟΠΡΣΤΥΦ *et duas ab Epicharmo additas* ΘΧ *quam a Palamede mavolt.*

Plin. 7, 195: *lapicidinas Cadmus Thebis (invenit).*

Plin. 7, 197: *auri metalla et flaturam Cadmus Phoenix ad Pangaeum montem.*

Clem. Alex. strom. 1, 75 p. 132 Sylb.: Κάδμος δὲ ὁ Φοίνιξ λιθοτομίαν ἐξεῦρε καὶ μέταλλα χρυσοῦ τὰ περὶ τὸ Παγγαῖον ἐπενόησεν ὄρος.

460.

Zenob. prov. 6, 17 τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ: ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. τὸ οὖν „ἵνα ἥρως γένῃ" κατ' εὐφημισμὸν εἴρηται.

Phot. lex. s. τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ: κέχρηται αὐτῇ Πλάτων ἐν Μενελάῳ, παρὰ δὲ τὴν ἱστορίαν· οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρισάμενοι οὐδ' ἡστινοσοῦν τιμῆς ἠξιοῦντο.

(Ἰασέων.)

461.

Schol. BL in Iliad. β, 126 ἐς δεκάδας διακοσμηθεῖμεν: ἔθος πλείονας τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν πολιτείαις φησίν.

2 quae uncis inclusa sunt, addidi ex Eust. et lexicis. ‖ 3 ὁπλίτας om. cod. ‖ 4 οἳ Cobet: ἢ cod. ‖ μικρόν Pflugk: μακρόν cod. ‖ 29 κύκλον (cf. Ptol. Asc. et Cyrill. gl. χλαῖνα): τέλειον vulgo. ‖ 30 καὶ τοὺς: ὥστε τοὺς Scal. ‖ 43 τινὲς δὲ τῆς C. Müller: τῆς δὲ cod. ‖ 44 διάκτορον: διόσκορον cod.

b13 ΖΘΦΧ (cf. Bekk. Anecd. II p. 782): ΘΞΦΧ Sillig. ‖ 14 ΗΞΨΩ: ΖΗΨΩ Sillig. cf. var. lect. ed. Sillig. et Franz elem. epigr. p. 12.

Exc. polit. Heraclid. (p. 28 Schn.) Ἰασέων: τούτοις οὐκ ἐζῆν ἐν γάμοις πλείους ἐστιᾶν ⟨τῶν⟩ δέκα καὶ γυναικῶν ἴσων οὐδὲ γάμους ποιεῖν πλεῖον ἡμερῶν δύο.

Ἰθακησίων $\overline{\mu\beta}$.

462.

Etymol. Magn. p. 144, 22 (**Eudoc.** p. 394) s. Ἀρκείσιος: ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως . . . Ἀριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων πολιτείᾳ, τὸν Κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαλληνίαις νήσοις, ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρόμενον τὸν θεὸν κελευσθῆναι ᾧ ἂν ἐπιτύχῃ θήλει συγγενέσθαι· παραγενόμενον δὲ εἰς τὴν πατρίδα καὶ δὴ ἐντυχόντα ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι, τὴν δὲ ἐγκύμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα καὶ τεκεῖν παῖδα, Ἀρκείσιον ἀπὸ ἄρκτου.

Io. Tzetzes in Antehomerica sua 479 (p. 34 Schirach) Κεφαλλῆνες: Κεφαλλῆνες λέγονται ἀπὸ Κεφάλου τοῦ Δηιονέως, τοῦ Ἀρκεισίου πατρός· κυριεύσας γὰρ τῆς χώρης οὕτως αὐτὴν ὠνόμασε. τούτῳ τῷ Κεφάλῳ ἄπαιδι ὄντι ἐδόθη χρησμὸς παιδοποιῆσαι μιγέντα τῷ ἐντυχόντι θήλει· ὃς ἄρκτῳ μιγεὶς τὸν Ἀρκείσιον ἔτεκεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ.

Exc. pol. Heracl. (p. 27 Schn.): Κεφάλῳ μαντευσαμένῳ περὶ παίδων ὁ θεὸς εἶπεν, ᾧ ἂν ἐντύχῃ πρῶτον συγγενέσθαι· τὸν δὲ περιτυχεῖν ἄρκτῳ καὶ πλησιάσαντα γεννῆσαι γυναῖκα, ἐξ ἧς τὸν Ἀρκείσιον φερωνύμως ὀνομασθῆναι.

463.

(**Eudoc.** p. 77) **Eustath. in Odyss.** π, 118 p. 1796 **Rom.**: Ἀριστοτέλης δὲ ἐν Ἰθακησίων πολιτείᾳ καὶ Ἑλλάνικος δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν.

464.

Plutarch. quaest. Graec. 14: Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι καὶ τίς ὁ φάγιλος; τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη, τὴν δὲ ποινὴν τῷ υἱῷ καθιερώσας ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους· ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἄλες, ἱερεῖα πρεσβύτερα φαγίλων. φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος κατέμιξεν εἰς τοὺς πολίτας καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου καὶ Βουκολιδῶν ἀπὸ Φιλοιτίου.

Hesych. φάγιλος: ἀμνός.

465.

Tzetzes ad Lycophr. 799 (p. 790 **Müller**) μάντιν δὲ νεκρὸν (Εὐρυτὰν στέψει λεώς): Ἀριστοτέλης φησὶν ἐν Ἰθακησίων πολιτείᾳ Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας ὀνομασθὲν ἀπὸ Εὐρύτου, παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως.

466.

Phot. lex. s. σκυτάλη: ἐπιστολὴ Λακωνική. ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπίμηκες. δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι, καὶ τὴν μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιεῖλλον τὴν σκυτάλην καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς δεχόμενος τὸν ἱμάντα τῇ ἑαυτοῦ σκυτάλῃ περιείλιττεν καὶ ἀνεγίνωσκεν οὕτω τὰ γεγραμμένα. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ σκυτάλη καὶ αὐτὸ τὸ ξύλον ἀφ' οὗ καὶ ἡ ἐπιστολή. Διοσκουρίδης δὲ ἐν τοῖς περὶ νομίμων τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι, καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ' αὐτῇ καὶ ἀλλοίως, ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ $\overline{\mu\beta}$.

Schol. Pind. Olymp. 6, 154 . . . ἄλλοι δὲ ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες ἐγγράφοντες αὐτῶν τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα καὶ οὕτω σφραγίζοντες.

Ἰμεραίων.

467.

Pollux 4, 174: ἐν δὲ Ἰμεραίων πολιτείᾳ φησὶν (Ἀριστοτέλης) ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι, τὸν δὲ ἕνα οὐγκίαν, τοὺς δὲ τέτταρας τριᾶντα, τοὺς δὲ ἓξ ἡμίλιτρον, τὸν δὲ ὀβολὸν λίτραν,

27 lacunam signif. C. Müller.
6 vulgo Βουκολιῶν. cf. Eust. ad Il. ο, 338 p. 1018. ‖ 21 περιεῖλον cod. (περιείλουν Suid.). ‖ 32 αὐτῇ: αὐτὸ cod. (αὐτῷ Suid.). ‖ ἀλλοίως Suid.: ἄλλοι Phot. ‖ 33 $\overline{\mu\beta}$: ita Phot. et Suid. ‖ 43 τέτταρας Boeckh: τρεῖς vulgo.

τὸν δὲ Κορίνθιον στατῆρα δεκάλιτρον ὅτι δέκα ὀβολοὺς δύναται.

Poll. 9, 80: ἀλλὰ μέντοι παρ' αὐτῷ τις ἂν ἐν τῇ Ἱμεραίων πολιτείᾳ καὶ ἄλλα εὕροι Σικελικῶν νομισμάτων ὀνόματα, οἷον οὐγκίαν, ὅπερ δύναται χαλκοῦν ἕνα, καὶ ἑξᾶντα, ὅπερ ἐστὶ δύο χαλκοῖ, καὶ τριᾶντα, ὅπερ τέτταρες, καὶ ἡμίλιτρον, ὅπερ ἕξ, καὶ λίτραν, ἣν εἶναι ὀβολόν· τὸ μέντοι δεκάλιτρον δύνασθαι μὲν δέκα ὀβολούς, εἶναι δὲ στατῆρα Κορίνθιον.

Κείων.

Testis Sopater (Phot. bibl. cod. 161).

468.

Schol. in Theocrit. id. 5, 53 (p. 194 Ahrens) στασῶ (δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος ταῖς νύμφαις, στασῶ δὲ καὶ ἀδέος ἄλλον ἐλαίω): πάρισον ἔλαιον ἐκτίθησι ταῖς νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης.

Exc pol. (Κείων) **Heraclid.** (p. 13, 16 Schn.): Ἀρισταῖον δέ φασι μαθεῖν παρὰ μὲν νυμφῶν τὴν προβάτων καὶ βοῶν ἐπιστήμην, παρὰ δὲ βρισῶν τὴν μελιττουργίαν.

(Hes.) Etym. M. p. 213, 55 βρίσαι: νύμφαι οὕτω καλούμεναι, ἢ ὅτι βλίσαι· καὶ γὰρ μελισσουργίαν αὗται τὸν Ἀρισταῖον ἐδίδαξαν· τροπῇ τοῦ λ̄ εἰς ρ̄. ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν, τὴν ἐλαίαν, ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξαν Ἀρισταίῳ τὴν διὰ τῆς ἀμβροσίας. ἢ ἀπὸ τοῦ βρίζαι καὶ κατακοιμίσαι αὐτὸν καὶ καταβαυκαλίσαι, ὅτι ἐτιθήνουν αὐτόν.

Κερκυραίων.

469.

Schol. Laurent. in Apollon. Rhod. 4, 983 (p. 512, 20 Keil) ᾗ ὕπο δὴ κεῖσθαι δρέπανον: ἡ νῆσος ἡ Κέρκυρα. αὕτη πρότερον Σχερία ἐκαλεῖτο. ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ. φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι.

Stephanus. Byz. s. Σχερία: ἡ Φαιακία. κέκλη-ται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητρα φοβουμένην . . . κληθῆναι.

470.

Schol. in Aristoph. av. 1463 Κορκυραῖα: λέγεταί τις Κορκυραία μάστιξ. συνεχῶς δὲ παρὰ Κορκυραίοις ἀταξίαι γίνονται· διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώποις. ἄλλως. λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις „Κορκυραῖαι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες". ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοτέλης δὲ τὸ Κορκυραία μάστιξ λέγων φησὶν οὕτως· „διὸ καὶ τὰς κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς· ὅθεν ἡ Κορκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε". ταῦτα δὲ λέγων τύπτει αὐτόν.

Zenobius prov. 4, 49 = **Hesychius** s. Κερκυραία μάστιξ: περιττήν τινα τὴν κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες· διὸ καὶ εἰς παροιμίαν παρῆλθον. οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι, εἶχον δὲ ἐλεφαντίνους κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀριστοτέλης γενέσθαι.

Collectio proverbiorum Milleri (= **Plut. prov.** 1, 12) s. ὁ Κερκυραῖος μαστιγούμενος ἅμα αὐτὸν ἠργολάβησεν: αἱ μάστιγες αἱ Κερκυραῖαι λέγονται διάφοροι εἶναι παρὰ τὰς ἄλλας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ.

Κιανῶν.

471.

Schol. in Apollon. Rh. 1, 1177 (p. 375, 15 Keil) Κιανίδος: περιφραστικῶς τὴν Κίον· ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι.

Κολοφωνίων.

472.

Athenaeus XIV p. 618e: ἦν δὲ καὶ ἐπὶ ταῖς αἰώραις τις ἐπ' Ἠριγόνῃ ἣν καὶ ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· „ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ. λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποι-

6 ἑξᾶντα . . . τριᾶντα Bentley: ἓξ τάλαντα . . . τρία τάλαντα codd. ‖ 7 τέτταρες Boeckh: τρεῖς codd. ‖ 16 πάρισον Ahrens: παρόσον codd. ‖ 17 de var. lect. cf. Dübner in adnot. p. 137. ‖ 28 ὑπέδειξεν Ἀρισταῖος vulgo, corr. Sylb. ‖ 40 ἐπιχέομενοι Steph. Byz. ‖ 43 αὐτὴν κληθῆναι Steph.

b11 Ἀριστοφάνης codd. ‖ 18 διὸ . . . παρῆλθον om. Hes. ‖ 21 γὰρ: δὲ καὶ cod. Hes. ‖ 22 γενέσθαι: ποιεῖσθαι ἢ γενέσθαι cod. Hesych. ‖ 25 ἠργολάβησεν Wyttenbach: ἐργολάβησεν cod. Milleri, ἠργολάβησαι Plut. ‖ 26 ὡς . . . πολιτείᾳ om. Plut.

ήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς αἰώρας".

Pollux 4, 55: ἦν δέ τι καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾀδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου.

(Κορινθίων.)

473.

Diogenes Laertius 1, 98: οὗτος (ὁ Περίανδρος) πρῶτος δορυφόρους ἔσχε καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε. καὶ οὐκ εἴα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀριστοτέλης.

Exc. pol. Heracl. (p. 11, 8 Schn.): Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν δορυφόρους ἔχων καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν.

474.

Diogenes Laertius 1, 99: Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι τὸν μὲν τύραννον τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην ... καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν, Πλάτων δὲ οὔ φησι.

(Κρητῶν.)

475.

Schol. in Theocrit. 13, 9 (p. 355 Ahrens) ὅσσα μαθὼν ἀγαθός: Ἀριστοτέλης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα.

476.

Schol. in Pind. Pyth. 2, 127 (p. 322 Boeckh): ... Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κρησὶ φησὶ πύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι.

Schol. Victor. (p. 608, 11 Bekk.) ad Il. ψ, 130 χαλκὸν ζώννυσθαι: Ἀριστοτέλης φησὶ τοὺς πυλεῖς Ἀχιλλέως. τοὺς δὲ Ἀχαιοὺς τὸν νόμον εἰς Κρήτην κομίσαι· τῶν γὰρ βασιλέων κηδευομένων αὐτὸς προηγεῖται πυρριχίζων ὁ στρατός.

Marius Plotius (vel **M. Claudius**) **Sacerdos** (apud Putsch. p. 2624): *Aristoteles autem Achillen ait huius lusus (pyrrichae) inventorem fuisse.*

(Κροτωνιατῶν.)

477.

Schol. in Theocrit. 4, 6 (p. 156, 1 Ahrens) Μίλων: τὸν Κροτωνιάτην Μίλωνά φησιν, ον καὶ Ἀριστοτέλης πολυφάγον φησί. λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. κατεβρώθη δὲ οὗτος ὑπὸ θηρίων ἢ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα ἐκρατήθη ἐκεῖ, καὶ οὕτως ἐτελεύτησε.

(Κυθηρίων.)

478.

Steph. Byz. ep. s. Κύθηρα: νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. ἐκαλεῖτο δὲ Πορφυροῦσσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης.

Plin. 4, 56: *Cythera cum oppido, antea Porphyris appellata.*

Κυθνίων.

479.

Harpocr. s. Κύθνιοι: ... Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριστοτέλης ἐν τῇ Κυθνίων πολιτείᾳ.

Steph. Byz. s. Κύθνος: νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. ἐκαλεῖτο δὲ καὶ Ὀφιοῦσσα καὶ Δρυοπίς.

480.

Zenob. prov. 4, 83 κυθνώλεις συμφοραί: τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ Κυθνίοις συμβάντα. φησὶ γὰρ Ἀριστοτέλης οὕτω κακῶς αὐτοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος ὥστε τὰς μεγάλας συμφορὰς κυθνώλεις καλεῖσθαι.

Hesych. s. κυθνώλης: ἐξώλης. ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶν ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος.

Helladius chrestom. (Phot. bibl. cod. 279 p. 533, 14): ὅτι τὸ κυθνώλης διὰ τοῦ λ̄ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ̄. Ἄργους γὰρ ἦν χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας πλὴν ὀλίγων πάνυ.

Κυμαίων.

481.

Schol. in Eurip. Med. 19 p. 8 t. IV Dind.

33 Κρησί: Κυπρίοις codd.

b5 λέγουσι etc.: μέμνηται αὐτοῦ Θεόκριτος καὶ Ἀριστοτέλης, ὃν καὶ πολυφάγον φησὶ καὶ ἀνδρεῖον κ. τ. λ. **Eudocia** p. 291 (ex Schol.). ‖ 15 τῶν περὶ αὐτὴν **Meineke**: τὸ περὶ (vel παρὰ) τῶν codd., τῶν ἐν αὐτῇ πορφυρῶν (e **Steph.**) **Eustath.** ‖ 38 ita κυθνώδης codd. **Zenob.**

(Etym. M.) αἰσυμνᾷ: ἡγεῖται καὶ ἄρχει· ἰδίως δέ φησιν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. „αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν" τοὺς ἄρχοντας τῶν ἀγώνων.

Argum. Sophoclis Oed. tyr.: ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι.

482.

Etymol. M. p 199, 9 (ex Photio) s. βλάξ ... οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου, τῆς Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης.

Schol. in Plat. politit. p. 373 βλακικά: ... οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου, τῆς Βλακείας.

Κυπρίων.

483.

Harpocr. s. ἄνακτες καὶ ἄνασσαι: οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ.

484.

Pollux onom. 2, 95: ὁ δὲ Νικοκλέους τοῦ Κυπρίου πατήρ, ᾧ τὰς παραινέσεις ὁ Ἀθηναῖος σοφιστὴς ἔγραψεν, τὸ μὲν ὄνομα αὐτῷ Τίμαρχος ἦν, διστοίχους δ' εἶχεν ἄρα τῷ Ἀριστοτέλους λόγῳ τοὺς ὀδόντας.

Plinius n. h. 11, 167: *Timarchus Nicoclis filius Paphii duos ordines habuit maxillarum. frater eius non mutavit primores ideoque praetrivit.*

Κυρηναίων.

485.

Schol. in Aristoph. Plut. 925 καὶ τὸ Βάττου σίλφιον: Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλέα, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων.

ibid. ἄλλως. σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος ὁ καὶ Ἀριστοτέλης πόλιν ἐν Λιβύῃ Κυρήνην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν. καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον.

Suidas s. Βάττου σίλφιον: ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν.

Hesych. s. Βάττου σίλφιον: παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων. μετενήνεκται δὲ ἀπὸ τοῦ Κυρηναίους ἑνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, ὃ ἐκτετίμηται παρ' αὐτοῖς, ὥστε καὶ ἐν τῷ νομίσματι ὅπου μὲν Ἄμμωνα ὅπου δὲ σίλφιον ἐγκεχαράχθαι.

486.

Pollux 9, 62: ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις, καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον ... ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσᾶ νομίσματα.

487.

Hesych. s. Ἀμμούς: ὁ Ζεύς. Ἀριστοτέλης.

488.

Antigon. mirab. 159: τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν (φησὶ Καλλίμαχος) Ἀριστοτέλη ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι καταβαίνοντος μὲν ἡλίου πηγνύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.

Exc. Florent. (Isigoni) de mirabilibus 19: Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ μὲν ὕδωρ μεσημβρίας καὶ μεσονυκτίου γίνεσθαι θερμόν, ὃν φύσει ψυχρότατον.

Plinius ita n. h. 2, 228: *Iovis Hammonis stagnum interdiu frigidum noctibus fervet.*

Λακεδαιμονίων.

489.

Schol. in Pindar. Isthm. 6, 18 (p. 551 Boeckh) ἡ Δωρίδ' ἀποικίαν (ἀνίκα ... ἕλον Ἀμύκλας Αἰγεῖδαι σέθεν ἔκγονοι): ... εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων, ἀφ' ἧς ἥκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη

36 βασιλέα R: βασιλεία V, βασιλείαν Ald., Eudocia. ‖ 37 παρὰ κ. τ. λ. absunt a cod. Rav. ‖ 41 ὁ καὶ: ὡς vulgo.
b5 ὡς ἐξαίρετον lex. q. f. Eudemi. ‖ 9 ἀπὸ τοῦ Κυρηναίους Mus.: ἐπὶ τοῦ Κυρηναίου cod. (Schow.). ‖ 10 ἐκτετίμηται Pearson: ἐκτέτμηται cod.

τιμῶν. καὶ τοῖς Ἰακινθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται· τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων πολιτείᾳ. ... Ἀριστοτέλης γάρ φησιν ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο, καταλύσαντες δ' ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν· ἀκούσαντες ⟨δὲ⟩ μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθὰ καὶ συμβαλόντες τὸν χρησμὸν ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

490.

Plutarch. Lycurg. 1: ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ (ὁ Λυκοῦργος) ὁμολογοῦνται. οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν, ὧν ἐστὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τεκμήριον προσφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον.

491.

Plutarch. Lycurg. 31: ὁ δὲ (Λυκοῦργος) ... ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησὶ τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ.

Exc. pol. Heraclid. (p. 6, 4): τὴν Λακεδαιμονίων πολιτείαν τινὲς Λυκούργῳ προσάπτουσι πᾶσαν.

492.

Clemens Alex. strom. I p. 132 Sylb.: τόν τε αὖ Λυκοῦργον τὰ νομοθετικὰ εἰς Δελφοὺς πρὸς τὸν Ἀπόλλωνα συνεχὲς ἀπιόντα παιδεύεσθαι γράφουσι Πλάτων τε καὶ Ἀριστοτέλης καὶ Ἔφορος.

493.

Plutarch. Lyc. 6: οὕτω δὲ περὶ ταύτην (τῶν γερόντων) ἐσπούδασε τὴν ἀρχὴν ὁ Λυκοῦργος, ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς ἣν ῥήτραν καλοῦσιν. ἔχει δὲ οὕτως· „Διὸς Ἑλλανίου καὶ Ἀθανᾶς Ἑλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάζαντα καὶ ὠβὰς ὠβάζαντα, τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος, οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι· δάμῳ δὲ τὰν κυρίαν ἦμεν καὶ κράτος". ἐν τούτοις τὸ μὲν φυλὰς φυλάζαι καὶ ὠβὰς ὠβάζαι διελεῖν ἐστὶ καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλὰς τὰς δὲ ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται, τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. τὴν δὲ Βαβύκαν καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα ποταμόν, τὴν δὲ Βαβύκαν γέφυραν. ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἤγον οὔτε παστάδων οὐσῶν οὔτε ἄλλης τινὸς κατασκευῆς ... τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν δῆμος.

494.

Plutarch. Lyc. 5: ... τοσούτους δέ (τριάκοντα) φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες.

495.

Plutarch. Lyc. 28: ἡ δὲ καλουμένη κρυπτία παρ' αὐτοῖς, εἴγε δὴ τοῦτο τῶν Λυκούργου πολιτευμάτων ἔν ἐστιν, ὡς Ἀριστοτέλης ἱστόρηκε, ταύτην ἂν εἴη καὶ τῷ Πλάτωνι περὶ τῆς πολιτείας καὶ τοῦ ἀνδρὸς ἐνειργασμένη δόξαν. ἦν δὲ τοιαύτη. τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα νοῦν ἔχειν δοκοῦντας εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν. οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλους διασπειρόμενοι τόπους ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδοὺς τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον ... Ἀριστοτέλης δὲ μάλιστά φησι καὶ τοὺς ἐφόρους ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι πρῶτον, τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν.

496.

Plutarch. Cleomen. 9: προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησί, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος οἶμαι προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι.

Plut. de sera num. vind. 4: ἐν Λακεδαίμονι κηρύττουσιν οἱ ἔφοροι παριόντες εὐθὺς εἰς τὴν ἀρχὴν μὴ τρέφειν μύστακα καὶ πείθεσθαι τοῖς νόμοις ὡς μὴ χαλεποὶ ὦσιν αὐτοῖς.

Procl. in Hes. opp. v. 722 (p. 323 Gaisf.): ἐν

8 δὲ: om codd. ‖ 17 προφέρων Steph. e cod. Par. ‖ 41 al. βεβύκας. ‖ 42 κνακίωνος codd. ‖ οὕτως: αὐτὼς Sauppe, καὶ οὕτως Döhner. ‖ 43 codd. apud Sintenis γαμωδᾶν γυριανήμην (γηριανίμην, γοριανίμην sim.), emend. O. Müller (τὰν κυρίαν Sint.). ‖ 44 διελεῖν Steph.: διέχειν codd.

b10 ἐφεῖτο Bryanus: ὑφεῖτο codd.

μὲν οὖν Σπάρτῃ τοῖς εἰς ἀρχὴν καθισταμένοις οἱ ἔφοροι προεκήρυττον μὴ τρέφειν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ εὐτελὲς παραβάντας μειζόνως κολάζωσιν.

497.

Harpocr. s. μόραν: ... συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείληκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες.

498.

Hesych. s. λόχοι: Λακεδαιμονίων φησὶν Ἀριστοφάνης τέτταρας πέντε γάρ εἰσιν, ὥς φησιν Ἀριστοτέλης.

Phot. s. λόχοι: Λακεδαιμονίων $\bar{\delta}$, ὡς Ἀριστοφάνης. Θουκυδίδης δὲ $\bar{\varepsilon}$, Ἀριστοτέλης $\bar{\zeta}$.

Schol. Aristoph. Lysistr. 453 ὅτι καὶ παρ' ἡμῖν εἰσὶ (τέτταρες λόχοι μαχίμων γυναικῶν): παρὰ ταῖς γυναιξὶν ὑπάρχουσι $\bar{\delta}$ λόχοι. τοῦτο δέ φησιν, ὅτι καὶ παρὰ Λακεδαιμονίοις τέσσαρες ὑπάρχουσι λόχοι οἷς κέχρηται ὁ βασιλεύς. — τέτταρες λόχοι: ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. λόχοι γὰρ οὐκ εἰσὶ τέτταρες ἐν Λακεδαιμονίᾳ ἀλλὰ $\bar{\varepsilon}$, Ἔδωλος, Σίνις, Ἀρίμας, Πλοάς, Μεσσοάγης. ὁ δὲ Θουκυδίδης $\bar{\zeta}$ φησὶ χωρὶς τῶν Σκιριτῶν.

Schol. in Thucyd. 4, 8: λόχοι Λακεδαιμονίων πέντε, Αἰδώλιος, Σίνις, Σαρίμας, Πλόας, Μεσοάτης.

Hesych. s. Ἔδωλός: λόχος Λακεδαιμονίων οὕτως ἐκαλεῖτο.

499.

Schol. in Aristoph. Acharn. 320 μὴ οὐ καταζαίνειν (τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα): ... Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν.

Moeris attic. s. φοινικίς: ἔνδυμα Λακωνικὸν ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν πολιτείᾳ Λακεδαιμονίων.

Plutarch. instit. Lacon. 24: ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο. ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν. καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι ἐάν τις αὐτῶν πληγῇ ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρήσιμον.

Aelian. var. hist. 6, 6: φοινικίδα δὲ ἀμπέχεσθαι κατὰ τὰς μάχας ἀνάγκη ἦν. ἔχειν δὲ τὴν χρόαν καὶ σεμνότητός τι· πρὸς ταύτῃ γε μὴν καὶ τὴν ῥύσιν τοῦ ἐπιγενομένου αἵματος ἐκ τῶν τραυμάτων ἔτι μᾶλλον ἐκπλήττειν τοὺς ἀντιπάλους, βαθυτέρας τῆς ὄψεως γινομένης καὶ φοβερωτέρας μᾶλλον.

Valer. Max. 2, 6, 2: *idem ad dissimulandum et occultandum vulnerum suorum cruorem punicis in proelio tunicis utebantur, non ne ipsis aspectus eorum terrorem, sed ne hostibus fiduciae aliquid adferret.*

500.

Harpocr. s. καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν: Ἰσοκράτους ἐν Βουσίριδι περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν· ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

Plutarch. inst. Lacon. 19: ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι.

501.

Zenob. prov. 2, 24 (**Diogen. prov.** 2, 36, **Plutarch. prov.** 43): ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν: αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν βουλομένων. μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ.

Schol. ad Eurip. Androm. 446 (p. 165 t. IV **Dind.**): ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν (Σπάρτης ἔνοικοι ... αἰσχροκερδεῖς): ... ἑξῆς δὲ αὐτοὺς εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων πολιτείᾳ καὶ τὸ ὑπὸ τοῦ θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος· ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ· ἄλλο γὰρ οὐδέν.

502.

Eustath. ad Il. ι, 129 (p. 741, 16 **Rom.**): ... κατὰ Αἴλιον Διονύσιον, ὃς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι ἢ Εὐαινετίδην ἢ Ἀρι-

1 forte εὐθὺς εἰς ἀιχὴν καθιστάμενοι Wytt. ‖ 5 μόρων codd. ‖ 8 μοῖραι codd. ‖ ἑπτὰ Phot. ‖ μοίρας codd. ‖ 15 dicere debebat Ἀριστοτέλης δὲ $\bar{\varepsilon}$, Θουκυδίδης (5, 68) $\bar{\zeta}$. ‖ 23 Μεσοάτης O. Müller. ‖ 26 *sic.* ‖ 39 cod. λέγει pro λακεδαιμονίων.

b29 ὀλεῖ Diod. Plut. Olympiod. Cic., codd. Zen. et ceterorum paroemiogr. ἕλοι. ‖ 40 τοῦ om. codd. ‖ 41 ἀφιλοχρηματίας σπάρταν τις ἕλοι A (Vat.). ‖ 45 Εὐαινετίδην Eust. Hes. s. Λέσβιος ᾠδός: Εὐαίνετον Phot.

στοκλείδην. καὶ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ τὸ μετὰ Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι δηλοῦν. ἐκαλοῦντο δέ, φασί, καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ Λέσβιον ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον.

Zenob. prov. 5, 9 μετὰ Λέσβιον ᾠδόν: παροιμία ταττομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων ἐξ αἰτίας τοιᾶσδε. Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ἐλθὼν δὲ ἐκεῖνος καὶ τῇ μουσικῇ χρώμενος ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν μετὰ Λέσβιον ᾠδόν.

Hesych. s. μετὰ Λέσβιον ᾠδόν: τοὺς ἀπογόνους τοῦ Τερπάνδρου ἀγαθοὺς ἡγουμένους εἶναι κιθαρῳδοὺς πρώτους εἰς τὸν ἀγῶνα προσκαλεῖσθαι, εἶτ' εἴ τις εἴη Λέσβιος ᾠδός.

Photius s. μετὰ Λέσβιον ᾠδόν: ... ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι. οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν.

Exc. pol. Heraclid. (p. 7, 5): Λακεδαιμόνιοι τὸν Λέσβιον ᾠδὸν ἐτίμησαν· τούτου γὰρ ἀκούειν ὁ θεὸς χρησμῳδουμένοις ἐκέλευεν.

Λευκαδίων.

503.

Strabo VII p. 322 in.: ἐν δὲ τῇ Λευκαδίων (πολιτείᾳ Ἀριστοτέλης) καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.

Λοκρῶν.

504.

Polyb. exc. l. 12, 5: οὐκ ὤκνησα καὶ λέγειν καὶ γράφειν ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινωτέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης. σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν ὅτι παραδόσιμος αὐτοῖς ἐστὶν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις. πρῶτον μὲν ὅτι πάντα τὰ διὰ προγόνων ἔνδοξα παρ' αὐτοῖς ἀπὸ τῶν γυναικῶν, οὐκ ἀπὸ τῶν ἀνδρῶν εἴη . . . (6) ἐκ τούτων ἄν τις συλλογιζόμενος Ἀριστοτέλει πρόσσχοι μᾶλλον ἢ Τιμαίῳ. καὶ μὴν τὸ συνεχὲς τούτῳ τελέως ἄτοπον. τὸ γὰρ ὑπολαμβάνειν, καθάπερ ἐκεῖνος ὑποδείκνυσιν, ὡς οὐκ εἰκὸς ἦν τοὺς οἰκέτας τῶν Λακεδαιμονίοις συμμαχησάντων τὴν τῶν κυρίων εὔνοιαν ἀναφέρειν πρὸς τοὺς ἐκείνων φίλους εὔηθες ... διὸ καὶ τὴν ὀνομασίαν τῇ πόλει τὴν ἀπὸ τῶν γυναικῶν εἰκότως ἐπέθεσαν καὶ τὴν οἰκειότητα τὴν κατὰ τὰς γυναῖκας προσεποιήθησαν, ἔτι δὲ τὰς φιλίας καὶ τὰς συμμαχίας τὰς προγονικὰς τὰς ἀπὸ τῶν γυναικῶν ἀνενεοῦντο ... ἀλλὰ πῶς αὐτοὶ μὲν ἐξαπέστελλον οἱ Λακεδαιμόνιοι τοὺς ἀκμάζοντας εἰς τὴν πατρίδα τεκνοποιίας χάριν, τοὺς δὲ Λοκροὺς τὸ παραπλήσιον οὐκ εἴων ποιεῖν; ἕκαστα δὲ ταῦτα οὐ μόνον κατὰ τὸ πιθανὸν ἀλλὰ καὶ κατὰ τὴν ἀλήθειαν μεγάλην ἔχει διαφοράν ... διόπερ οἱ Λοκροὶ μήτε ταῖς ἀραῖς ὄντες ἔνοχοι μήτε τοῖς ὅρκοις οἷς ὤμοσαν οἱ Λακεδαιμόνιοι μὴ πρότερον εἰς τὴν οἰκείαν ἐπανήξειν πρὶν ἢ τὴν Μεσσήνην κατὰ κράτος ἑλεῖν, τῆς μὲν κατὰ τὸ κοινὸν ἐξαποστολῆς εὐκόλως οὐ μετέσχον, κατὰ δὲ μέρος τὰς ἐπανόδους ποιούμενοι καὶ σπανίως, ἔδοσαν ἀναστροφὴν ταῖς γυναιξὶ πρὸς οἰκέτας γενέσθαι συνήθειαν ἢ πρὸς τοὺς ἐξ ἀρχῆς ἄνδρας, ταῖς δὲ παρθένοις καὶ μᾶλλον· ὃ καὶ τῆς ἐξαναστάσεως αἴτιον γέγονεν. . . . (8) ἢ δεικτέον οὖν τὸν Ἀριστοτέλη κατὰ τὸν ἄρτι λόγον τὰ περὶ Λοκρῶν εἰρηκότα χάριτος ἢ κέρδους ἢ διαφορᾶς ἕνεκεν, ἢ μηδὲ τολμῶντας τοῦτο λέγειν ὁμολογητέον ἀγνοεῖν καὶ παραπαίειν τοὺς τοιαύτῃ χρωμένους ἀπεχθείᾳ καὶ πικρίᾳ κατὰ τῶν πέλας, οἵᾳ κέχρηται Τίμαιος κατὰ Ἀριστοτέλους. φησὶ γὰρ αὐτὸν εἶναι θρασὺν εὐχερῆ προπετῆ, πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν [οἰκετῶν], μοιχῶν, ἀνδραποδιστῶν.

ibid. 11: μεταβὰς ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς πρῶτον μέν φησι (Τίμαιος) τήν τε πολιτείαν καὶ τὰ λοιπὰ φιλάνθρωπα τοῖς Λοκροῖς ἀμφοτέροις Ἀριστοτέλη καὶ Θεόφραστον κατεψεῦσθαι τῆς πόλεως.

Athenaeus VI p. 264: Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἑνάτῃ τῶν ἱστοριῶν „οὐκ ἦν, φησί, πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι", γράφων οὕτως „καθόλου δὲ ἠτιῶντο τὸν Ἀριστοτέλη διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν. οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως δὲ οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας οὔτε οἰκέτας, πλὴν ἐγγὺς τῶν χρόνων".

8 τῶν: τοῖς codd. ‖ 17 εἶτ' add. Schmidt.

505.

Schol. in Pindar. Olymp. 11, 17 (p. 241 Boeckh) νέμει γὰρ ἀτρέκεια πόλιν (al. l. ἁ τραχεῖα πόλις) Λοκρῶν . . . ὃ βούλεται λέγειν ἐστὶ τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. διὰ τί δέ, φησὶν Ἀριστοτέλης. ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμός, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμήν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθεὶς τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους. γνωσθεὶς δὲ καὶ ἐρωτηθεὶς πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι. διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη.

Clemens Alex. strom. 1, 26 p. 152 Sylb.: Χαμαιλέων τε ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσιν.

(Λυδῶν.)

506.

Plin. 7, 197: *aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant.*

Clemens Alex. strom. 1, 16 p. 132: Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης.

507.

Stephan. Byz. ep. s. Ἀδραμύτειον: πόλις τῆς κατὰ Κάικον Μυσίας . . . κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι.

Λυκίων.

Testis Sopater (Phot. bibl. cod 161).

Μασσαλιωτῶν.

508.

Athenaeus XIII p. 576: τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ γράφων οὕτως· „Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος. οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων, ᾧ δὲ δοίη τοῦτον εἶναι νυμφίον. ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα. τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης".

Harpocr. s. Μασσαλία: . . . ὅτι δὲ . . . ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μεγαρέων.

509.

Strabo VII p. 322 in.: ἐν δὲ τῇ Αἰτωλῶν (πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν. ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Μεθωναίων.

510.

Athen. VI p. 235: Ἀριστοτέλης δὲ ἐν τῇ Μεθωναίων πολιτείᾳ „παράσιτοι, φησί, τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς δὲ πολεμάρχοις εἷς. τεταγμένα δ' ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον".

511.

Coll. proverb. Milleri s. ἀμουσότερος Λειβηθρίων: Λειβήθριοι ἔθνος ἐστὶ Πιερικόν, οὗ καὶ Ἀριστοτέλης μέμνηται ἐν τῇ Μεθωναίων πολιτείᾳ. λέγονται δὲ ἀμουσότατοι εἶναι οἱ Λειβήθριοι κτλ.

Zenob. prov. 1, 79 (Diog. 2, 26. DV. 1, 37) s. ἀμουσότερος Λειβηθρίων: ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικόν ἐστιν οὔτε μέλους ἁπλῶς οὔτε ποιήματος ἔννοιαν λαμβάνον. λέγονται δὲ ἀμουσότατοι εἶναι, ἐπειδὴ παρ' αὐτοῖς ὁ τοῦ Ὀρφέως ἐγένετο θάνατος.

Μηλιέων.

512.

Suid. s. τῶν φιλτάτων τὰ φίλτατα: φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων πολιτείᾳ τοὺς παῖδας γυμνοὺς ἐκφέρειν μέχρις ἐτῶν ιϛ καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις.

Proverb. codd. Vatic. et Bodl. (App. ed. Gott. 5, 3): τῶν φιλτάτων τὰ φίλτατα: Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα· μέχρις οὖν ἐτῶν δέκα ἐξ γυμνοὺς περιέφερον τοὺς παῖδας καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.

24 Ἡσίοδος: immo Ἀριστοτέλης.
b27 λειβήθριον cod. (item DV. etc.). ‖ περσικόν cod. (quae eadem est v. l. in codd. Zen. et Diog.).

513.

Phot. lex. (Proverb. Vat. et Bodl. ed. Gott. I p. 310) s. τὸ Μηλιακὸν πλοῖον: τοῦτο ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται. φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν οἱ δὲ τὰ πλοῖα ῥεῖν κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Diogenian. prov. 8, 31 τὸ Μηλιακὸν πλοῖον: ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων. κατηράσαντο γὰρ Λακεδαιμόνιοι μηδέποτε στεγνὰ τὰ πλοῖα Μηλιέων γενέσθαι· παραβάται γάρ.

(Μηλίων.)

514.

Plinius n. h. 4, 70: *Melos cum oppido, quam ... Aristoteles Zephyriam (appellat).*

Steph. Byz. s. Μῆλος: νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν ... ἐκλήθη ... καὶ Ζεφυρία.

(Μιλησίων.)

515.

Parthenius erot. 14 περὶ Ἀνθέως. ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά. — Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου γένους ὠμήρευσε παρὰ Φοβίῳ ἑνὶ τῶν Νηλειδῶν τότε κρατοῦντι Μιλησίων. τούτου Κλεόβοια, ἥν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προισχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτὸν ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. ἔνθα δὴ χρόνου προιόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δ' ἄρ' ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδρακοι καὶ ἄλλως δὲ κακμένη σφοδρῷ ἔρωτι τοῦ παιδὸς ἀναρτᾷ ἑαυτήν. Φοβίος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς.

516.

Athenaeus XII p. 523e: Μιλήσιοι δὲ ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς καὶ πάντες ἐπὶ τὸν Μίλητον ἔθεον· ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν „πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι".

Ναξίων.

517.

Athenaeus VIII p. 348: Ἀριστοτέλης ἐν τῇ Ναξίων πολιτείᾳ περὶ τῆς παροιμίας (ὅτι οὐδεὶς κακὸς μέγας ἰχθύς) οὕτω γράφει· „τῶν παρὰ Ναξίοις εὐπόρων οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ' ἄλλοις ἅπασι καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι ἢ τοσούτου ἀναδόσθαι. νεανίσκοι οὖν τινὲς ὠνούμενοι μέγαν ἰχθύν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτά, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. δεξαμένου δὲ τοῦ Τελεσταγόρου φιλοφρόνως αὐτούς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος".

518.

Plutarch. de mul. virtut. 17 (postquam Naxiorum belli contra Milesios et Erythraeos causa explicata, Polycritae historiam Diognetique Erythraei ducis amorem ex ipsis, ut ait, Naxiorum scriptoribus enarravit, haec addit): ὁ δ' Ἀριστοτέλης φησὶν οὐδ' ἀλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον, ὥς φησιν ὁ φιλόσοφος, ὅρκον ᾔτησεν. ἐπεὶ δ' ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δοθῆναι· Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον· ἄλλως δ' οὐκ ἂν ἔφη συνελθεῖν. ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες ἐφ' οἷς ἠβούλοντο πρὸς τοὺς Μιλησίους διελύθησαν.

Gellius 3, 15: *cognito repente insperato gaudio expirasse animam refert Aristoteles philosophus*

Polycritam nobilem feminam Naxo insula (cf. Plut. l. c. αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα περὶ τὴν πύλην· ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου τάφος).

Νεοπολιτῶν.

In fragmento papyraceo saec. III quo librorum catalogus continetur praeter librum αριστοτελους αθηναιων πολιτειας aliis interiectis memoratur ⟨αρ⟩ιστοτελους πολιτεια νεοπο.... (tab. no. 13 apud E. de Muralt, Catalogue des manuscrits Grecs de la bibl. imp. St. Pétersb. 1864. cf. Zündel: Rhein. Mus. 1866 p. 432).

Ὀπουντίων.

519.

Strabo VII p. 321 fin.: ἐν δὲ τῇ Αἰτωλῶν (πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Steph. Byz. s. Φύσκος: πόλις Λοκρίδος, ἀπὸ Φύσκου τοῦ Αἰτωλοῦ Αμφικτύονος τοῦ Δευκαλίωνος ... λέγεται καὶ ἀρσενικῶς ὁ Φύσκος· „Φύσκος δὲ ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί".

520.

Schol. in Pindar. Ol. 9, 86 ἀπὸ γᾶς Ἐπειῶν: Ἐπειῶν τῶν Ἠλείων ... Ὀποῦντος ἦν θυγάτηρ (ἡ Πρωτογένεια) Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ.

Plutarch. qu. Gr. 15: Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς; Φύσκου τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός, ἐκ δὲ τούτου καὶ Καβύης Ὀποῦς. πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν περὶ ἀποικίας ἐμαντεύετο· τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν ὅπου περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν ἐπάτησε κυνόσβατον, ἐνοχληθεὶς δὲ τῇ πληγῇ διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάντειαν καὶ τὰς ἄλλας ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν.

Eustathium in Il. p. 277 (Eudoc. p. 279): οἱ δὲ παλαιοί φασι καὶ ταῦτα· Ἀμφικτύονος καὶ Χθονοπάτρας ἀπόγονος Φύσκος, οὗ Λοκρός, ὧν ἀπὸ μὲν Φύσκου Φύσκοι πρώην, ἀπὸ δὲ Λοκροῦ Λοκροὶ οἱ αὐτοὶ ὠνομάσθησαν· Λοκροῦ δὲ Ὀποῦς, πρὸς ὃν διενεχθεὶς ὁ πατὴρ Λοκρὸς ἐᾷ μὲν ἄρχειν ἐκεῖνον, αὐτὸς δὲ οἰκεῖ τὰ πρὸς ἑσπέραν τοῦ Παρνασσοῦ ἔχων ὑφ' ἑαυτὸν τοὺς ἐκεῖ οἱ Ἑσπέριοί τε καὶ Ὀζόλαι ἐκαλοῦντο.

Athen. II p. 70c: Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ κύναρος ἄκανθα, μήποτε, φησί, τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν· καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπε καὶ ὁ Λοκρὸς χρησμὸν λαβὼν ἐκεῖ πόλιν οἰκίζειν ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου, ἔκτισε τὴν πόλιν.

Hesych. s. κύναρος: φυτόν τι, καὶ μήποτε ἡ κυνόσβατος, διὰ τὸ τραχὺ καὶ ἀκανθῶδες· κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον ὁ θεός λέγει.

521.

Harpocr. s. Ἄμφισσα: πόλις τῆς Λοκρίδος. Ἀριστοτέλης ἐν τῇ Ὀπουντίων πολιτείᾳ οὕτω λέγει· „Ἀνδραίμων δὲ ἦν οἰκιστής, Ἄμφισσαν δ' ὠνόμασαν διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν".

522.

Hesych. s. Ἄσπετος: ὁ Ἀχιλλεὺς ἐν Ἠπείρῳ, ὥς φησιν ὁ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ.

Plutarch. Pyrrh. 1: καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος.

523.

Choeroboscus ad Theodosii canones p. 75 (t. I Gaisford): τὸ Μέδων, ἔστι δὲ κύριον ὄνομα, ὁ μὲν ποιητὴς Ὅμηρος διὰ τοῦ $\overline{\text{ντ}}$ κλίνει, οἷον Μέδοντος, τῷ λόγῳ τῶν μετοχικῶν, Ἰσαῖος δὲ ὁ ῥήτωρ καὶ Ἀριστοτέλης ἐν Ὀπουντίων πολιτείᾳ Μέδωνος φασὶν ἀναλόγως.

Ὀρχομενίων.

524.

Coll. proverb. cod. Vat. et Bodl. (App. 4, 92 ed. Gott. I p. 456) s. τὸ Ἡσιόδειον γῆρας: Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν·

χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.
παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη.

Suidas (Macar. pr. 8, 49) s. τὸ Ἡσιόδειον γῆρας: ἐπὶ τῶν ὑπεργήρων. φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτο· χαῖρε κ. τ. λ.

Io. Tzetzes (cf. A. P. p. 505 sqq.) prolegg. comm. in Hesiodi opp. p. 17 Gf.: ἐπέγραψε δὲ καὶ Πίνδαρος· „χαῖρε κ. τ. λ.

33 Ὀποῦς: Λοκρός vulgo. ‖ 39 Ὑάνθειαν vulgo (Ὑαντία Steph. B.).

Procl. in Hesiodi opp. 631 (p. 298 Gaisf.): ἀοίκητον δὲ αὐτὸ (τὸ πολίχνιον τὴν Ἄσκραν) ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων. ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων πολιτείαν.

Plutarchi sept. sap. conv. 19: ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε, εἶπεν. Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ ὡς ἔοικεν ἀνδρός, ᾧ ξενίας ἐκοινώνει Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον ᾧ Τρώιλος ἦν ὄνομα. τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων τὸ μὲν τοῦ Τρωίλου εἰς τὸν Δάφνον ποταμὸν ἔξω φερόμενον ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ὑπεχούσῃ· καὶ μέχρι νῦν Τρώιλος ἡ χοιρὰς καλεῖται. τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε καὶ τὴν Μολυκρίαν. ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥίων καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. ὡς δὲ ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες ὡς εἰκὸς ἐπὶ τὴν ἀκτὴν κατέδραμον καὶ γνωρίσαντες ἔτι πρόσφατον νεκρόν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. καὶ τοῦτο μὲν ταχέως ἔπραξαν εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. ἐτάφη δὲ Ἡσίοδος πρὸς τῷ Νεμείῳ· τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται, ζητούμενος ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὐτοῖς.

Certam. Hom. et Hes. p. 322, 20 Goettl.: τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν

ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ τῆς Πελοποννήσου μὲν ἀνεχώρει νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρὰ Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον· ὁ γὰρ τόπος οὗτος ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. διατριβῆς δ' αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνεῶσιν, ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινὸς ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας, πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν ... ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήιος· ἀλλὰ θανόντος
ὀστέα πληζίππων γῆ Μινύων κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

525.

Pollux 10, 165: ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων πολιτείᾳ (ἀχάνη) μέτρον ἐστὶν Ὀρχομένιον τετταράκοντα πέντε μεδίμνους χωροῦν Ἀττικούς.

Schol. ad Aristoph. Acharn. 108 οὐκ, ἀλλ' ἀχάνας: ἀχάνη μέτρον ἐστὶ ... ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με, ὡς μαρτυρεῖ Ἀριστοτέλης.

Synag. lex. Seg. p. 473, 32 ἀχάνη: μέτρον Βοιώτιον πολλῶν τινῶν μεδίμνων. οὕτως Ἀριστοτέλης.

Hesych. s. ἀχάνη: μέτρον σίτου, ἐν Βοιωτίᾳ χωροῦν μεδίμνους με.

Παρίων.

Testis Sopater (Phot. bibl. cod. 161).

Πελληνίων.

526.

Harpocr. s. μαστῆρες: ... ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μαστροί, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων πολιτείᾳ.

Photius (Lex. Seg.) s. μαστῆρες: οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες, οἱονεὶ ζητηταὶ τῶν φυγαδευτικῶν χρημάτων τῶν ἀειφυγίαν φυγαδευθέντων·

21 immo ἔσω. ‖ 25 Ῥίων: Ἀριαδνείων? cf. Cert. p. 323, 7.
b26 πέντε add. Salmasius. ‖ 31 ἀριστοφάνης cod. ‖ 33 μέδιμνον ἐν cod.

ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν· τῶν ἐν τοῖς μαστοῖς τῶν ὀρῶν ζητούντων τὰ θηρία.

(Ῥηγίνων.)

527.

Pollux 5, 75: καὶ μὴν Ἀναξίλας ὁ Ῥηγῖνος οὔσης, ὡς Ἀριστοτέλης φησίν, τῆς Σικελίας τέως ἀγόνου λαγῶν, ὁ δὲ εἰσαγαγών τε καὶ θρέψας, ὁμοῦ δὲ καὶ Ὀλύμπια νικήσας ἀπήνη, τῷ νομίσματι τῶν Ῥηγίνων ἐνετύπωσεν ἀπήνην καὶ λαγών.

(Ῥοδίων.)

528.

Schol. vet. vulg. ad Pindar. Olymp. 7 inscr. Διαγόρᾳ Ῥοδίῳ πύκτῃ: περὶ δὲ τούτου τοῦ Διαγόρου ἱστόρηται τοιαῦτα. κατὰ γὰρ τὴν Ὀλυμπίαν ἔστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων $\bar{\delta}$. ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς ἀδελφός, πύκτης καὶ αὐτὸς προβεβλημένος. τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὥσπερ πρὸς εὐχὴν ἀνατείνων. καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί, μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὐκλῆς πυγμῇ νικήσας ἀνδρῶν καὶ μετ' ἐκεῖνον Πεισίροδος. καὶ λέγεται κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί, περιλαβόντας οὖν τὸν Διαγόραν περιιέναι τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς οὐκ ἴσην εἶναι ταῖς ἄλλαις γυναιξίν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι· φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτήν, ὃς πρῶτος ἀφ' Ἡρακλέους λέγεται τοιοῦτος γενέσθαι.

Schol. cod. Vrat. A: Διαγόρᾳ νικήσαντι τὴν $\overline{\text{οθ}}$ ὀλυμπιάδα. τοῦτον δὲ τὸν διαγόραν οἱ ῥόδιοι ἑρμοῦ παῖδα φασί. πορευομένην γὰρ τὴν μητρὶ αὐτοῦ εἰς ἀγρὸν καὶ ἀναπαυομένην πρὸς ἑρμαίῳ τινὶ μιγῆναι τὸν θεὸν ἐκ τούτου γενέσθαι τὸν διαγόραν. περὶ τοῦ διαγόρου εἶπε μὲν καὶ ἀριστοτέλης. καὶ ἀπόλλας μαρτυροῦσιν ὅτι δυῶν πηχῶν καὶ $\bar{\gamma}$ ἦσαν δακτύλων ἠνέωχε δὲ καὶ δαμάχητον υἱὸν πρεσβύτατον τῶν παίδων. τετράπηχυν τὸ μέγεθος. τοῦ πατρὸς ἐλάττονα $\bar{\epsilon}$ δακτύλων. ἔσχε δὲ καὶ ἄλλον ἀδελφὸν ἀκουσίλαον. θυγατέρων δὲ υἱοὺς εὐκλεέστατον· καλλιάνακτα καὶ πεισίρροθον. οὗτοι δὲ πολλὰς νίκας ἐν τῶν ὀλυμπίων ἔσχον δέκα. ἐκ πυθίων δὲ ἔφη ὅτι παῖδες τούτων διαφόρους ἀγῶνας νικήσαντες καὶ περιβαλόντες τὸν ἀδελφὸν διεξῆλθον μακαριζόμενοι. ἀφ' οὗ ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα μηδενί πω τοιαῦτα συμβῆναι. ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς ὀλυμπιονίκας γενέσθαι ἡ θυγατὴρ καὶ τούτου ἦλθεν εἰς τὰ ὀλύμπια ἡ ὄνομα καλλιπάτρει. ἐκωλύετο δὲ ὑπὸ τῶν ἑλλανοδίκων γυνὴ οὖσα θεωρῆσαι τὰ ὀλύμπια. ἡδὲ ἡδὲ οὐχ ὁμοῖα ἔφη εἶναι ταῖ ἄλλαις γυναιξίν. ἔσχε γὰρ καὶ τὸν πατέρα διαγόραν καὶ τοὺς τρεῖς ἀδελφοὺς ὀλυμπιονίκας. δαμάγητον. δωρέα. ἀκουσίλαον. καὶ ἕ ἀ δελ$^{\epsilon)\epsilon}$ παῖδας εὐκλεα. καὶ αὐτῆς υἱὸν πεισίρροθον. καὶ τούτων εἰκόνα εἶναι ἐν ὀλυμπία οἱ ἑλλανοδίκαι. αἱ δὲ ἠσθέντες συνεχώρησαν αὐτῇ θεωρεῖν (sic).

Σαμίων.

529.

Plin. n. h. 5, 135: *Samon . . . Partheniam primum appellatam Aristoteles tradit, postea Dryussam, deinde Anthemussam.*

Steph. Byz. s. Σάμος: ἐπιφανὴς πρὸς τῇ Καρίᾳ

14 Ed. pr. Rom. 1515 (cum seqq.) = e, cod. Vindob. gr. hist. 130 (a me collatus) = v, cod. Vratislav. A = A. ‖ 20 πρεσβύτατος Boeckh: πρεσβύτερος ev. ‖ 22 τεσσάρων e ($\bar{\delta}$ v): πέντε Boeckh ex A ($\bar{\epsilon}$). ‖ 23 Δωριεὺς Beck (e Paus. etc.): διώρευς ev. ‖ 26 ὥσπερ πρὸς εὐχὴν ego ex v: ὡς πρὸς προσευχὴν e. ‖ 29 Εὐκλῆς Heyne (e Paus.): εὔκλων ev. ‖ ἀνδρῶν ego: ἄνδρωνα (vulgo Ἄνδρωνα) ev. ‖ Πεισίρροδος ego (Πεισίροδος Paus., Πεισίρροθος Boeckh ex A): πεισιρρόθιος ev. ‖ 30 καὶ λέγεται Boeckh: καὶ λελεγέ|της e, καὶ λελεγέ τῆς v. ‖ νικήσαντες (τοὺς παῖδας om.) e. ‖ 31 περιλαβόντας e: παραλαβόντας v (περιβαλόντας secundum A). ‖ 34 Καλλιπάτειραν Boeckh ex A et Paus.: ἀριστοπάτειραν ev (item infra). ‖ 38 οὐκ ἴσην ev (οὐχ ὁμοίαν A). ‖ 41 ἐπιχωρῆσαι Heyne (συγχωρῆσαι A): ἐπιχειρῆσαι ev.

b9 exscripsit Eduardus Lübbert. ‖ 19 corr. (e Paus.) Εὐκλέα τὸν Καλλιάνακτος.

νῆσος. ἐκλήθη δὲ πρότερον Παρθενία καὶ Δρυοῦσσα καὶ Ἀνθεμοῦσσα . . .

Strabo XIV p. 637: ἐκαλεῖτο δὲ Παρθενία πρότερον οἰκούντων Καρῶν, εἶτα Ἀνθεμοῦς.

Schol. in Apoll. Rh. 2, 867: Παρθενία δὲ ἡ Σάμος ἐκαλεῖτο. ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι. καὶ γὰρ . . . Παρθενία καὶ Ἀνθεμοῦσσα ἐκαλεῖτο.

Exc. pol. Heracl. (p. 15, 1): ἡ δὲ νῆσος Παρθενία, ὕστερον δὲ Δρυοῦσσα.

Hesych. s. Δρυοῦσσα: ἡ Σάμος τὸ παλαιόν.

id. s. Δόρυσσα: οὕτως ἐκαλεῖτο ἡ Σάμος.

530.

Schol. in Apollon. Rh. p. 315, 16 (Keil) Παρθενίης Ἀγκαῖος: Ἀριστοτέλης φησί, τιθεὶς ἐπὶ Ἀγκαίου τὴν παροιμίαν, ὅτι γέγονε φιλογέωργος Ἀγκαῖος καὶ πολλὰς ἐφύτευσεν ἀμπέλους. εἰπόντος δὲ αὐτῷ τοῦ θεράποντος ὅτι θᾶττον ἀποθανεῖται ἢ πίεται ἐκ τοῦ καρποῦ τοῦ ἀμπέλου, Ἀγκαῖος ὡρίμου γενομένου τοῦ καρποῦ τρίψας βότρυν ἐκάλεσε τὸν θεράποντα καὶ εἶπεν ὡς ἔζησεν μέχρις οὗ καρποφορήσῃ ἡ ἄμπελος, καὶ ἔμελλε πίνειν. τοῦ δὲ θεράποντος εἰπόντος „πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου", διηγγέλη αὐτῷ τις σῦς διαλυμαινόμενος τὴν χώραν, ἐφ' ὃν ἐκδραμὼν πρὶν πίῃ ἀνῃρέθη ὑπ' αὐτοῦ. διὸ ἐπεκράτησεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων.

Zenobius prov. 5, 71 (Diogen. 7, 46) πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου: παροιμία λεχθεῖσα ἐξ αἰτίας τοιαύτης· Ἀγκαῖος παῖς Ποσειδῶνος φυτεύων ἀμπελῶνα βαρέως ἐπέκειτο τοῖς οἰκέταις. εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. ὁ δὲ Ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύφα καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου, ὁ δὲ ἔφη τὸν εἰρημένον στίχον. τούτων ἔτι λεγομένων ⟨ἄλλος⟩ οἰκέτης ἦλθεν ἀπαγγέλλων ὡς ὑπερμεγέθης σῦς τὸν ὄρχατον λυμαίνεται. ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν ἐπὶ τὸν σῦν ὥρμησε καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν· ὅθεν ἡ παροιμία.

Schol. ad Odyss. χ, 9 (p. 706, 14 Dind. cf. A. P. p. 519) λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας (πολλὰ μεταξὺ κ. τ. λ.) οὕτως· Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος, ἔχων οἰκέτην ἀπὸ Κρήτης ἐκέλευσεν αὐτὸν προσφέρειν ποτὸν πίνειν, ὅθεν ἐντεῦθεν ἄμπελοι τυγχάνουσιν. εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνήσεται πιεῖν, αὐτὸς ὁ Ἀγκαῖος κατακερτομήσας τοὺς θεράποντας ἔλαβε τὴν κύλικα καὶ προσέθετο. λέξαντος δὲ ἐκείνου „πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου", ἄφνω συνέβη χρῆμα συὸς μεγάλου ἐπιβαρῆσαι τοῖς Ἀγκαίου χωρίοις· ἀκούσαντα δὲ αὐτὸν ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ διαδραμεῖν πρὸς τὸν ἄγριον, συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. ἔνθεν φασὶ καταρρυῆναι τὴν παροιμίαν.

Exc. pol. Heracl. 10, 2 Σαμίων . . . ἐβασίλευσε δ' αὐτῶν Ἀγκαῖος, ἀφ' οὗ τὰς ἀμπέλους ὁ θεράπων φυτεύων φησί „πολλὰ μεταξὺ κ. τ. λ.

531.

Aelian. de nat. 17, 20: Ἀριστοτέλης λέγει γενέσθαι ἐν Σάμῳ λευκὴν χελιδόνα.

Exc. pol. Heraclid. 10, 3: ὅτι ἐν τοῖς Σαμίοις ἐφάνη λευκὴ χελιδὼν οὐκ ἐλάττων πέρδικος.

Antigon. mir. 132: ὁ δὲ τοὺς Σαμιακοὺς ὥρους συγγεγραφὼς (Δοῦρις) ἐπὶ τῶν πρώτων κληθέντων μαθητῶν τῶν περὶ Ἡρόστρατον χελιδόνα λευκὴν φανῆναι.

Aelian. n. a. 10, 34: ὤφθησάν ποτε καὶ χελιδόνες λευκαί, ὡς Ἀλέξανδρος ὁ Μύνδιός φησιν.

532.

Aelian. de nat. an. 12, 40: Σάμιοι δὲ πρόβατον (τιμῶσι) . . . Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον (ἱερὸν) κλαπὲν πρόβατον ἀνεῦρε καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψε . . . τὸ δὲ Ἀριστοτέλης (λέγει).

533.

Schol. in Aristoph. av. 471 οὐδ' Αἴσωπον πεπάτηκας: ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ, ἠλευθερώθη δὲ ὑπὸ Ἰδμονος τοῦ κωφοῦ. ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος . . . διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον. καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ἡδοκιμηκέναι.

Exc. pol. Heraclid. 10, 5: Αἴσωπος δὲ ὁ λογοποιὸς εὐδοκίμει τότε. ἦν δὲ Θρᾷξ τὸ γένος, ἠλευθερώθη δὲ ὑπὸ Ἰδμονος τοῦ κωφοῦ, ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος.

534.

Zenob. prov. 6, 12 τὸ περὶ Δρῦν σκότος: Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων πολιτείᾳ Πριηνέων πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος.

4 corr. Ἀνθεμοῦσσα. ‖ 35 ἄλλος add. cod. Bodl. et Diog.
b6 διαδραμεῖν Vind. Marc.: δραμεῖν vulgo. ‖ 7 ἄγριον Vind.: ἄγριον ὖν Marc. c. vulg. ‖ 8 φασὶ Vind.: φησὶ Marc. c. vulg. ‖ καταρρυῆναι Vind.: κατανοῆσαι Marc. c. vulg. ‖ 14 γίνεσθαι vulgo.

Plutarchus quaest. Graec. 20: Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυὶ σκότος; Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν. ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην Δρῦν, τοὺς ἀρίστους ὁμοῦ τε καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. ταῖς δὲ Πριηνέων γυναιξίν, ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων „ὁ παρὰ τῇ Δρυὶ σκότος" διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι.

535.

Plutarch. Pericl. 26: ὑπὸ δέ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον.

536.

Plutarch. Pericl. 28: ἐνάτῳ δὲ μηνὶ τῶν Σαμίων παραστάντων ὁ Περικλῆς τὰ τείχη καθεῖλε... Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἔφορος οὔτ' Ἀριστοτέλης.

537.

Photius Σαμίων ὁ δῆμός (ἐστιν) ὡς πολυγράμματος: Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους· οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ.

Σαμοθράκων.

538.

Schol. in Apollon. Rhod. 1, 917 p. 355 (Keil) ἀρρήκτους ἀγανῇσι: ... ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθρᾴκης πολιτείᾳ.

Schol. B ad Hom. Il. ω, 78 Σάμου: τῆς νῦν Σαμοθρᾴκης ... ἐκαλεῖτο δὲ Λευκωσία.

Exc. pol. Heraclid. 21: Σαμοθρᾴκη τὸ μὲν ἐξ ἀρχῆς ἐκαλεῖτο Λευκωσία διὰ τὸ λευκὴ εἶναι.

Σικυωνίων.

539.

Pollux 9, 77: τὸ μέντοι τῶν ὀβολῶν ὄνομα οἱ μὲν ὅτι πάλαι βουπόροις ὀβελοῖς ἐχρῶντο πρὸς τὰς ἀμοιβάς, ὧν τὸ ὑπὸ τῇ δρακὶ πλῆθος ἐδόκει καλεῖσθαι δραχμή, τὰ δ' ὀνόματα καὶ τοῦ νομίσματος μεταπεσόντος εἰς τὴν νῦν χρείαν ἐνέμεινεν ἐκ τῆς μνήμης τῆς παλαιᾶς· Ἀριστοτέλης δὲ ταὐτὸν λέγων ἐν Σικυωνίων πολιτείᾳ σμικρόν τι καινοτομεῖ, ὀφελοὺς αὐτοὺς τέως ὠνομάσθαι λέγων, τοῦ μὲν ὀφέλλειν δηλοῦντος τὸ αὔξειν, αὐτῶν δὲ διὰ τὸ εἰς μῆκος ηὐξῆσθαι ὧδε κληθέντων. ὅθεν καὶ τὸ ὀφείλειν ὠνομάσθαι φησὶν οὐκ οἶδ' ὅπως· ἐπὶ μέντοι τῶν ὀβελῶν ὑπηλλάχθαι τὸ φ̄ εἰς· τὸ β̄ κατὰ συγγένειαν.

Plutarch. Lysand. 17: τοῦτο δὲ (τὸ πάτριον τῶν Λακεδαιμονίων νόμισμα) ἦν σιδηροῦν ... κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο.

(Σινωπέων.)

540.

Schol. in Apollon. Rhod. 2, 946 p. 436, 15 (Keil) ἔνθα Σινώπη: ... κατ' Εὔμηλον καὶ Ἀριστοτέλη Ἀσωποῦ (ἡ Σινώπη).

(Συβαριτῶν.)

541.

Athen. XII p. 520: εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες (οἱ Συβαρῖται) ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται ὅτε αὐτοῖς ἐπολέμουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ διὰ τῆς πολιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐλητὰι ἐν στρατιωτικῇ σκευῇ. καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι οὐ μόνον ἐξωρχήσαντο ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας.

Iulius Africanus cest. 14 p. 293 (ed. Par. 1693 post Mathemat. vet.): εἰς τοῦτό ποτε ἐλάσαι τρυφῆς Συβαρίτας λόγος ὡς παρὰ δεῖπνον εἰς τὸ συμπόσιον αὐτοὺς (τοὺς ἵππους) εἰσάγειν, τοὺς δ' ἀκούσαντας αὐλήματος ἀνίστασθαι ἐπὶ τῷ πόδε καὶ τοῖς προσθίοις ὥσπερ χειρονομοῦντας ὀρχεῖσθαι. ὑβρισθέντα δὲ αὐλητὴν εἰς Κροτωνιάτας αὐτομολῆσαι προσφάτως ἱππομαχίᾳ νενικημένους, μέγιστα δὲ ὠφελήσειν τὸ κοινὸν ἐπαγγείλασθαι· παραδώσειν γὰρ πᾶν τὸ Συβαριτικὸν ἱππικὸν αἰχμάλωτον. πιστεῦσαι τοὺς Κροτωνιάτας αὐτῷ καὶ ἐπιτρέψαι στρατηγεῖν, τὸν δὲ αὐλήσαντα τοῖς τῆς πόλεως

39 λευκωνία cod. ‖ 41 λευκανία codd.

αὐλητὰς δεῖξαι τὸ μέλος καὶ ὅτε καιρὸς ἦν παρεγγυῆσαι τὴν ἐπὶ τοὺς πολεμίους ἔξοδον. ὡς δὲ οἱ Συβαρῖται ἐπῆλθον πανδημεὶ πολύ τι φρυαττόμενοι τῇ τῆς ἵππου περιουσίᾳ καὶ ἀνεμίγησαν αἱ φάλαγγες, ὑπὸ σημεῖον ἐν ηὔλησαν οἱ πάντες, συνήθους δὲ ἤχου ἀκούσαντες οἱ ἵπποι ὥσπερ οἶκοι ἐδιδάσκετο ἀποσεισάμενοι τοὺς ἀναβάτας ὑπωρχοῦντο πάντες. τότε οὖν οἱ ἱππόται ἐάλωσαν κείμενοι καὶ οἱ ἵπποι ἐλήφθησαν ὀρχούμενοι, ἀναστησάντων αὐτοὺς συνήθων μελῶν.

542.

Athen. XII p. 523: καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ.

Συρακοσίων.

543.

Poll. 6, 16: καί που καὶ (οἶνος) γλυκὺς Πόλλιος. ἔστι μὲν ἐκ Συρακουσῶν, Πόλλις δ' αὐτὸν ὁ Ἀργεῖος πρῶτος ἐπεσκεύασεν, ἀφ' οὗ καὶ τοὔνομα, ἢ ἀπὸ τοῦ Συρακοσίων βασιλέως Πόλλιδος, ὡς Ἀριστοτέλης λέγει.

Athen. epit. I p. 31[b] . . . ἣν (ἄμπελον Βιβλίαν) Πόλλιν τὸν Ἀργεῖον, ὃς ἐβασίλευσε Συρακοσίων, πρῶτον εἰς Συρακούσας κομίσαι (φασὶν) ἐξ Ἰταλίας. εἴη ἂν οὖν ὁ παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος.

Etym. M. p. 197, 32 (Lex. Seg.) s. Βίβλινος οἶνος: . . . ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρᾳκίας ἀμπέλου, ἥτις διὰ τὸ εὐθαλὴς εἶναι ἐν Ἑλλάδι, μετετέθη καὶ ἐν Σικελίᾳ ὑπὸ Πόλλιδος τοῦ Συρακουσίου τυράννου· ἔνθεν αὐτήν τινες καὶ Πόλλιν καλοῦσιν.

Aelianus var. hist. 12, 31: καὶ ἐν Συρακούσαις Πόλλιος· ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως.

544.

Phot. s. καλλικύριοι: οἱ ἀντὶ τῶν γεωμόρων ἐν Συρακούσαις γενόμενοι, πολλοί τινες τὸ πλῆθος. δοῦλοι δ' ἦσαν οὗτοι τῶν φυγάδων ὡς Τίμαιος ἐν ς̄· ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς καλλικυρίους ἔλεγον. ὠνομάσθησαν δ' ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν παντοδαποὶ ὄντες, ὡς Ἀριστοτέλης ἐν Συρακουσίων πολιτείᾳ, ὅμοιοι τοῖς παρὰ Λακεδαιμονίοις εἵλωσι καὶ παρὰ Θεσσαλοῖς πενέσταις καὶ παρὰ Κρησὶ κλαρώταις.

Zenob. prov. 4, 54 (Hesych. s. v.) καλλικυρίων πλείους: οὕτως ἐν Συρακούσαις ἐκλήθησαν οἱ ἐπεισελθόντες γεωμόροις καλλικύριοι. ἔνθεν παροιμιωδῶς ἔλεγον, εἴ ποτε πλῆθος ἤθελον ἐμφῆναι, ὅτι πλείους ἦσαν τῶν καλλικυρίων. δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον. ἡ δὲ αἰτία τῆς κλήσεως αὐτῶν διὰ τὸ παντοδαποὺς εἰς ταὐτὸ συνελθεῖν ὥστε τοῖς κυρίοις ἐγκεῖσθαι.

Eustath. in Il. p. 295, 31 ἐν ῥητορικῷ εὕρηται λεξικῷ . . . ὅτι ὥσπερ εἵλωται . . . καλλικύριοι δὲ ἐν Κρήτῃ.

545.

Schol. in Pind. Pyth. 1, 89: αὐτὸν δὲ τὸν Ἱέρωνα ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ (φησὶν Ἀριστοτέλης) δυσουρίᾳ δυστυχῆσαι.

546.

Athen. X p. 435[e]: Ἀριστοτέλης δ' ἐν τῇ Συρακουσίων πολιτείᾳ καὶ συνεχῶς φησὶν αὐτὸν (Διονύσιον τὸν νεώτερον) ἔσθ' ὅτε ἐπὶ ἡμέρας ἑνενήκοντα μεθύειν· διὸ καὶ ἀμβλυωπότερον γενέσθαι τὰς ὄψεις.

Plutarch. Dion. 7: ἡμέρας γάρ, ὥς φασιν, ἑνενήκοντα συνεχῶς ἔπινεν ἀρξάμενος καὶ τὴν αὐλὴν ἐν τῷ χρόνῳ τούτῳ . . . μέθαι καὶ σκώμματα . . . κατεῖχον.

547.

Pollux 9, 87: . . . τὸ μέντοι Σικελικὸν τάλαντον ἐλάχιστον ἴσχυεν, τὸ μὲν ἀρχαῖον, ὡς Ἀριστοτέλης λέγει, τέτταρας καὶ εἴκοσι τοὺς νούμμους, τὸ δὲ ὕστερον δυοκαίδεκα· δύνασθαι δὲ τὸν νοῦμμον τρία ἡμιωβόλια.

Ταραντίνων.

548.

Poll. 9, 80: καὶ Ἀριστοτέλης ἐν τῇ Ταραντίνων πολιτείᾳ καλεῖσθαί φησι νόμισμα παρ' αὐτοῖς νοῦμμον, ἐφ' οὗ ἐντετυπῶσθαι Τάραντα τὸν Ποσειδῶνος δελφῖνι ἐποχούμενον.

Τεγεατῶν.

549.

Schol. in Apollon. Rh. 4, 264 p. 494 Ἀρκάδες οἱ καὶ πρόσθεν: . . . Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων

13 lacunam vidit Casaubonus. epitome Athenaei simpliciter habet ὕστερον δ' οἱ Κολοφώνιοι. ‖ 34 εὔφορος cod. V et Gaisf., εὔθυνος D. P. ‖ 35 Σικυωνίου codd. ‖ 40 = κιλλικύριοι Phot. s. v.

[b] 1 ἀριστο φ Suid. cod. E. ‖ 13 ἐν κρήτῃ pro ἐν Συρακούσαις.

ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην, διὸ κατωνομάσθησαν προσέληνοι.

550.

Plutarch. quaest. Graec. 5: Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί; Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες ἐποιήσαντο συνθήκας καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

Plutarch. quaest. Rom. 52: καὶ γὰρ Ἀριστοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίους συνθήκαις γεγράφθαι φησὶ μηδένα χρηστὸν ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν, ὅπερ εἶναι μηδένα ἀποκτιννύναι.

Τενεδίων.

551.

Stephan. Byz. ethn. ep. s. Τένεδος ... ἔστι καὶ ἑτέρα παροιμία Τενέδιος πέλεκυς, ἐπὶ τῶν ἤτοι πικρῶς ἢ καὶ μᾶλλον συντόμως ἀποκοπτόντων τὰ ζητήματα καὶ τὰ ἄλλα πράγματα. . . . φησὶν Ἀριστοτέλης ἐν τῇ Τενεδίων πολιτείᾳ ὅτι βασιλεύς τις ἐν Τενέδῳ νόμον ἔθηκε τὸν καταλαμβάνοντα μοιχοὺς ἀναιρεῖν πελέκει ἀμφοτέρους. ἐπειδὴ δὲ συνέβη τὸν υἱὸν αὐτοῦ καταληφθῆναι μοιχόν, ἐκύρωσε καὶ περὶ τοῦ ἰδίου παιδὸς τηρηθῆναι τὸν νόμον καὶ ἀναιρεθέντος εἰς παροιμίαν παρῆλθε τὸ πρᾶγμα ἐπὶ τῶν ὠμῶς πραττομένων. διὰ τοῦτό φησι καὶ ἐπὶ τοῦ νομίσματος τῶν Τενεδίων κεχαράχθαι ἐν μὲν τῷ ἑτέρῳ μέρει πέλεκυν, ἐπὶ δὲ τοῦ ἑτέρου δύο κεφαλὰς εἰς ὑπόμνησιν τοῦ περὶ τὸν παῖδα παθήματος.

(**Diogenian. prov.** 8, 58. **Hesych. s.** Τενέδιον βέλος) **Photius s.** Τενέδιος ξυνήγορος: ... καὶ παροιμία· Τενέδιος πέλεκυς· Ἀριστοτέλης μέντοι ὅτι βασιλεὺς Τενέδιος [μετὰ πελέκεως δικάζων τὸν ἀδικοῦντα εὐθέως ἀνῄρει ... ἢ ὅτι βασιλεύς τις] νόμον θεὶς πελέκει τοὺς μοιχοὺς ἄμφω καρατομεῖν καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησεν τοῦτο· καθ' ὃ καὶ ἐν τῷ νομίσματι ἐφ' οὗ μὲν πέλεκυς ἐφ' οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος.

Exc. pol. Heraclid. 7, 3: νόμον δέ τινά φασι τῶν βασιλέων Τενεδίοις θέσθαι, εἴ τις λάβοι μοιχόν, ἀποκτεῖναι τοῦτον πελέκει. ἁλόντος δὲ τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ λαβόντος ἐρομένου τὸν βασιλέα τί χρὴ ποιεῖν, ἀποκρίνασθαι τῷ νόμῳ χρῆσθαι. καὶ διὰ τοῦτο τοῦ νομίσματος αὐτοῦ ἐπὶ θάτερα πέλεκυς κεχάρακται, ἐπὶ θάτερα δὲ ἐξ ἑνὸς αὐχένος πρόσωπον ἀνδρὸς καὶ γυναικός. καὶ ἐκ τούτου λέγεται ἐπὶ τῶν ἀποτόμων τὸ ἀποκεκόφθαι Τενεδίῳ πέλεκει.

552.

Strabo VIII p. 380: καὶ ἡ Τενέα δ' ἐστὶ κώμη τῆς Κορινθίας, ἐν ᾗ τοῦ Τενεάτου Ἀπόλλωνος ἱερόν ... δοκεῖ δὲ καὶ συγγένειά τις εἶναι Τενεδίοις πρὸς τούτους ἀπὸ Τέννου τοῦ Κύκνου, καθάπερ εἴρηκεν Ἀριστοτέλης· καὶ ἡ τοῦ Ἀπόλλωνος δὲ τιμὴ παρ' ἀμφοτέροις ὁμοία οὖσα δίδωσιν οὐ μικρὰ σημεῖα.

Pausan. 2, 5 ... ἡ καλουμένη Τενέα. οἱ δὲ ἄνθρωποί φασιν οἱ ταύτῃ Τρῶες εἶναι, αἰχμάλωτοι δὲ ὑπὸ Ἑλλήνων ἐκ Τενέδου γενόμενοι ἐνταῦθα Ἀγαμέμνονος δόντος οἰκῆσαι· καὶ διὰ τοῦτο θεῶν μάλιστα Ἀπόλλωνα τιμῶσιν.

(Τηνίων.)

553.

Plin. n. h. 4, 65: *Tenos . . . quam propter aquarum abundantiam Aristoteles Hydrussam appellatam ait.*

Stephan. Byz. s. Τῆνος: νῆσος Κυκλάς, ἀπὸ οἰκιστοῦ Τήνου. ἐκλήθη καὶ Ὑδροῦσσα διὰ τὸ κατάρρυτον εἶναι.

Τροιζηνίων.

554.

Athen. epit. I p. 31c: ἐν τῷ χρησμῷ, φησίν, ὁ θεὸς ηὐτομάτισε·

πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες.

ὠνομάζετο δὲ παρὰ Τροιζηνίοις, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ αὐτῶν πολιτείᾳ, ἄμπελος Ἀνθηδονιὰς καὶ Ὑπερειάς, ἀπὸ Ἄνθου τινὸς καὶ Ὑπέρου, ὡς καὶ Ἀλθηφιὰς ἀπὸ Ἀλθηφίου τινὸς ἑνὸς τῶν Ἀλφειοῦ ἀπογόνων.

555.

Plutarch. quaest. Graec. 19: Τίς ἡ Ἀνθηδὼν περὶ ἧς ἡ Πυθιὰς εἶπε· πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις; ἡ γὰρ ἐν Βοιωτοῖς οὐκ ἔστι πολύοινος. τὴν Καλαυρίαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. εἶχε δὲ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί·

b32 γ'; κ' Schweigh. et Mein. ‖ 34 Ὑπεριάς vulgo, corr. Meineke.

πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες.
ταῦτα μὲν ὁ Ἀριστοτέλης.

556.

Plutarch. Thes. 3: Πιτθεὺς ὁ Θησέως πάππος πόλιν μὲν οὐ μεγάλην τὴν Τροιζηνίων ᾤκισε, δόξαν δὲ μάλιστα πάντων ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος ἔσχεν. ἦν δὲ τῆς σοφίας ἐκείνης τοιαύτη τις ὡς ἔοικεν ἰδέα καὶ δύναμις, οἵᾳ χρησάμενος Ἡσίοδος εὐδοκίμει μάλιστα περὶ τὰς ἐν τοῖς Ἔργοις γνωμολογίας. καὶ μίαν γε τούτων ἐκείνην λέγουσι Πιτθέως εἶναι „μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω". τοῦτο μὲν οὖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν.

Φωκαιέων.

557.

Clemens Alex. strom. I p. 144 Sylb.: Ἐξήκεστός τε ὁ Φωκαιέων τύραννος δύο δακτυλίους φορῶν γεγοητευμένους τῷ ψόφῳ τῷ πρὸς ἀλλήλους διησθάνετο τοὺς καιροὺς τῶν πράξεων, ἀπέθανεν δὲ ὅμως δολοφονηθεὶς καίτοι προσημήναντος τοῦ ψόφου, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Φωκαιέων πολιτείᾳ.

(Χαλκηδονίων.)

558.

Plinius n. h. 7, 207: *quadriremem Aristoteles (auctor est fecisse) Carthaginienses.*

Clemens Alex. strom. I p. 132 Sylb.: Καρχηδόνιοι δὲ πρῶτοι τετρήρη κατεσκεύασαν, ἐναυπήγησε δὲ αὐτὴν Βόσπορος αὐτοσχέδιον.

(Χαλκιδέων.)

559.

Strabo X p. 445: Εὔβοιαν γοῦν εἰπὼν ὁ ποιητὴς τοὺς ἀπ' αὐτῆς Εὐβοέας οὐδέποτε εἴρηκεν, ἀλλ' Ἄβαντας ἀεί ... φησὶ δ' Ἀριστοτέλης ἐξ Ἄβας τῆς Φωκικῆς Θρᾶκας ὁρμηθέντας ἐποικῆσαι τὴν νῆσον καὶ ἐπονομάσαι Ἄβαντας τοὺς ἔχοντας αὐτήν.

560.

Strabo X p. 447: αἱ δ' οὖν πόλεις αὗται (Ἐρέτρια καὶ ἡ Χαλκὶς) διαφερόντως αὐξηθεῖσαι καὶ ἀποικίας ἔστειλαν ἀξιολόγους εἰς Μακεδονίαν. Ἐρέτρια μὲν γὰρ συνῴκισε τὰς περὶ Παλλήνην καὶ τὸν Ἄθω πόλεις, ἡ δὲ Χαλκὶς τὰς ὑπὸ Ὀλύνθῳ, ἃς Φίλιππος διελυμήνατο. καὶ τῆς Ἰταλίας δὲ καὶ Σικελίας πολλὰ χωρία Χαλκιδέων ἐστίν. ἐστάλησαν δὲ αἱ ἀποικίαι αὗται, καθάπερ εἴρηκεν Ἀριστοτέλης, ἡνίκα ἡ τῶν ἱπποβοτῶν ἐπεκράτει πολιτεία· προέστησαν γὰρ αὐτῆς ἀπὸ τιμημάτων ἄνδρες ἀριστοκρατικῶς ἄρχοντες.

L. NOMIMA.

561.

Varro de ling. Lat. 7, 70 (p. 147 O. Müller): *praefica dicta, ut Aurelius scribit, mulier ad luctum quae conduceretur, quae ante domum mortui laudes eius caneret. hoc factitatum Aristoteles scribit in libro qui inscribitur* νόμιμα βαρβαρικά.

Hesych. s. Καρῖναι: θρηνῳδοὶ μουσικαί, αἱ τοὺς νεκροὺς τῷ θρήνῳ παραπέμπουσαι πρὸς τὰς ταφὰς καὶ τὰ κήδη. παρελαμβάνοντο δὲ αἱ ἀπὸ Καρίας γυναῖκες.

562.

Apollonius hist. mirab. 11: Ἀριστοτέλης δὲ ἐν νομίμοις βαρβαρικοῖς· ⟨ἐν Λατμῷ⟩ τῆς Καρίας σκορπίοι γίνονται οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παραυτὰ ἀποκτείνουσιν.

Antigonus hist. mir. 18: ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀριστοτέλης τοὺς σκορπίους ἐὰν μὲν τῶν ξένων τινὰ πατάξωσιν, μετρίως λυπεῖν, ἐὰν δὲ τῶν ἐγχωρίων, ἕως θανάτου κατατείνειν.

Plinius n. h. 8, 229: *in Latmo Cariae monte Aristoteles tradit a scorpionibus hospites non laedi, indigenas interimi.*

Aelianus n. a. 5, 14: ἐν Λατμῷ τῆς Καρίας ἀκούω σκορπίους εἶναι, οἵπερ οὖν τοὺς μὲν πολίτας σφίσι παίουσιν ἐς θάνατον, τοὺς δὲ ξένους ἡσυχῇ καὶ ὅσον παρασχεῖν ὀδαξησμόν.

563.

Plinius 7, 15: *supra Nasamonas confinesque illis Machlyas Androgynos esse utriusque naturae inter se vicibus coeuntes Calliphanes tradit. Aristoteles adicit dextram mammam iis virilem, laevam muliebrem esse.*

564.

Steph. Byz. s. Γέρμαρα: Κελτικῆς ἔθνος, ὃ τὴν ἡμέραν οὐ βλέπει, ὡς Ἀριστοτέλης περὶ θαυμασίων· τοὺς δὲ Λωτοφάγους καθεύδειν ἑξάμηνον.

18 (item 22) Φωκέων vulgo. ‖ 27 Carthaginienses pro Chalcedoniis (vel ipsius vel fontis) errore infert Plinius. ‖ 28 immo Χαλκηδόνιοι. ‖ 30 αὐτοσχέδιον: αὐτόχθων Euseb. ex Clem. et exc. Palat.

b11 *ad luctum* Turnebus: codd. *ab luco* vel *a luco.* ‖ 14 *nomina barbarica* codd., corr. Turnebus. ‖ 21 ἐν Λάτμῳ additur ex Antig. ‖ 42 γέρμερα codd. Rehdig. Voss. „*an* Γερμέραι?" Mein. ‖ 43 περὶ θαυμασίων: sic errore (cf. A. P. p. 624).

565.

Athenaei epit. I p. 23[d]: Ἀριστοτέλης ἐν Τυρρηνῶν νομίμοις „οἱ δὲ Τυρρηνοὶ δειπνοῦσι μετὰ τῶν γυναικῶν ἀνακείμενοι ὑπὸ τῷ αὐτῷ ἱματίῳ".

Exc. pol. 17 Τυρρηνῶν: . . . πάντες δὲ ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατάκεινται κἂν παρῶσί τινες.

566.

Pollux 4, 56: Τυρρηνοὶ δὲ τῷ Ἀριστοτέλους λόγῳ οὐ πυκτεύουσιν ὑπ' αὐλῷ μόνον, ἀλλὰ καὶ μαστιγοῦσι καὶ ὀψοποιοῦσιν.

Plutarch. de cohib. ira 11: οὐ γάρ, ὡς Ἀριστοτέλης ἱστορεῖ κατ' αὐτὸν ἐν Τυρρηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλόν, οὕτω πρὸς ἡδονὴν δεῖ . . . τῆς τιμωρίας ἐμφορεῖσθαι.

Athenaeus XII p. 518: ὑπὸ δὲ τῆς τρυφῆς οἱ Τυρρηνοί, ὡς Ἄλκιμος ἱστορεῖ, πρὸς αὐλὸν καὶ μάττουσι καὶ πυκτεύουσι καὶ μαστιγοῦσιν.

567.

Dionysius Halicarn. ant. Rom. 1, 72: Ἀριστοτέλης δὲ ὁ φιλόσοφος Ἀχαιῶν τινὰς ἱστορεῖ τῶν ἀπὸ Τροίας ἀνακομισαμένων περιπλέοντας Μαλέαν, ἔπειτα χειμῶνι βιαίῳ καταληφθέντας, τέως μὲν ὑπὸ τῶν πνευμάτων φερομένους πολλαχῇ τοῦ πελάγους πλανᾶσθαι, τελευτῶντας δ' ἐλθεῖν εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς, ὃς καλεῖται Λάτιον ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενος. ἀσμένους δὲ τὴν γῆν ἰδόντας ἀνελκύσαι τε τὰς ναῦς αὐτόθι καὶ διατρῖψαι τὴν χειμερινὴν ὥραν παρασκευαζομένους ἔαρος ἀρχομένου πλεῖν. ἐμπρησθεισῶν δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νηῶν οὐκ ἔχοντας ὅπως ποιήσονται τὴν ἄπαρσιν, ἀβουλήτῳ ἀνάγκῃ τοὺς βίους ἐν ᾧ κατήχθησαν χωρίῳ ἱδρύσασθαι. συμβῆναι δὲ αὐτοῖς τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἔχοντες ἐξ Ἰλίου· ταύτας δὲ κατακαῦσαι τὰ πλοῖα φοβουμένας τὴν οἴκαδε Ἀχαιῶν ἄπαρσιν ὡς εἰς δουλείαν ἀφιξομένας.

Plutarchus quaest. Rom. 6: Διὰ τί τοὺς συγγενεῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες; . . . ἢ δι' ἣν Ἀριστοτέλης ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε; τὸ γὰρ πολυθρύλλητον ἐκεῖνο καὶ πολλαχοῦ γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολμήθη καὶ ταῖς Τρωάσι περὶ τὴν Ἰταλίαν. τῶν γὰρ ἀνδρῶν ὡς προσέπλευσαν ἀποβάντων, ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης, φοβηθεῖσαι δὲ τοὺς ἄνδρας ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι τοὺς προστυγχάνοντας· παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τὸ λοιπὸν ταύτῃ τῇ φιλοφροσύνῃ πρὸς αὐτούς.

(Serv. in Aen. 1, 273. Solin. 1) Festus s. *Roma* (p. 269 O. Müll.): *Lembos qui appellatur Heraclides existimat, revertentibus ab Ilio Achivis, quosdam tempestate deiectos in Italiae regiones, secutos Tiberis decursum, pervenisse ubi nunc sit Roma ibique propter taedium navigationis impulsas captivas auctoritate virginis cuiusdam tempestivae nomine Rhomes incendisse classem atque ab ea necessitate ibi manendi urbem conditam ab eis et potissimum eius nomine eam appellatam, a cuius consilio eas sedes sibi firmavissent.*

568.

Plutarch. Camill. 22: Ἀριστοτέλης δὲ ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν (Ῥώμην) ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς, τὸν δὲ σώσαντα Λεύκιον εἶναί φησιν· ἦν δὲ Μάρκος, οὐ Λεύκιος, ὁ Κάμιλλος.

LI. ΔΙΚΑΙΩΜΑΤΑ.

Vita Arist. Marc. (f. 276): καὶ τὰ γεγραμμένα αὐτῷ δικαιώματα Ἑλληνίδων πόλεων ἐξ ὧν Φίλιππος τὰς φιλονεικίας τῶν Ἑλλήνων διέλυσεν, ὡς μεγαλορρημον⟨ήσαντά π⟩οτε καὶ εἰπεῖν „ὥρισα γῆν Πέλοπος".

Vit. Ar. vers. lat. vet.: *et scriptas ab eo iustificationes Graecarum civitatum, cum quibus Philippus lites Graecorum determinabat.*

569.

Harpocr. s. Δρυμός: πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς . . . Ἀριστοτέλης δ' ἐν τοῖς δικαιώμασί φησιν οὕτως „ἔπειτα Δρυμὸν ἓν Ἀττικὸν καὶ ἕτερον Βοιώτιον".

570.

Steph. Byz. ep. s. Ὠρωπός . . . Ἀριστοτέλης γοῦν τὸν Ὠρωπὸν Γραῖάν φησι λέγεσθαι· ἡ δὲ Γραῖα τόπος τῆς Ὠρωπίας πρὸς τῇ θαλάσσῃ κατ' Ἐρετρίας καὶ Εὐβοίας κειμένη.

idem s. Τάναγρα: . . . Ἀριστοτέλης δὲ Γραῖαν καλεῖ τὴν νῦν Ὠρωπόν· ἔστι δὲ τόπος τῆς τῶν Ὠρωπίων πόλεως πρὸς τῇ θαλάττῃ.

Strabo IX p. 404: καὶ ἡ Γραῖα δ' ἐστὶ τόπος Ὠρωποῦ πλησίον.

---

40 τῶν γὰρ ἀνδρῶν . . . miscentur diversae narrationes, sicut apud eundem Plut. Romul. 1 et de mul. virt. 1. cf. Dionys.
[b]25 explevi lacunam codicis μεγαλορημ⟨ον . . . .⟩οτε: μεγαλορρημονεῖν ποτε Robbe (male: nam servatum in codice reperi acutum proximae ante ποτε litterae impositum).

571.

Ammonius de diff. voc. p. 98 (Valck.) s. νῆες: Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων φησὶν οὕτως ὅτι διαφέρουσιν αἱ νῆες τῶν πλοίων. τὰ μὲν γὰρ ἐστι στρογγύλα, αἱ δὲ κωπήρεις καὶ στρατιώτιδες. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν δικαιώμασι τῶν πόλεων οὕτως „Ἀλέξανδρος ὁ Μολοττὸς ὑπὸ τὸν αὐτὸν χρόνον, Ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατηγικοῖς.

Eustathius in Hom. p. (684 et 1408 et) 1727: Ἐρέννιος οὖν Φίλων διαφέρειν φησὶ νῆας πλοίων κατὰ Δίδυμον· τὰ μὲν γὰρ στρογγύλα, αἱ δὲ στρατιώτιδες. εἰς ὃ φέρει καὶ χρῆσιν Ἀριστοτέλους ταύτην „Ἀλέξανδρος ὁ Μολοττὸς κτλ.

LII. ΠΥΘΙΟΝΙΚΑΙ.

572.

Plutarch. Solon. 11: ἤδη μὲν οὖν καὶ ἀπὸ τούτων ἔνδοξος ἦν ὁ Σόλων καὶ μέγας, ἐθαυμάσθη δὲ καὶ διεβοήθη μᾶλλον ἐν τοῖς Ἕλλησιν εἰπὼν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς ὡς χρὴ βοηθεῖν καὶ μὴ περιορᾶν Κιρραίους ὑβρίζοντας εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ θεοῦ Δελφοῖς. πεισθέντες γὰρ ὑπ' ἐκείνου πρὸς τὸν πόλεμον ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι καὶ Ἀριστοτέλης ἐν τῇ τῶν πυθιονικῶν ἀναγραφῇ Σόλωνι τὴν γνώμην ἀνατιθείς.

573.

Hesych. lex. s. Βοῦθος περιφοιτᾷ: παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα τοῦ Πύθια νικήσαντος, ὃν ἀναγράφει καὶ Ἀριστοτέλης νενικηκότα.

Zenob. proverb. 2, 66 (Plut. prov. 1, 33): Βοῦθος περιφοιτᾷ: ταῦτης μέμνηται Κρατῖνος ἐν Χείρωσι. τέτακται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων ἀπό τινος πυθιονίκου Βούθου μετενεχθεῖσα.

Herodian. π. μον. λέξ. p. 42, 9: Βοῦθος Πύθια νικήσας· παροιμία Βοῦθος περιφοιτᾷ.

574.

Schol. in Pindar. Isthm. 2 inscr. Ξενοκράτει Ἀκραγαντίνῳ: ... οὗτος δὲ ὁ Ξενοκράτης οὐ μόνον Ἴσθμια νενίκηκεν ἵπποις, ἀλλὰ καὶ Πύθια τὴν εἰκοστὴν τετάρτην πυθιάδα, ὡς Ἀριστοτέλης ἀναγράφει.

Schol. in Pind. olymp. 2, 87 (Vrat. D, Gott., Vindob.): Ὀλύμπια μὲν γὰρ αὐτὸς (ὁ Θήρων) γέρας ἔδεκτο, ἀντὶ τοῦ μόνος· Πύθια δὲ καὶ Ἴσθμια Ξενοκράτης. κατὰ δὲ τὴν τοῦ Ἀριστοτέλους (ἀναγραφὴν) πυθιονίκης μόνος Θήρων ἀναγέγραπται. ἤτοι οὖν συλληπτικῶς εἴρηκεν ἢ ἐπεὶ Θήρωνος ἵπποις ὁ Ξενοκράτης ἐνίκησε· διὸ καὶ συνανεκήρυξε Θήρωνα.

Schol. in Pind. Pyth. 6 inscr. (p. 387) Ξενοκράτει Ἀκραγαντίνῳ: γέγραπται Ξενοκράτει Ἀκραγαντίνῳ νενικηκότε κατὰ τὴν κδ πυθιάδα.

LIII. ΔΙΔΑΣΚΑΛΙΑΙ.

Schol. Aristoph. Plut. 385: ἐν μέντοι ταῖς διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός.

Schol. in Eurip. Androm. 446 (p. 288 Cobet): εἰλικρινῶς δὲ τοῦ δράματος χρόνους οὐκ ἔστι λαβεῖν· οὐ δεδίδακται γὰρ Ἀθήνησιν.

cf. Schol. vesp. 1031. av. 1242. A. P. p. 551 sq.

575.

Schol. Aristoph. ran. 1124 (1155 Dind.) ἐξ Ὀρεστείας: τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν.

Argum. Aesch. Agam.: ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

576.

Schol. Aristoph. av. 281 (282 Dind.) οὗτος μέν ἐστι Φιλοκλέους: οὗτος ὁ Φιλοκλῆς ἔποπα ἐσκευάσεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ, οὗ ἡ ἀρχὴ „σὲ τῶν ἁπάντων ⟨Ἥλιε⟩ δεσπότην λέγω" ... ἄλλως. ὁ Σοφοκλῆς πρῶτον τὸν Τηρέα ἐποίησεν, εἶτα Φιλοκλῆς ... ἄλλως ... εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκὼς τῇ Πανδιονίδι τετραλογίᾳ, ἣν καὶ Ἀριστοτέλης ἐν ταῖς διδασκαλίαις ἀναγράφει. ἔστι δὲ ὁ Φιλοκλῆς τραγῳδίας ποιητὴς καὶ Φιλοπείθους υἱὸς ἐξ Αἰσχύλου ἀδελφῆς.

577.

Harpocrat. lex. X orat. s. Σθένελος: ... καὶ ἐν ταῖς διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας ποιητής.

578.

Schol. Aristoph. nub. 552: ... δῆλον δὲ ὅτι πρότερος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς δι-

6 πόλεων Eustath. p. 684: πολέμων codd.
b3 scr. Ξενοκράτης. ‖ 32 τῶν ἁπάντων Wagner: τῶν (τὸν) πάντων codd. RV. ‖ 37 codd. κωμῳδίας.

δασκαλίαις ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον· αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις λέγεται „εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην".

Arg. nub. (5): αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ.

579.

Arg. (3) Aristoph. pac. (schol. ed. Dind. t. III p. 5): ἄλλως. φέρεται ἐν ταῖς διδασκαλίαις δεδιδαχὼς Εἰρήνην ὁμωνύμως ὁ Ἀριστοφάνης. ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν ἢ ἑτέραν καθῆκεν ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο εἶδε δράματα γράφων οὕτως „ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ". καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.

Arg. (1) pac. (p. 4 Dind.) ... ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν ἄστει. πρῶτος Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτορσι. τὸ δὲ δρᾶμα ὑπεκρίνετο Ἀπολλόδωρος, ἐνίκα Ἕρμων ὁ ὑποκριτής.

580.

Arg. Sophocl. Aiac.: ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ μαστιγοφόρος, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ ... ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς Αἴας ἀναγέγραπται.

581.

Harpocrat. s. διδάσκαλος: ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν ἢ τῶν τραγῳδιῶν. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ χορευτοῦ „ἔλαχον, φησί, Παντακλέα διδάσκαλον". ὅτι γὰρ ὁ Παντακλῆς ποιητής, δεδήλωκεν Ἀριστοτέλης ἐν ταῖς διδασκαλίαις.

582.

Phot. lex. s. ὄνου σκιά ... Ἀριστοτέλης δὲ ἐν διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν.

Zenob. 6, 28 ὑπὲρ ὄνου σκιᾶς: ... καὶ Ἀρχίππῳ δὲ κωμῳδία γέγονεν Ὄνου σκιά.

583.

Arg. Eurip. Rhes. (t. I p. 339 et 549 Kirchhoff): τοῦτο τὸ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν, Εὐριπίδου δὲ μὴ εἶναι· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνει χαρακτῆρα. ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται.

584.

Schol. Aristoph. ran. 67 καὶ ταῦτα τοῦ τεθνηκότος (τοῦ Εὐριπίδου): ... οὕτω γὰρ καὶ αἱ διδασκαλίαι φέρουσι τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.

Suid. s. Εὐριπίδης ... νίκας δ' ἀνείλετο ε̄, τὰς μὲν δ̄ περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτὴν ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου.

585.

Schol. in Plat. apolog. p. 330 Bekk. ... Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητὴς Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς Λαίου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν, ὡς Ἀριστοτέλης διδασκαλίαις.

586.

Schol. Aristoph. av. 1379 τί δεῦρο πόδα σὺ κυλλὸν (ἀνὰ κύκλον κυκλεῖς): ... Δίδυμος μὲν κύκλον ἐπεὶ κυκλίων ᾀσμάτων ποιητής ἐστι, κυλλὸν δέ, ἐπεὶ χωλός ἐστιν (ὁ Κινησίας). εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις. ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς διδασκαλίαις δύο φησὶ γεγονέναι.

587.

Schol. Aristoph. ran. 404: ἐπὶ γοῦν τοῦ Καλλίου τούτου φησὶν Ἀριστοτέλης ὅτι σύνδυο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς.

LIV. ΥΠΟΜΝΗΜΑΤΑ ΙΣΤΟΡΙΚΑ

(Ἀριστοτέλους ἢ Θεοφράστου).

588.

Athen. IV p. 173e: Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι περὶ Μαγνήτων λέγων τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ ὅτι Δελφῶν εἰσὶν ἄποικοι, τοσαύτας ἐπιτελοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγιγνομένοις τῶν ξένων λέγων οὕτως „Μάγνητες οἱ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ κατοικοῦντες ἱεροὶ τοῦ θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην,

15 φαίνεται V. ‖ 16 ὁμωνύμως Dind.: codd. RV ὁμοίως, ed. Ald. sic: φέρεται ἐν ταῖς διδ. ὅτι καὶ ἑτέραν ἐδίδαχεν ὁμοίως Ἀρ. εἰρήνην. ‖ 18 εἶπε Ald. ‖ 27 ἐνίκα Ἕρμων ... cf. Poll. 4, 88 Ἕρμων ἦν κωμῳδίας ὑποκριτής: codd. ἐνίκα ἑρμῆν λοιοκρότης.

b3 al. ὡς οὐκ ὂν Εὐριπίδου. ‖ 11 ὁμώνυμον cod. G: ὁμωνύμως VG. ‖ 12 ἀλκμαίω διονα V. ‖ 21 καθῆκεν Meineke.

ἅλας, ἔλαιον, ὄξος, ἔτι λύχνον, κλίνας, στρώματα, τραπέζας".

589.

Athen. XIV p. 654[d]: Ἀριστοτέλης δὲ ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι „τῶν φασιανῶν, φησί, οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων ἀλλὰ πολλῷ μείζων".

590.

Athen. epit. II p. 44[c]: Ἀριστοτέλης δ' ἢ Θεόφραστος Φιλῖνόν τινα ἱστορεῖ μήτε ποτῷ χρήσασθαί ποτε μήτε ἐδέσματι ἄλλῳ ἢ μόνῳ γάλακτι πάντα τὸν βίον.

591.

Schol. Laur. in Apollon. Rhod. 4, 834 (p. 508, 20 Keil) εἰ μὲν δὴ μαλεροῖο πυρός: περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ Μητρόδωρος ἐν πρώτῳ περὶ ἱστορίας καὶ Θεόφραστος ἐν ἱστορικοῖς ὑπομνήμασιν. καί φησι τὸν βρόμον τὸν ἀπὸ τῶν Αἰόλου νήσων ἀκούεσθαι ἕως α σταδίων· περὶ Ταυρομένιον γοῦν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον.

592.

Argum. Eurip. Medeae (p. 143 cf. 454 Kirchhoff): τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος ἐν τῷ περὶ Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι.

593.

Erotian. gloss. Hippocr. p. 312 (Franz): βουτύρῳ, ὡς καὶ Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασί φησιν ὅτι Θόας ὁ Ἰθακήσιος ἱστορεῖ παρὰ Φρυξὶ πικέριον καλεῖσθαι τὸ βούτυρον.

LV. ΠΕΠΛΟΣ

(περιέχει δὲ ἱστορίαν σύμμικτον Hesych. ind.)

Io. Tzetzes proleg. comm. in Hesiodi opp. p. 15 Gf.: Ἀριστοτέλης δ' ὁ φιλόσοφος, μᾶλλον δὲ οἶμαι ὁ τοὺς πέπλους συντάξας . . . (cf. A. P. p. 505 sqq.).

Tzetz. in Lycophr. 488 . . . κατὰ Ἀριστοτέλην τὸν τοὺς πέπλους συντάξαντα (= Schol. in Aristid. ὁ τοὺς πέπλους συνθεὶς Ἀριστοτέλης).

Socrates hist. eccl. 3, 23: διὸ οὐκ αἰσχύνονται πολλοὺς ἀνθρώπους ἀποθεώσαντες καὶ εἴθε γε κἂν χρηστοὺς τὸν τρόπον ἢ δικαίους ἢ σώφρονας, ἀλλὰ ἀνάγνους ἀδίκους μέθῃ δεδουλωμένους, Ἡρακλέας φημὶ καὶ Διονύσους καὶ Ἀσκληπιούς, καθ' ὧν συνεχῶς ἐν τοῖς αὐτοῦ λόγοις ὀμνύων Λιβάνιος οὐκ αἰσχύνεται· ὧν τοὺς ἀρσενικοὺς καὶ θηλυκοὺς ἔρωτας εἰ ἀπαριθμησαίμην, μακρὸς ἡμῖν ἔσται ὁ τῆς παρεκβάσεως λόγος. ἀρκέσει δὲ τοῖς ταῦτα γνῶναι ἐθέλουσιν ὁ Ἀριστοτέλους πέπλος καὶ ὁ Διονυσίου στέφανος καὶ Ῥηγίνου ὁ πολυμνήμων καὶ τῶν ποιητῶν τὸ πλῆθος, οἳ περὶ αὐτῶν γράψαντες γέλωτα ὄντως καὶ φλήναφον παρὰ πᾶσι τῆς Ἑλλήνων θεολογίας δεικνύουσιν.

Eustathius in Hom. Il. (β, 557) p. 285: ἰστέον δὲ καὶ ὅτι Πορφύριος εἰς Αἴαντα ἐπίγραμμα παλαιὸν φέρει τόδε . . . ἱστορεῖ δὲ ὁ αὐτὸς Πορφύριος καὶ ὅτι Ἀριστοτέλης σύγγραμμα πραγματευσάμενος, ὅπερ ἐκλήθη πέπλος, γενεαλογίας ἡγεμόνων ἐξέθετο καὶ νεῶν ἑκάστων ἀριθμὸν καὶ ἐπιγράμματα εἰς αὐτούς, ἃ καὶ ἀναγράφεται ὁ Πορφύριος ἐν τοῖς εἰς τὸν Ὅμηρον ἁπλᾶ ὄντα καὶ οὐδέν τι παχὺ καὶ φλεγμαῖνον ἔχοντα. δίστιχα δὲ τὰ ὅλα ἐκεῖνα δίχα τοῦ ῥηθέντος εἰς τὸν Αἴαντα· ἴσως γὰρ ὁ ἐπιγραμματοποιὸς ἐφιλοτεχνήσατο ἀπεναντίας ἐλθὼν τῷ ποιητῇ ἐπὶ μὲν τῷ λαμπρῷ Αἴαντι πολυλογῆσαι, τοὺς δὲ ἄλλους ἧττον σεμνῦναι.

594.

Schol. in Aristidis Panathen. (ἐνδοξότατοι πάντων οἱ κατὰ τὴν Ἑλλάδα ἀγῶνες· καὶ μὴν τούτων πρεσβύτατος ὁ τῶν Παναθηναίων, εἰ δὲ βούλει ὁ τῶν Ἐλευσινίων) **p. 323 Dind.:** ἡ τάξις τῶν ἀγώνων καθὰ Ἀριστοτέλης ἀναγράφεται· πρῶτα μὲν τὰ Ἐλευσίνια διὰ τὸν καρπὸν τῆς Δήμητρος· δεύτερα δὲ τὰ Παναθήναια ἐπὶ Ἀστέρι τῷ γίγαντι ὑπὸ Ἀθηνᾶς ἀναιρεθέντι· τρίτος ὂν ἐν Ἄργει Δαναὸς ἔθηκε διὰ τὸν γάμον τῶν θυγατέρων αὐτοῦ· τέταρτος ὁ ἐν Ἀρκαδίᾳ τεθεὶς ὑπὸ Λυκάονος, ὃς ἐκλήθη Λύκαια· πέμπτος ὁ ἐν Ἰωλκῷ Ἀκάστου καθηγησαμένου ἐπὶ Πελίᾳ τῷ πατρί· ἕκτος ὁ ἐν Ἰσθμῷ Σισύφου νομοθετήσαντος ἐπὶ Μελικέρτῃ· ἕβδομος ὁ Ὀλυμπιακὸς Ἡρακλέους νομοθετήσαντος ἐπὶ Πέλοπι· ὄγδοος ὁ ἐν Νεμέᾳ, ὃν ἔθηκαν οἱ ἑπτὰ ἐπὶ Θήβας ἐπὶ Ἀρχεμόρῳ· ἔνατος ὁ ἐν Τροίᾳ, ὃν Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ ἐποίησεν· δέκατος ὁ Πυθικός, ὃν οἱ Ἀμφικτύονες ἐπὶ τῷ Πύθωνος φόνῳ ἔθηκαν. ταύτην τὴν τάξιν ὁ τοὺς πέπλους συνθεὶς Ἀριστοτέλης ἐξέθετο τῶν ἀρχαίων καὶ παλαιῶν ἀγώνων.

Schol. alt. ibid. ὁ τῶν Παναθηναίων: τῶν μικρῶν λέγει· ταῦτα γὰρ ἐπὶ Ἐριχθονίου τοῦ Ἀμφικτύονος γενόμενα ἐπὶ τῷ φόνῳ τοῦ Ἀστερίου τοῦ γίγαντος· τὰ δὲ μεγάλα Πεισίστρατος ἐποίησε. τὰ δὲ Ἐλευσίνια ἐπὶ

19 ἀκούεσθαι ἕως χίλια στάδια sch. rec. Flor., καίεσθαι ἕως ἑνὸς σταδίου Laur., corr. Keil. ‖ 28 Ἀριστοτέλης: Ἀριστοφάνης codd. ‖ b25 καθὰ Ἀ. ἀναγράφεται cod. Marc.: κατὰ Ἀριστοτέλην γράφεται vulgo. ‖ 28 Ἀθηνᾶς Marc. (Schneidewin): Ἀθηναίων vulgo. ‖ 29 ὁ ἐν αργει Marc., ὃν ἄργει vulgo. ‖ 31 Ἀκάστου cod. Vind. ex corr. (Schneid.): ιακαστῶ (sic) Marc., Ἰοκάστου vulgo. ‖ 34 ὀλυμπικὸς Vind. Marc. ‖ 35 Ἀργεμόρῳ codd., ἀρχεγόρ— Marc., om. Vind. ‖ 39 ὁ τοὺς πέπλους συνθεὶς Ἀρ. cod. Marc. (Bergk): εἰς πέπλους συνθεὶς ὁ Ἀρ. vulgo.

Πανδίονος ἐγένετο, ὃς πέμπτος ἦν βασιλεὺς ἀπὸ Ἐριχθονίου· διὰ δὲ τὸν καρπὸν ἐτέθησαν.

Schol. cod. C ibid. (εἰ δὲ βούλει ὁ τῶν Ἐλευσινίων): ὡς καὶ Ἀριστοτέλης τάττει.

Helladius chrestomath. apud Phot. (bibl. cod. 279 p. 533[b] 29 Bekk.): ὅτι πρῶτα μὲν τὰ Παναθήναια συνέστη· εἶτα τὰ Ἐλευσίνια ἐπὶ Πελίᾳ τεθνηκότι προὔθηκαν ἆθλα Θετταλοί· εἶτα τὰ Ἴσθμια ἐπὶ Μελικέρτῃ· ἔπειτα ὁ τῶν Ὀλυμπίων ἀγὼν ἀρχὴν λαμβάνει ὑφ' Ἡρακλέους· εἶτα τὰ Νέμεα ἐπ' Ἀρχεμόρῳ τεθέντα· εἶτα μετὰ τὸ τὴν Κίρραν πεσεῖν τὰ Πύθια.

595.

Schol. (A) in Il. λ, 688: Ἐπειοὶ οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ βασιλέως, οὕτως· Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς Ἠλεῖος ὁ κτίσας Ἤλιδα, Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειός, ἀφ' οὗ Ἐπειοί, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ πέπλῳ.

596.

„Veterum heroum epitaphia" (ex cod. Laurent. 56, 1 bombyc. saec. XIII fol. 20: vid. A. P. p. 568 et Anecd. Gr. I p. 7. 17) edita ab Henrico Stephano in Florilegio diversorum epigrammatum 1566 p. 497—502, nunc autem recognita collato apographo quod meum in usum nuper (m. Febr. 1866) confecit Petrus del Furia bibliothecarius Laurentianus.

Ποῦ ἕκαστος τῶν Ἑλλήνων τέθαπται καὶ τί ἐπιγέγραπται ἐπὶ τῷ τάφῳ.

1. ἐπὶ Ἀγαμέμνονος κειμένου ἐν Μυκήναις.
λεύσσεις Ἀτρείδεω Ἀγαμέμνονος, ὦ ξένε, τύμβον,
ὃς θάν' ὑπ' Αἰγίσθου κ' οὐλομένης ἀλόχου.

2. ἕτερον.
μνῆμα τόδ' Ἀτρείδεω Ἀγαμέμνονος, ὅν ῥα κατέκτα
δῖα Κλυταιμνήστρη Τυνδαρὶς οὐχ ὁσίως.

3. ἐπὶ Μενελάου.
ὄλβιος ὦ Μενέλαε, σύ τ' ἀθάνατος καὶ ἀγήρως
ἐν μακάρων νήσοις, γαμβρὲ Διὸς μεγάλου.

4. ἐπὶ Ἀχιλλέως κειμένου ἐν Τροίᾳ, τιμωμένου δὲ καὶ ἐν Λευκῇ τῇ νήσῳ.
παῖδα θεᾶς Θέτιδος Πηληιάδην Ἀχιλῆα
ἥδ' ἱερὰ νῆσος ποντιὰς ἀμφὶς ἔχει.

5. ἕτερον.
Θεσσαλὸς οὗτος ἀνὴρ Ἀχιλεὺς ἐν τῷδε τέθαπται
τύμβῳ, ἐθρήνησαν δ' ἐννέα Πιερίδες.

6. ἐπὶ Πατρόκλου κειμένου μετ' Ἀχιλλέως.
Πατρόκλου τάφος οὗτος, ὁμοῦ δ' Ἀχιλῆι τέθαπται,
ὃν κτάνεν ὠκὺς Ἄρης Ἕκτορος ἐν παλάμαις.

7. ἐπ' Αἴαντος τοῦ Τελαμωνίου.
ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, ὡς παρ' Ἀχαιοῖς
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ κέκριται.

8. ἐπὶ Τεύκρου κειμένου ἐν Σαλαμῖνι τῆς Κύπρου.
Ἰῶν ὠκυμόρων ταμίην Τελαμώνιον ἥδε
Τεῦκρον ἀποφθίμενον γῆ Σαλαμὶς κατέχει.

9. ἐπὶ Νέστορος κειμένου ἐν Πύλῳ.
τὸν βαθύνουν ψυχήν τε νόημά τε θεῖον ἔχοντα
ἄνδρ' ἀγαθὸν κατέχω Νέστορα τὸν Πύλιον.

10. ἕτερον.
Νέστορα τὸν Πυλίων ἡγήτορα ἥδε θανόντα
γῆ κατέχει βουλῇ φέρτατον ἡμιθέων.

11. ἐπὶ Ἀντιλόχου κειμένου ἐν Τροίᾳ.
μνῆμ' ἀρετῆς υἱοῦ τόδε Νέστορος Ἀντιλόχοιο,
ὃς θάνεν ἐν Τροίῃ ῥυσάμενος πατέρα.

12. ἐπὶ Ὀδυσσέως κειμένου ἐν Τυρρηνίᾳ.
ἀνέρα τὸν πολύμητιν ἐπὶ χθονὶ τῇδε θανόντα
κλεινότατον θνητῶν τύμβος ἐπεσκίασεν.

13. ἕτερον.
οὗτος Ὀδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ
Ἕλληνες πολέμῳ Τρωικῷ εὐτύχεσαν.

14. ἐπὶ Διομήδους κειμένου ἐν τῇ ὁμωνύμῳ νήσῳ.
αἰνητὸν πάντεσσιν ἐπιχθονίοις Διομήδην
ἥδ' ἱερὰ κατέχει νῆσος ὁμωνυμίη.

15. ἐπὶ Ἰδομενέως καὶ Μηριόνου κειμένων ἐν Κνωσσῷ.
Κνωσσίου Ἰδομενῆος ὁρᾷς τάφον, αὐτὰρ ἐγὼ τοῦ
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

Ep. 2 ἐπὶ τοῦ αὐτοῦ ἕτερον Steph. (praeter cod.), et sic semper in seqq. ‖ 3 σὺ δ' Herm. ‖ 4 τροίῃ cod. — habet Tzetzes (cod. Lond. reg.) ad posthom. sua 462, ubi sic ἥδ' ἱερὰ νῆσος ποντιὰς ἀμφὶς ἔχει: ἡδ' ἱερὰ προποντὶς ἀμφὶς ἔχει πεδίῳ cod. Laur. ‖ 6 habet Tzetzes ad homerica 220. ἐκ παλάμαις Lond. ‖ 7 κειρομένα cod., corr. Steph. — ὡς παρ' cod.: εἴπερ Bergk. — habet Eust. Il. p. 285 (ἰστέον δὲ καὶ ὅτι Πορφύριος εἰς Αἴαντα ἐπίγραμμα παλαιὸν προφέρει τόδε...) et Tzetzes posthom. 489 ubi παρὰ τόδε (marg. τῷδε) . . . βεβαρημένου et ὅτ' ἀρ' Ἀχαιοῖς (in marg. γρ. ὡς παρ') . . . κρέσσων Lond. extat etiam in Anth. Pal. VII, 145 inscr. εἰς Αἴαντα Ἀσκληπιάδου (ubi κειρομένα . . . εἰ παρ' . . . δύναται pro κέκριται). ‖ 9 et 10 tangit Eustath. Il. p. 296: δηλοῖ τὴν τοῦ γέροντος ἀρετὴν καὶ τὸ εἰς αὐτὸν παλαιὸν ἐπίγραμμα, ὅπερ καὶ φέρτατον ἡμερίων λέγει αὐτὸν καὶ βαθύνουν καὶ ψυχὴν ἐν σώματι θείαν ἔχοντα καὶ ἄνδρα ἀγαθόν. ‖ 10 ἡμιθέων: sic cod., ἡμερίων Eust. ‖ 11 τροίῃ cod. in tit. ut v. 2. — τόδε scripsi: τοῦ cod. ‖ 14 ὁμωνύμῳ cod. in tit., ὁμωνυμίῃ scr. Steph. — habet Tzetzes hom. 113, ubi sic: τὸν πάντεσσι κράτιστον ἐπιχθονίοις . . . ‖ 15 ἀδέσποτον idem reperitur in Anth. Pal. VII, 322. citat etiam Diodorus 5, 79: τούτους δὲ ναυσὶν ὀγδοήκοντα στρατεῦσαι μετ' Ἀγαμέμνονος εἰς Ἴλιον καὶ διασωθέντας εἰς τὴν πατρίδα τελευτῆσαι καὶ ταφῆς ἐπιφανοῦς ἀξιωθῆναι καὶ τιμῶν ἀθανάτων. καὶ τὸν τάφον αὐτῶν ἐν τῇ Κνωσῷ εἰκνύουσιν ἐπιγραφὴν ἔχοντα τοιάνδε· Κνωσίου Ἰδομενῆος ὅρα (ὅραι cod. Anth.) τάφον, αὐτὰρ ἐγώ τοι (τοι etiam Anth. τοῦ cod. Laur.) . . .

16. ἐπ' Αἴαντος τοῦ Οἰλέως κειμένου ἐν Μυκόνῳ τῇ νήσῳ.
ἐνθάδε τὸν Λοκρῶν ἡγήτορα γαῖα κατέσχεν
Αἴαντ' Οἰλιάδην ἐν πελάγει φθίμενον.

17. ἐπὶ Νιρέως κειμένου ἐν Τροίᾳ.
ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων ἔχε γαῖα
Νιρέα τὸν Χαρόπου παῖδα καὶ Ἀγλαΐης.

18. ἐπὶ Τληπολέμου κειμένου ἐν Ῥόδῳ.
ἅδ' Ἡρακλείδην ῥηξήνορα θυμολέοντα
Τληπόλεμον κατέχει κυματόεσσα Ῥόδος.

19. ἐπὶ Ἀσκαλάφου καὶ Ἰαλμένου.
Ἀσκαλάφου Τροίῃ φθιμένου καὶ Ἰαλμένου ἥδε
ὀστέα πληξίππων γῆ Μινυὰς κατέχει.

20. ἐν Τρίκκῃ ἐπὶ κενοταφίου Ποδαλειρίου καὶ Μαχάονος.
οἵδ' Ἀσκληπιάδαι Ποδαλείριος ἠδὲ Μαχάων
πρόσθεν μὲν θνητοί, νῦν δὲ θεῶν μέτοχοι.

21. ἐπὶ Πηνέλεω κειμένου ἐν Βοιωτίᾳ.
τόνδ' ἐπὶ Κηφισσῷ ποταμῷ θέσαν ὠκὺ ῥέοντι
παῖδες Βοιωτῶν σώφρονα Πηνέλεων.

22. ἐπὶ Εὐρυπύλου κειμένου ἐν Ὀρμενίῳ.
πάτρῃ ἐν Ὀρμενίῳ Εὐαίμονος ἀγλαὸν υἱὸν
Εὐρύπυλον κρύπτει δακρυόεσσα κόνις.

23. ἐπὶ Θόαντος.
υἱὸν ὑπερθύμου Ἀνδραίμονος ἠδὲ θυγατρὸς
Γόργης τῆς Οἰνέως ἥδε κόνις κατέχει.

24. ἐπὶ Φιλοκτήτου.
τόξων Ἡρακλέους ταμίην Ποιάντιον υἱὸν
ἥδε Φιλοκτήτην γῆ Μινυὰς κατέχει.

25. ἐπὶ Μέγητος ἀπολομένου ἐν θαλάσσῃ, ἔχοντος δὲ τάφον ἐν Δουλιχίῳ.
μνῆμα Μέγητι θοῷ μεγαθύμου Φυλέος υἱῷ
Δουλίχιοι τεῦξαν, σῶμα δὲ πόντος ἔχει.

26. ἐπὶ Πρωτεσιλάου ἀδελφῷ Ποδάρκει κειμένῳ ἐν Σικυῶνι.
γῆ μὲν Ἀχαιὶς ἔθρεψε Ποδάρκην Ἄκτορος υἱόν,
ὀστέα δ' αὖ Σικυὼν γῆ κατέχει φθιμένου.

27. ἐπὶ Πολυποίτου καὶ Λεοντέως.
ἄρχοντες Λαπιθῶν Πολυποίτης ἠδὲ Λεοντεὺς
ἐν γαίῃ Μήδων τέρμ' ἀφίκοντο βίου.

28. ἐπὶ Προθόου κενοταφίῳ.
σῶμα μὲν ἐν πόντῳ Προθόου Τενθρηδόνος υἱοῦ
κεῖται ἀνοίκτιστον, τοὔνομα τύμβος ἔχει.

29. ἐπὶ Εὐμήλου.
υἱὸς ὅδ' Ἀδμήτοιο Φερητιάδης Εὔμηλος
νέρθ' ὑπ' ἐμοὶ κεῖται, μοῖραν ἔχων θανάτου.

30. ἐπὶ Ἀγαπήνορος.
ἀρχὸς ὅδ' ἐκ Τεγέης Ἀγαπήνωρ Ἀγκαίου υἱὸς
κεῖθ' ὑπ' ἐμοὶ Παφίων πελτοφόρων βασιλεύς.

31. ἐπὶ Ἀμφιμάχου καὶ Διώρου.
ἀρχός τ' Ἀμφίμαχος Κτεάτου παῖς ἠδὲ Διώρης
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖραν ἔχουσι βίου.

32. ἐπὶ Γουνέως.
σῆμα τὸ μὲν Γουνῆος ὁρᾷς, ψυχὴ δὲ θανόντος
ἀέρ' ἐς ὑγρὸν ἔβη, σῶμα δὲ πόντος ἔχει.

33. ἐπὶ Ἐλεφήνορος κειμένου ἐν Τροίᾳ.
νήσου ἀπ' Εὐβοίης Ἐλεφήνορα ἀρχὸν Ἀβάντων
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖρα κατέσχε βίου.

34. ἐπὶ Μενεσθέως κειμένου ἐν Ἀθήναις.
ταξίλοχος λαῶν υἱὸς Πετεῶο Μενεσθεὺς
ἐνθάδ' ἐνὶ κλεινῇ πατρίδι μοῖραν ἔχει.

35. ἐπὶ Σθενέλου καὶ Εὐρυάλου κειμένων ἐν Ἄργει.
Ἀργεῖος Σθένελος Καπανήιος ὧδε τέθαπται
τύμβῳ καὶ τούτου πλησίον Εὐρύαλος.

36. ἐπὶ Θαλπίου καὶ Πολυξένου κειμένων ἐν Ἤλιδι.
οἵδε Πολύξεινος καὶ Θάλπιος Ἤλιδι δίῃ
δμηθέντες κρυεροῦ δῶμ' Ἀίδαο ἔβαν.

37. ἐπὶ Ταλθυβίου κειμένου ἐν Μυκήναις.
Ταλθύβιον θεράποντα θεῶν κήρυκα καὶ ἀνδρῶν
ὧδε Μυκηναίων δῆμος ἔθαψεν ἅπας.

38. ἐπὶ Αὐτομέδοντος ἐν Τροίᾳ.
Αὐτομέδοντ' Ἀχιλῆι ἐὺν καὶ πιστὸν ἑταῖρον
ἥδε κατεσκίασε Τρῳὰς ἄρουρα τάφῳ.

39. ἐπὶ Φειδίππου καὶ Ἀντίφου.
Φείδιππον Τροίην πέρσαντ' ἠδ' Ἄντιφον ἥρω
γαῖα πατρὶς Κῴων ἥδ' Ἐφύρα κατέχει.

40. ἐπὶ Δηιπύλου.
Δηιπύλου κόρσης εὐειδέος Ὀρμενίοιο
μνῆμα τόδ' εὖ κλεινόν· γείνατο Τληπόλεμος.

41. ἐπὶ Ζήθου ἐν Θήβαις.
ἑπταπυλῶν Θηβῶν βασιλεὺς ὅδε κεῖται ὑπ' ὄχθῳ
Ζῆθος, ὃν Ἀντιόπη γείνατο παῖδ' ἀγαθόν.

16 habet Tzetzes antehom. 300. ‖ 17 habet Tzetzes antehom. 278. (ἀγλαΐας Lond.). ‖ 18 ἡρακλείδην: sic cod. — habet Tzetzes hom. 91 una cum altero in eundem (55). ‖ 20 πρόσθε cod. (corr. Steph.). ‖ 22 ὀρχομενῷ bis cod. (et Steph.): pro Ὀρμενίῳ (Il. β, 734). ‖ 23 habet Tzetzes hom. 42, ubi Ἀνδραίμονος (εὐαίμονος cod. Laur. et Steph.) . . . κατέσχεν (marg. κατέχει) Lond. ‖ 25 ἀπολλυμένου cod. (corr. Steph.) — φυλέως cod. (corr. Steph.). — habet Tzetzes hom. 59. ‖ 27 ἐπὶ πολυπύτου cod. (corr. St.). ‖ 28 sic corr. Burgess, Stephanus cum codice κεῖται, ἀνοίκτιστον δ' οὔνομα τ. ε. ‖ 30 Ταφίων cum cod. Steph., quod corrigunt ex Paus. 8, 5, 2. ‖ 31 habet Tzetzes hom. 42, ubi sic: ἄρχων Ἀμφίμαχος . . . (ἄρχοντ' Schn.). ‖ 32 σῆμα μὲν γ. ὅρα cod., corr. Steph. ‖ 33 τροίη cod. etiam in tit. — habet Tzetzes hom. 38. ‖ 35 habet Tzetzes hom. 113. ‖ 39 κώων revera cod., sicut scribendum esse vidit Schneidewin: Philol. I p. 36 (κώμη de suo Steph.). — ἐφύρα cod. ‖ 40 εὖ κλεινὸν cod. (εὐκλεινόν Steph.). ‖ 41 ὑπόχθων cod. (corr. Herm.).

42. ἐπὶ Πυλάδου ἐν Φωκίδι.
υἱὸς ὅδε Στροφίου Πυλάδης ἐν Φωκίδι γαίῃ
κεῖται, ἐπεὶ παντὸς μοῖραν ἔπλησε βίου.

43. ἐπὶ Αἰήτου ἐν Κολχίδι.
Αἰήτην Κόλχοισι πολυχρύσοισιν ἄνακτα
ἐνθάδε πανδαμάτωρ μοῖρα θεῶν κτέρισεν.

44. ἐπὶ Ἀταλάντης ἐν Ἀρκαδίᾳ.
κούρης Ἰασίοιο πολυκλείτης Ἀταλάντης
σῆμα πέλας στείχων ἀτρεκές ἐστι τόδε.

Ἐπὶ δὲ τῶν Τρώων·

45. ἐπὶ Λαομέδοντος.
ἐνθάδε Περγαμίδαν κεύθει χθὼν Λαομέδοντα
ἵππων ὠκυπόδων εἵνεκ' ἀποφθίμενον.

46. ἐπὶ Ἕκτορος κειμένου ἐν Θήβαις.
Ἕκτορι τόνδε μέγαν Βοιώτιοι ἄνδρες ἔτευξαν
τύμβον ὑπὲρ γαίης, σῆμ' ἐπιγιγνομένοις.

47. ἐπὶ Πυραίχμου ἐν Τροίᾳ.
ἐλθὼν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξίου ὧδε Πυραίχμης
ὠκύμορος πάντων νόσφι φίλων ἔθανεν.

48. ἐπὶ Ὀρφέως κειμένου ἐν Κικονίᾳ.
Θρήκα χρυσολύραν Οἰάγρου παῖδα θανόντα
Ὀρφέα ἐν χώρῳ τῷδε θέσαν Κίκονες.

597.

Praeter ea quae cum eclogis Florentinis communia habet (ep. Fl. 4. 5. 6. 7. 14. 16. 17. 18. 23. 25. 31. 33. 35. 46), haec etiam epitaphia praebet Ioannes Tzetzes in scholiis ad carmina sua Homerica.

49. antehom. 247: ὁ Πρωτεσίλαος ἐν Χερρονήσῳ ἀναιρεθεὶς ἐτάφη. φέρεται δὲ αὐτοῦ καὶ ἐπίγραμμα τόδε·
τόνδ' ὄχθον μνήμην ἀρετῆς χάριν ἐξετέλεσσαν
Ἑλλήνων παῖδες Πρωτεσίλᾳ φθιμένῳ.

50. antehom. 257: ἀναιρεῖται ὑπ' Ἀχιλλέως. φέρεται δὲ ἐπ' αὐτῷ ἐπίγραμμα τόδε·
θυμὸν δὴ Κύκνου καὶ ὑπερφιάλους ἐπινοίας
αἰθὴρ λαμπρὸς ἔχει, σῶμα δὲ τύμβος ὅδε.

51. hom. 42: φέρονται δὲ καὶ τούτων ἐπιγράμματα, ἐπὶ μὲν Διώρου ... ἐπὶ δὲ Πείρωος καὶ Ἀκάμαντος ὑπ' Αἴαντος ὕστερον ἀνῃρημένων τόδε·
πελτοφόρου Θρήκης Ἀκάμας καὶ Πείροος ἥρως
ἕδραν ναίοντες τήνδ' ἔλαχον φθίμενοι.

52. hom. 69: ἀνῃρέθη δὲ ὑπὸ Διομήδους καὶ ἐτάφη ἐν Τροίᾳ. ἐπιγέγραπται δὲ αὐτῷ ἐπίγραμμα τόδε·
τηλεβόλου ῥυτῆρα Λυκάονος ἀγλαὸν υἱόν
ἐκ Ζελέας κατέχει Πάνδαρον ἥδε κόνις.

53. hom. 71 (cod. Lond.):
Αἰνείαν Κυπρίδος τε καὶ Ἀγχίσου φίλον υἱὸν
ἐνθάδε μοῖρα θεῶν ἤγαγεν εἰς Ἀίδην.

54. hom. 85: ἀνῃρέθη δὲ ὑπὸ Μενελάου καὶ ἐτάφη ἐν Τροίᾳ. φέρεται δὲ καὶ ἐπ' αὐτῷ ἐπίγραμμα τόδε·
Ἑρμῆ παῖ, στερεᾶς πέτρας τέκος, ἔννεπε πᾶσι
Παφλαγόνος μοῖραν τοῦδε Πυλαιμενέος.

55. hom. 91: οὗτος ἐν Τροίᾳ μὲν ἀνῃρέθη ὑπὸ Σαρπηδόνος, ἀπηνέχθη δὲ εἰς Ῥόδον τῇ γυναικὶ Φιλοζώῃ. φέρονται δὲ αὐτοῦ δύο ἐπιγράμματα τὸ πρὸ τῆς ἀνακομιδῆς ἐν Τροίᾳ καὶ τὸ ἐν Ῥόδῳ·
τόνδ' Ἡρακλείδην εὐήνορα τηλόθι πάτρης
Τληπόλεμον κρύπτει χῶρος ὅδ' ἀνθεμόεις.
καὶ τοῦτο μὲν τὸ ἐν Τροίᾳ, τὸ δὲ τῆς ἐν Ῥόδῳ ἀνακομιδῆς τόδε ... (18).

56. hom. 190: ἐπιγέγραπται δὲ ἐπ' αὐτῷ τόδε·
πατρὶς μὲν κρύπτει με Δόλων' Εὐμήδεος υἱόν·
πᾶσιν ἀπαγγέλλω τοῖς παριοῦσι μαθεῖν.

57. hom. 190: ἐπίγραμμα δὲ τούτου·
ὕπνῳ καὶ καμάτῳ δεδμημένον ἐνθάδε Ῥῆσον
Τρῶες δὴ θάψαν Τευκρίδος αἰγιαλῷ.

58. hom. 220: ἀναιρεθεὶς ὑπὸ Πατρόκλου, ἀνακομισθεὶς ἐν Λυκίᾳ τῇ πατρίδι ἐτάφη. ἐπεγράφη δὲ αὐτῷ·
Κᾶρες καὶ Λύκιοι βασιλεῖς Σαρπηδόνα δῖον
Ξάνθου ἐπὶ προχοαῖς ἀενάου ἔθεσαν.

59. (pergit ibid.) καὶ Γλαῦκος ὁμοίως ἐν Λυκίᾳ ἐτάφη. ἐπεγράφη δὲ αὐτῷ·
εὐώδης κυπάρισσος ὁμοῦ καὶ λάινος ὄχθος
ἐνθάδε τὸν Λύκιον Γλαῦκον ἔχει φθίμενον.

60. hom. 489: ὁ Ἕκτωρ ἐν Ὀφρυνίῳ λόφῳ τῆς Τροίας ἐτάφη καὶ ἐπεγράφη τόδε·
Ἕκτορι τόνδε τάφον Πρίαμος μέγας ἐξετέλεσσεν
ὄχθον ὑπὲρ γαίης, μνῆμ' ἐπιγιγνομένοις.

44 ἐν ἀρκάδι cod. (corr. St.). — v. 2 ἴσθι Schn. ‖ 45 περγαμίδαν cod. ‖ 46 habet cum altero in eundem (60) Tzetzes hom. 489 ubi ἐπιγενομένων cod. Lond., ἐπειγομένοις Ir. ‖ 47 τροία sic cod. (τοίῃ Steph.). ‖ 48 χρυσόλυραν cod. (-λύραν Steph.).

Codicem Lond. reg. 16. C. IV, qui Burgessii errore dicitur Harleianus, et ipse contuli a. 1862. a Petro Morello qui eum scripsit Parisiis a. 1565, in margine est correctus. habet epigrammata Tzetzica omnia numero 29. 49 μνήμης Ir., μνήμη Lond. — ἐξετέλεσσαν Lond., ἐξετέλεσαν cett. — Πρωτεσιλάῳ codd., corr. Jacobs. ‖ 50 δὴ: δὲ Lond. cf. inscr. Att. in Archäol. Zeit. Anz. 1856 p. 139: Εὐρυμάχου ψυχὴν καὶ ὑπερφιάλους διανοίας | αἰθὴρ ὑγρὸς ἔχει, σῶμα δὲ τύμβος ὅδε. ‖ 51 πείρως Ir. Lond. (marg. Lond. γρ. ροος). — ἕδραν codd. ‖ 52 τηλεβόλον Lasc. in cod. altero. — ζελείας (ζέλε... Schir.) codd. ‖ 53 τε add. Schneidewin. ‖ 54 παῖ: καὶ Ir. (Ἐομεία, στ. π. τ. Bergk). — στερεᾶς codd. — πέτρας Schir. (πέτρης Ir. et Lond.). — παμφλαγόνων Lond. ‖ 56 περιοῦσι Lond. ‖ 57 τρῶες δὴ Lond. (δὲ Schir.), τρῶες θάψαντο Lasc. ‖ 58 (βασιλῆ Schn.). ‖ 59 θυώδης Ir. — λάιος Ir. — τὸν *γλαῦκον Lond. ‖ 60 ὀφρυνῷ codd. — ἐπέγραφεν αὐτῷ τάδε Lond. — (μέγαν Schn.) — ἐπιγινομένων Lond., μνήμη ἐπειγομένοις Ir.

61. posthom. 207: οὕτως ὑπ' Ἀχιλλέως ἀνῃρέθη ἡ Πενθεσίλεια καὶ ἐγράφη αὐτῇ·

στήσω σε σπεύδοντα, δορύσσοε, Πενθεσιλείας
αἰπὺν ἐσαθρῆσαι τύμβον Ἀμαζονίδος.

62 posthom. 331: οὕτως ὁ Μέμνων ἀνῃρημένος ἀποκομισθεὶς οἴκαδε ἐτάφη παρὰ Βήλαιον ποταμὸν Συρίας. καὶ ἐπιγέγραπται αὐτῷ τόδε·

Μέμνων Τιθωνοῦ τέ καὶ Ἠοῦς ἐνθάδε κεῖμαι
ἐν Συρίῃ Βήλου παρ ποταμοῦ προχοαῖς.

63. posthom. 598 (Lond.): ἐπ' Ἀλεξάνδρῳ τὸ ἐπίγραμμα τόδε·

ἐνθάδε πῦρ Τρῳόν τε τό θ' Ἑλλάδος ἄλγος ἁπάσης
ὁ Πριάμοιο Πάρις ψύχομαι ἀκρολόφοις.

598.

64. Eudocia viol. p. 219 = Eustath. in Il. p. 17: οἱ δὲ ἀπὸ τοῦ ἀέρος (τοὺς ἥρωας εἶπον καλεῖσθαι), ὡς δηλοῦται καὶ ἔν τινι τῶν παρὰ Πορφυρίῳ ἐπιγραμμάτων, ἐν ᾧ κεῖται τὸ σῶμα μὲν ἐν πόντῳ κεῖται, ⟨...⟩ πνεῦμα δ' ἀὴρ ὅδ' ἔχει.

599.

65. Eustathius ad Il. β, 837 p. 356: οὐ μάτην δὲ οὐδὲ τῶν ἵππων αὐτοῦ ἐμνήσθη, ἀλλ' ὅτι αὐτοῖς πεποιθὼς ὁ Ἄσιος ἐν τοῖς ἑξῆς ὡς καλοῖς ἀφρονεύσεται καὶ πεσεῖται ἵππων ὠκυπόδων ἐλατὴρ θρασυκάρδιος κατὰ τὸ εἰς αὐτὸν ἐπίγραμμα.

600.

66. James Millingen, Ancient unedited monuments p. 86 (pl. 36) ex vase picto in Magna Graecia reperto hoc profert epigramma cippo Oedipi inscriptum:

νώτῳ μὲν μαλάχην τε καὶ ἀσφόδελον πολυρίζον,
κόλπῳ δ' Οἰδιπόδαν Λαίου υἱὸν ἔχω.

Eustath. in Od. λ, 538 p. 1698: διὸ καὶ ὁ ἀσφόδελος ᾠκείωται νεκροῖς διὰ τὸ πρὸς τὴν σποδὸν ὁμοιόφωνον καὶ ἐφυτεύετο ἐν τοῖς τάφοις τὸ τοιοῦτον φυτόν, ὡς δηλοῖ καί τι τῶν παρὰ τῷ Πορφυρίῳ ἐπιγραμμάτων λέγον ὡς ἀπό τινος τάφου ὅτι „νώτῳ μὲν μαλάχην καὶ ἀσφόδελον πολυρίζον, κόλπῳ δὲ τὸν δεῖνα ἔχω".

IX. ORATIONES ET EPISTOLAE.

LVI. ΑΠΟΛΟΓΙΑ ΑΣΕΒΕΙΑΣ ΠΡΟΣ ΕΥΡΥΜΕΔΟΝΤΑ.

Diog. L. 5, 5: ὁ δ' οὖν Ἀριστοτέλης ... ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμείαν ... (9:) τοῦτον (τὸν Ἀριστοτέλην) πρῶτον Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ λόγον φησὶ δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ.

Athen. XV p. 696ᵃ: ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν ἀπενεγκάμενος Δημόφιλος ἐδίωκε παρασκευασθεὶς ὑπ' Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὁσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα, ἀλλὰ τῶν σκολίων ἕν τι καὶ αὐτὸ εἶδός ἐστιν.

601.

Athenaeus XV p. 697ᵃ: ἀλλὰ μὴν καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῇ ἀπολογίᾳ τῆς ἀσεβείας, εἰ μὴ κατέψευσται ὁ λόγος, φησίν „οὐ γὰρ ἄν ποτε Ἑρμείᾳ θύειν ὡς ἀθανάτῳ προαιρούμενος ὡς θνητῷ μνῆμα κατεσκεύαζον καὶ ἀθανατίζειν τὴν φύσιν βουλόμενος ἐπιταφίοις ἂν τιμαῖς ἐκόσμησα".

Lucian. eunuch. 9: ὁ Ἀριστοτέλης ... εἰς ὑπερβολὴν θαυμάσας Ἑρμείαν τὸν εὐνοῦχον τὸν ἐκ τοῦ Ἀταρνέως τύραννον ἄχρι τοῦ καὶ θύειν αὐτῷ κατὰ ταὐτὰ τοῖς θεοῖς.

LVII. (ΕΓΚΩΜΙΟΝ ΑΛΕΞΑΝΔΡΟΥ).

Themistius orat. 3 p. 55 Dind.: οἱ δὲ τὰ ἄλλα ἐπαινοῦντες οὐ σὲ ἀλλὰ τὰ σὰ τεθαυμάκασι ... ὃν δὲ οὐδὲν ἐκπλήττει καὶ ἐπιστρέφει τῶν ἔξωθεν, οὗτός ἐστιν ὁ δυνάμενος διιδεῖν τὸν ἀληθινὸν βασιλέα. διὰ ταῦτα οὐ κρύβδην φέρει τὸν ψῆφον οὐδὲ προστησάμενος ἕτερον σχῆμα τῷ λόγῳ

61 στήσω Lond. Lasc., στάσω Jac. — Πενθεσιλείας Lond., Πενθεσίλεια Jac. Ir. — ἐσαθρῆσαι Ir.: εἰσαθρεῖς Jac., καὶ ἐξαθρήσω Lond. (et in marg. Morellus αἰπὺν ἀθρήσοντα). ‖ 62 βηλοῦ παρὰ Lond. (πὰρ in marg. Mor., παρ' cett.). ‖ 63 (hoc omiserunt Schneidewin et Bergk) πῦρ τὸ τρῴον, ἑλλάδος ἀ. ἁ. cod. ‖ 64 σῶμα: σῆμα codd., cet. cf. ep. 28. 32. 50. ‖ 66 οιδιποδαν scribitur in vase (praeterea νωτω μολαχην omisso μεν, et ασφοδολον).

οὐδὲ βασιλείαν μὲν ἐπαινῶν, τὸν βασιλεύοντα δὲ οὐ θαρσῶν, ἀλλ' ἀναβὰς ἐπὶ τὸ ὑψηλὸν τοῦτο βῆμα καὶ στὰς ἐν μέσῳ τῶν ἀνθρώπων ἀνακηρύττειν σε οὐκ ἀναίνεται μετὰ πλείονος τῆς παρρησίας ἢ Ξενοφῶν Ἀγησίλαον καὶ Ἀλέξανδρον Ἀριστοτέλης καὶ τὰ τελευταῖα δὴ ταῦτα ὁ Ζήνωνος ἐραστὴς τὸν καθ' ἑαυτὸν βασιλέα.

Iulianus orat. 3 p. 193 Pet.: καὶ ἐπῄνει γε Ἰσοκράτης πολλοὺς καὶ Πλάτων καὶ Ἀριστοτέλης, Ξενοφῶν δὲ καὶ Ἀγησίλαον τὸν βασιλέα καὶ Κῦρον τὸν Πέρσην . . . καὶ τοὺς ἐπαίνους ξυγγράφων οὐκ ἀπεκρύπτετο. ἐμοὶ δὲ θαυμαστὸν εἶναι δοκεῖ, εἰ τοὺς ἄνδρας γε τοὺς καλοὺς προθύμως ἐπαινεσόμεθα, γυναῖκα δὲ ἀγαθὴν τῆς εὐφημίας οὐκ ἀξιώσομεν.

602.

P. Rutilius Lupus de figuris sententiarum 1, 18: Μερισμος. *hoc schema singulas res separatim disponendo et suum cuique proprium tribuendo magnam efficere utilitatem et illustrem consuevit. Lycurgi . . . item Aristotelis: Alexandro enim Macedoni neque in deliberando consilium neque in proeliando virtus neque in beneficio benignitas deerat, sed dumtaxat in supplicio crudelitas. nam cum aliqua res dubia accidisset apparebat sapientissimus, cum autem confligendum esset cum hostibus fortissimus, cum vero praemium dignis tribuendum liberalissimus, at cum animadvertendum clementissimus.*

LVIII. (ΕΓΚΩΜΙΟΝ ΠΛΑΤΩΝΟΣ).

603.

Olymp. in Gorg. pr. 41 p. 395 Jahn: ὅτι δὲ καὶ Ἀριστοτέλης σέβει αὐτὸν (τὸν Πλάτωνα) ὡς διδάσκαλον, δῆλός ἐστι γράψας ὅλον λόγον ἐγκωμιαστικόν· ἐκτίθεται γὰρ τὸν βίον αὐτοῦ καὶ ὑπερεπαινεῖ . . . οὐ μόνον δὲ ἐγκώμιον ποίησας ἐπαινεῖ αὐτὸν ἀλλὰ καὶ . . .

LIX. ΕΠΙΣΤΟΛΑΙ.

(Ἐπιστολαὶ πρὸς Φίλιππον. Σηλυβρίων ἐπιστολαί. πρὸς Ἀλέξανδρον ἐπιστολαὶ δ̄. πρὸς Ἀντίπατρον θ̄. πρὸς Μέντορα α̅. πρὸς Ἀρίστωνα α̅. πρὸς Ὀλυμπιάδα α̅. πρὸς Ἡφαιστίωνα α̅. πρὸς Θεμισταγόραν α̅. πρὸς Φιλόξενον α̅. πρὸς Δημόκριτον α̅.)

Simplicius in categ. f. 2 γ ed. Bas. 1551: τὸ δὲ δύνασθαι σαφῶς εἰπεῖν δηλοῖ μάλιστα ὁ τῶν ἐπιστολῶν αὐτοῦ χαρακτὴρ τὸν ἀνὰ χεῖρας διάλογον ὃς ἐπιστολαῖς προσήκει μετ' εὐπρεπείας ἀποτυπούμενος. καὶ οὐδέ ἐστί τις τῶν συνεγνωσμένων Ἀριστοτέλει περὶ τὸν ἐπιστολικὸν χαρακτῆρα προσόμοιος.

David. in cat. p. 26b 20 Br. ἐν . . . δὲ ταῖς ἐπιστολαῖς ἐστὶ σύντομος ... ἀλλὰ καὶ δριμύς ἐστιν ... (fr. 617).

Io. Philop. in cat. p. 36b 32 Br.: ἐν δὲ ταῖς ἐπιστολαῖς φαίνεται κατωρθωκὼς τὸν ἐπιστολιμαῖον χαρακτῆρα, ὃν καὶ σύντομον εἶναι δεῖ καὶ σαφῆ καὶ ἀπηλλαγμένον πάσης περισκελοῦς συνδέσεώς τε καὶ φράσεως.

Gregor. Naz. epist. 165: τὸ πτυκτίον ὅπερ εἴληφας παρ' ἡμῶν, τὰς Ἀριστοτέλους ἐπιστολάς, ἐδυνάμην μὲν μὴ ἀνακομίσασθαι ἀλλὰ παρά σοι μένειν ἐάσαι, λογίῳ τε δῶρον οἰκεῖον καὶ φιλίας ἀπόμνημα δεξιόν.

Photius epist. 207: αἱ δὲ τούτου (τοῦ Πλάτωνος) ἐπιστολαὶ ἴσον τε τῆς ἐκείνου λογιότητος καὶ τοῦ ἐπιστολιμαίου τύπου ἀπολείπονται. αἱ δέ γε τοῦ Ἀριστοτέλους τῶν μὲν ἄλλων αὐτοῦ γραμμάτων λογοειδέστεραι, πλὴν οὐδὲ ταῖς Πλατωνικαῖς ἐξισάζουσι.

Demetrius π. ἑρμην. 234: ἐπεὶ δὲ καὶ πόλεσί ποτε καὶ βασιλεῦσι γράφομεν, ἔστωσαν τοιαῦται ἐπιστολαὶ μικρὸν ἐξῃρμέναι πως· στοχαστέον γὰρ καὶ τοῦ προσώπου ᾧ γράφεται· ἐξῃρμέναι μέντοι καὶ οὐχ ὥστε σύγγραμμα εἶναι ἀντ' ἐπιστολῆς, ὥσπερ αἱ Ἀριστοτέλους πρὸς Ἀλέξανδρον καὶ πρὸς τοὺς Δίωνος οἰκείους ἡ Πλάτωνος.

David in cat. p. 24, 27 Br.: ὥσπερ αἱ ἐπιστολαὶ αὐτοῦ . . . ἃς ἐν ὀκτὼ βίβλοις συνήγαγεν Ἀρτέμων τις μετὰ Ἀριστοτέλην γενόμενος.

Demetr. π. ἑρμ. 223: Ἀρτέμων ὁ τὰς Ἀριστοτέλους ἀναγράψας ἐπιστολάς. cf. de Andronico Gellius 20, 5 et Ptolemaeus in indice.

Ἐπιστολαὶ πρὸς Φίλιππον.

604.

Harpocr. s. Ὅτι ζένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεδεμένους παρὰ πότον ἐζητήσατο παρὰ Φιλίππου Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς πρεσβείας φησί. Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνου φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐζητήσατο καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

35 in dialogo περὶ φιλοσοφίας? (cf. Ἀρ. ἐν τοῖς πλατωνικοῖς Plut. cit. in fr. 4).

605.

Vita Aristot. cod. Marc. 257 f. 276[a]: ἐτῶν δὲ γενόμενος ⟨ἑπτα⟩καίδεκα τοῦ Πυθοῖ θεοῦ χρήσαντος αὐτῷ φιλοσοφεῖν Ἀθήνησι φοιτᾷ Σωκράτει καὶ συνῆν αὐτῷ τὸν μέχρι τελευτῆς αὐτοῦ χρόνον πλὴν ὀλίγον ὄντα. μετὰ δὲ τοῦτον φοιτᾷ Πλάτωνι καὶ συνῆν ⟨τούτῳ τὸν⟩ μέχρι τελευτῆς αὐτοῦ χρόνον εἰκοσαετῆ τυγχάνοντα, ὡς αὐτὸς ἐπιστέλλων Φιλίππῳ λέγει.

Vita Ar. vulg.: ἑπτακαίδεκα δὲ ἐτῶν γενόμενος καὶ τῆς Πυθίας κελευούσης αὐτῷ φιλοσοφεῖν στέλλεται ἐν Ἀθήναις, ἔνθα φοιτᾷ Σωκράτει καὶ σύνεστι τούτῳ ἔτη τρία. τελευτήσαντος δὲ τοῦ Σωκράτους φοιτᾷ Πλάτωνι καὶ τούτῳ σύνεστιν ἔτη εἴκοσι.

Vit. Ar. lat. versa: *factus autem annorum decem et septem et Pithia precipiente ipsum philosophari mittitur Athenas, ubi adhesit Socrati et moratus est cum eo tribus annis. mortuo autem Socrate adhesit Platoni et moratus est cum eo annis viginti usque ad finem vite ipsius Platonis, sicut ipse declarat mittens Philippo.*

Diog. Laert. 5, 9: φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς . . . παραβαλεῖν δὲ Πλάτωνι καὶ διατρῖψαι παρ' αὐτῷ εἴκοσιν ἔτη, ἑπτὰ καὶ δέκα ἐτῶν συστάντα.

606.

Iulian. or. 7 p. 442 Pet.: . . . ὁ τῷ Πυθίῳ πεισθεὶς (Διογένης) καὶ φιλοσοφήσας ὥσπερ Σωκράτης ὕστερον, ὡς Ἀριστοτέλης· φησὶ γὰρ καὶ αὐτὸς (ὁ Ἀριστοτέλης) εἶναι Πύθιον οἴκοι παρ' ἑαυτῷ, ὅθεν αὐτῷ καὶ ἡ ὁρμὴ πρὸς φιλοσοφίαν ἐγένετο.

607.

Vita Arist. Marc. f. 276[b]: καὶ φαίνεται (ὁ Ἀριστοτέλης) ἐν ταῖς ἐπιστολαῖς θαυμάζων Πλάτωνα καὶ συνιστὰς τοῖς βασιλεῦσι τοὺς Πλάτωνι κατὰ γένος κοινωνοῦντας.

608.

Vita Arist. Marc. f. 276[a] fin.: ὁ δὲ φιλόσοφος μέγα μέρος ὢν τῆς φιλοσοφίας ὀργάνῳ τῇ δυνάμει πρὸς εὐποιίαν ἐχρήσατο, ἕνα τε ἕκαστον εὐεργετῶν καὶ πόλεις ὅλας καὶ πάντας ἅμα. ὅσα μὲν γὰρ ἕκαστον εὐεργέτησεν αἱ γεγραμμέναι αὐτῷ κατὰ τοὺς βασιλέας περί τινων ἐπιστολαὶ δηλοῦσιν. ὅσα δὲ πόλεις ὅλας τὰ Στάγειρα δηλοῖ καὶ Ἐρεσσὸς ἡ Θεοφράστου καὶ Φανίου τῶν αὐτοῦ μαθητῶν πατρίς· τήν τε γὰρ ἑαυτοῦ πατρίδα Στάγειρα κατασκαφεῖσαν ὑπὸ Φιλίππου πείθει τὸν Ἀλέξανδρον δεύτερον κτίσαι καὶ χώρας ἑτέρας αὐτῇ καταδιδόναι ... καὶ Ἐρεσσὸν μέλλουσαν ὑπὸ Φιλίππου πολιορκηθῆναι ἔπεισεν ἀφεθῆναι. πολλὰ δὲ καὶ Ἀθηναίους εὐεργέτησεν ἐν τοῖς κατὰ Φίλιππον γράμμασιν.

Vita Ar. vulg.: καὶ μέγα μέρος γέγονε τῆς τούτου βασιλείας· πολλὰ γὰρ ἐδυνήθη παρὰ τῷ βασιλεῖ καὶ τῇ δυνάμει δεόντως ἐχρήσατο εὖ ποιῶν καὶ ἑκάστῳ ἰδίᾳ καὶ πᾶσι κοινῇ. καὶ ὅτι μὲν πολλοὺς ἰδίᾳ δηλώσουσιν αἱ φερόμεναι αὐτοῦ συστατικαὶ ἐπιστολαὶ περί τινων πρὸς τὸν βασιλέα· ὅτι δὲ καὶ κοινῇ πολλοὺς εὖ ἐποίησε δηλοῖ τὸ καὶ τὴν τῶν Σταγείρων πόλιν κατασκαφεῖσαν πείθειν τὸν Ἀλέξανδρον αὖθις κτίζειν . . . καὶ τὴν Ἔρεσον δὲ τὴν τοῦ Θεοφράστου πόλιν μέλλουσαν ἀδικηθῆναι ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου ἐλύτρωσε τῆς ἀδικίας.

Vers. lat. vet.: *et cum esset magna pars philosophie, ad benefaciendum potentia usus est benefaciens et singulis proprie et omnibus communiter. et quod multis quidem proprie benefecerit, declarant misse ab eo epistole de quibusdam ad regem. quod autem et communiter benefecit multis, demonstrat illud quod civitatem suam Stagiram dirutam prius a Philippo induxit Alexandrum regem iterum reedificare . . . et etiam Eresum urbem Theophrasti et Phanie sui discipulorum debentem destrui liberavit a destructione.*

Ἐπιστολαὶ πρὸς Ἀλέξανδρον.

(add. fr. 607—8)

609.

Demetrius π. ἑρμ. 233 (p. 99 Walz): Ἀριστοτέλης μέντοι καὶ ἀποδείξεσί που χρῆται ἐπιστολικοῖς. οἷον διδάξαι βουλόμενος ὅτι ὁμοίως χρὴ εὐεργετεῖν τὰς μεγάλας πόλεις καὶ τὰς μικρὰς φησίν „οἱ γὰρ θεοὶ ἐπ' ἀμφοτέραις ἴσοι· ὥστ' ἐπεὶ αἱ χάριτες θεαί, ἴσαι ἀποκείσονταί σοι παρ' ἀμφοτέραις". καὶ γὰρ τὸ ἀποδεικνύμενον αὐτὸ ἐπιστολικὸν καὶ ἡ ἀπόδειξις αὐτή.

610.

Dio Chrysost. or. 47 p. 601 Emper.: καὶ τὸν Ἀριστοτέλην ἐνίοτε ἐμακάριζον, ὅστις Σταγειρίτης ὤν·

3 ἑπτακαίδεκα: καίδεκα cod. post lacunam. ‖ 4 Ἀθήνησι: παρ' ἀθήνησι, (sic cum commate) cod. ‖ 6 τούτῳ τὸν addidi: lacuna in cod. ‖ 7 εἰκοσαετῆ τυγχάνοντα scripsi: εἰκοσαετὴς τυγχάνων cod., quod in marg. corrigitur sic εἰκοσαετοῦς τυγχάνοντος. ‖ 22 cf. Dionys. Hal. opp. rhet. p. 728 χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ.

[b]3 sc. in epistola quadam ad Alexandrum, e qua fr. 609. ‖ 11 εὖ ἐποίησε, quod vulgo add. post ἰδίᾳ, om. cod. Marc. 257. ‖ 12 καὶ περί τινων cod. Marc., καὶ παρά τινων cod. Par. 1928. ‖ 22 *et de quibusdam* habet codicum meorum unus. ‖ 24 *stragiram* codd. ‖ 26 *ephesum* codd. ‖ 27 *et theophanii* codd. omnes.

τὰ δὲ Στάγειρα κώμη τῆς Ὀλυνθίας ἦν· ἀλούσης δὲ Ὀλύνθου συγγενόμενος Ἀλεξάνδρῳ καὶ Φιλίππῳ διεπράξατο οἰκισθῆναι πάλιν τὸ χωρίον καὶ μόνον αὐτὸν ἔφασκον εὐτυχῆσαι τὴν εὐτυχίαν ταύτην ὥστε τῆς πατρίδος οἰκιστὴν γενέσθαι. μεταξὺ δὲ πρῴην ἐνέτυχον ἐπιστολῇ τινί, ἐν ᾗ ἐστὶ μετανοῶν καὶ ὀδυρόμενος καὶ λέγων ὅτι τούτων τινὲς καὶ τὸν βασιλέα καὶ τοὺς ἀφικνουμένους σατράπας διαφθείρουσιν, ὥστε μηδὲν ἀγαθὸν γενέσθαι μηδὲ ὅλως κατοικισθῆναι τὴν πόλιν. ὅπου δὲ τὸ κατοικισθῆναι τοῖς ἐκπεσοῦσι καὶ τοῦτο ἐλύπει τινάς, εἰ φυγάδες καὶ ἀπόλιδες πατρίδα ἕξουσι καὶ πολιτεύσονται κατὰ νόμους ἐν ἐλευθερίᾳ, μᾶλλον δ' ᾑροῦντο διῳκίσθαι κατὰ κώμας τοῖς βαρβάροις ὁμοίως ἢ σχῆμα πόλεως καὶ ὄνομα ἔχειν· ἦ που προσήκει θαυμάζειν καὶ εἰ ἄλλο τι λυπεῖ τινάς; ὁ δ' οὖν Ἀριστοτέλης ἐπιστέλλων γράφει ὡς τοῖς πράγμασιν ἀπειρηκώς· φησὶ γὰρ αἱρεῖν τοὺς δακτύλους τοὺς Ἰδαίους· κἀμὲ νομίζετε καὶ εἴ τινές εἰσιν ἕτεροι. καὶ γὰρ δὴ πλεῖον ἴσχυσεν ἡ τῶν ἀνθρώπων ἐκείνων κακοδαιμονία τῆς τοῦ Ἀριστοτέλους σπουδῆς, ὥστε οὐκ εἴασαν προβῆναι τὸ κωμίον εἰς ἀξίωμα πόλεως καὶ νῦν ἔτι ἀοίκητόν ἐστιν.

611.

Aelian. var. hist. 12, 54: Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον πραῦναι βουλόμενος καὶ παῦσαι χαλεπαίνοντα πολλοῖς ταυτὶ πρὸς αὐτὸν γέγραφεν· „ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐ πρὸς ἥσσους ἀλλὰ πρὸς τοὺς κρείττονας γίνεται· σοὶ δὲ οὐδεὶς ἴσος".

612.

Gellius 20, 5: (*acroaticos libros*) *cum in vulgus ab eo* (*Aristotele*) *editos rex Alexander cognovisset . . . litteras ad Aristotelem misit, non eum recte fecisse quod disciplinas acroaticas, quibus ab eo ipso eruditus foret, libris foras editis invulgasset . . . exempla utrarumque litterarum sumpta ex Andronici philosophi libro subdidi. en autem prorsus in utriusque epistola brevitatis elegantissimae filum tenuissimum . . .*

(omitto Alexandri epistolam)

Ἀριστοτέλης βασιλεῖ Ἀλεξάνδρῳ εὖ πράττειν. Ἔγραψάς μοι περὶ τῶν ἀκροατικῶν λόγων οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς καὶ ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους· ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν. ἔρρωσο.

Plutarchus Alex. 7 . . . Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων.

Ἐπιστολαὶ πρὸς Ἀντίπατρον.

613.

Aristocles libro VII περὶ φιλοσοφίας **apud Euseb. praep. ev. 15, 2 (t. IV p. 12 Gaisf.):** τὰ μὲν οὖν ἄλλα προδήλως πέπλασται, δύο δὲ ταῦτα δοκεῖ πιστεύεσθαι δι' ἃ ψέγουσί τινες αὐτόν· ἓν μὲν ὅτι τὴν Ἑρμείου γήμειε φύσει μὲν ἀδελφήν, θετὴν δὲ θυγατέρα Πυθιάδα, κολακεύων αὐτόν . . . περὶ δὲ τοῦ γάμου τοῦ Πυθιάδος ἀποχρώντως αὐτὸς ἐν ταῖς πρὸς Ἀντίπατρον ἐπιστολαῖς ἀπολελόγηται· τεθνεῶτος γὰρ Ἑρμείου διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἔγημεν αὐτήν, ἄλλως μὲν σώφρονα καὶ ἀγαθὴν οὖσαν, ἀτυχοῦσαν μέντοι διὰ τὰς καταλαβούσας συμφορὰς τὸν ἀδελφὸν αὐτῆς.

614.

995b 31. καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ὑπεροχήν τε καὶ ὕψεσιν καὶ ὅλως ἐφ' ἑκάστων ἀξίας. "μάλιστα ... ἀριθμόν" τῶν φυσικῶν τὴν ὕλην μόνην ὁρώντων, καὶ ταύτην ὕδωρ ἢ ἀέρα ἢ πῦρ εἶναι λεγόντων, ἄλλων δὲ καὶ ποιητικὴν μὴ αἰτίαν ἀπολειπόντων, ἀχώριστον δὲ ταύτην τῆς ὕλης, καθάπερ οἱ Στωϊκοὶ μὴ ὕστερον, ἄλλοι δέ τινες πρὸ αὐτοῦ, τῶν δὲ χωριστὸν αἴτιον τῆς ὕλης ἀπολειπόντων, ὡς αὐτός τε καὶ Πλάτων, εἰ καὶ αὐτὸς μὴ ὡς ὀρεκτὸν τῶν πάντων αὐτὸ αἴτιον ὑποτίθεται, Πλάτων δὲ καὶ ὡς γεννητικὸν τῶν ὅλων, εἰκότως τούτοις προτείνει, ποία τῶν ὑπολήψεων ἀληθεστέρα. καὶ δῆλον ὅτι ἡ αὐτοῦ καὶ ἡ Πλάτωνος. ὅταν δὲ προσεπιζητῇ πότερον ἓν τὸ χωριστὸν αἴτιον ἢ πολλά, καὶ ἓν φήσομεν καὶ πολλά, συντεταγμένου τοῦ πλήθους πρὸς τὸ ἓν καὶ ὡς πρὸς ἐφετὸν οἰκεῖον ἀνατεινομένου, καθὰ καὶ αὐτὸς ἐν τῷ Λ παρα-

995b 34. δέδωκεν. "καὶ πότερον ἔστι .. ὄντων". ζητεῖ μὴ ἐν τούτοις εἰ ἔστι παρὰ τὸ σύνθετον καὶ εἰδοποιημένον τά τε καθόλου καὶ τὰ καθ' αὑτὰ εἴδη, καὶ εἰ πάντων ἐστὶ φυσικῶν τε καὶ τεχνητῶν, καλῶν τε καὶ αἰσχρῶν, ἀγαθῶν καὶ κακῶν, τελείων καὶ ἀτελῶν, ἢ τινῶν μὴ τινῶν δ' ὄ, καὶ ποίων μέν ἐστι, ποίων δὲ οὐκ ἔστι. τὴν μὴ ὄν ἀκριβῆ περὶ τούτων διαίρεσιν εἴσεται ὁ βουλόμενος ἐκ τῶν Πλωτίνῳ καὶ Ἰαμβλίχῳ περὶ ἰδεῶν πεφιλοσοφημένων, καὶ ἡμεῖς ἐν ἄλλοις ποιησόμεθα ζητοῦντες εἰ καὶ τῶν καθ' ἕκαστα γεννητῶν καὶ τῶν μερῶν οἷον ποδὸς δακτύλου καὶ τῶν ποιοτήτων ἢ ὅλως συμβεβηκότων ἔστιν εἴδη ἐν φύσει ἢ ἐν ψυχῇ ἢ ἐν νῷ· νυνὶ δὲ ὁλοχερέστερον καὶ ὅσον ἀναγκαῖον ὑπὲρ τῶν θείων καὶ νοητῶν εἰπεῖν αἰτίων ἐροῦμεν. φαμὲν οὖν αἰσχρῶν μὴ καὶ ἀτελῶν καὶ κακῶν μηδ' ὅλως εἶναι ἰδέας· κατὰ ἀπόπτωσιν γὰρ ταῦτα πρὸς τοῖς τελευταίοις ὑφίσταται τῆς φύσεως, ἢ τῆς μερικῆς ἀδυνάσης ψυχῆς διὰ τὸ μὴ κρατεῖν τῆς ὑποκειμένης ἀοριστίας· τῶν μέντοι κατὰ φύσιν συνιστάμενων οὐσιῶν καὶ διὰ παντὸς ὑπαρχουσῶν εἶναι δημιουργικὰ εἴδη, ὥσπερ τῶν τεχνητῶν ἐν τῇ τέχνῃ. ἀλλὰ τῶν μὴ κατὰ τὴν τέχνην καὶ αὐτὸς συγχωρεῖ· πολλαχοῦ γὰρ ἐκ τῆς ἀύλου οἰκίας τὴν ἔνυλόν φησιν ἀποτελεῖσθαι, καθάπερ καὶ ἐν τῷ Ζ λέλεκται τῆσδε τῆς πραγματείας· τῷ δὲ παραδείγματι τῶν τεχνῶν, τῇ πάσῃ φημὶ δημιουργίᾳ τῆς εἰδητικῆς διακρίσεως οὐκέτι μεταδίδωσι. καίτοι πῶς ἂν ἡ μιμουμένη τὴν φύσιν οὕτω μόνως ἂν ἐποίησεν, εἰ μὴ πολὺ πρότερον ἡ φύσις αὐτὴ τοῦτον

96a 1. ἐδημιούργει τὸν τρόπον; "ἔτι ... ὑποκειμένῳ." τὸ μὴ ὡρίσθαι τὰς ἀρχὰς ὡς ὁμολογούμενον ἐν τούτοις δέχεται· πότερον δὲ ἀριθμῷ εἰσιν ὡρισμέναι, ὡς τὰ τέσσαρα στοιχεῖα εἰ τύχοι τῶν σωμάτων (ταῦτα γὰρ τῷ ἀριθμῷ ἐστι τέσσαρα· διὸ καὶ οὐδ' ἁπλῶς ἐξ ἀέρος καὶ πυρὸς γίνεται τὸ σῶμα, ἀλλ' ἐκ τοῦ κοσμικοῦ ἀέρος καὶ τοῦ τῇδε πυρός), ἢ μᾶλλον εἴδει ὥρισται, ὡς τὰ εἴκοσι τέσσαρα στοιχεῖα τῆς φωνῆς· ὅτι γὰρ ταῦτα εἴδει καὶ οὐκ ἀριθμῷ ὥρισται, δῆλον ἐξ ὧν ὅλον τὸ $\overline{\alpha}$ ἐν πολλαῖς ἐστι συλλαβαῖς, οὐ μέρει αὐτοῦ παρόν τῇ $\overline{\beta\alpha}$ καὶ μέρει τῇ $\overline{\gamma\alpha}$, καθάπερ ὁ ἀὴρ μέρει μὴ ἑαυτοῦ τόδε τὸ σῶμα συνίστησι, μέρει δὲ ἕτερον. ζητεῖ οὖν ποτέρως εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι ἀριθμῷ **, εἰ δὲ ἀριθμῷ, καὶ εἴδει. δῆλον δὲ ὅτι εἰ μὴ εἴδει, οὐ πάντως καὶ ἀριθμῷ, εἰ δὲ ἀριθμῷ, καὶ εἴδει· τὸ δὲ "ἔν τε τοῖς λόγοις καὶ ἐν τῷ ὑποκειμένῳ" ἤτοι διὰ τὴν διαφορὰν εἴρηκε τῶν αἰτίων, ἵνα τὰ μὴ εἰδικὰ καὶ ποιητικὰ καὶ τελικὰ αἴτια λέγῃ εἶναι τὰς ἐν τοῖς λόγοις ἀρχάς, τὰ δὲ ὑλικὰ τὰς ἐν τῷ ὑποκειμένῳ· ἢ τὰς μὴ ἐνδόξως προκαταβεβλημένας φησὶν εἶναι ἐν λόγοις, τὰς δὲ ἀληθῶς ταῖς οὐσίαις ἐνυπαρχούσας ἐν ὑποκειμένῳ. τοιαύτης δὲ οὔσης τῆς ζητήσεως ἐροῦμεν ὅτι αἱ μὴ ἀληθῶς αἰτίαι καὶ ἀρχαὶ τῶν πάντων τό τε ἓν καὶ ἡ ἀόριστος δυὰς ἀμφότερα ταῦτα ὑπεραίρουσι τὰ ἐν τῇ διαιρέσει παραλαμβανόμενα· τό τε γὰρ ἄτομον καὶ ἓν ἀριθμῷ τοῖς ἐνύλοις εἴδεσιν ἁρμόζει μόνοις, ἐπειδὴ τὸ ἄυλον ἓν οὐχ ἥττόν ἐστι πάντα ἢ ἕν· τό τε ἓν εἴδεσιν ὡρισμένον εἰ μὴ ἐπὶ τῶν στοιχειωδῶν ἀρχῶν θεωροῖτο, ἴνδαλμα ἑνός τινος ἀποφέρεται πρεσβυτέρου ὥσπερ τὰ πολλά, ἢ μιμεῖται πάντως ἑκάτερα ἕν τι τῆς διανοίας πάθος ἢ φάντασμα σημαντικόν (οὕτω γὰρ καὶ οἱ πολλοὶ λίθοι καὶ ἵπποι ἑνός τινός εἰσιν εἰκόνες)· εἰ δὲ ποιητικὸν εἴη καὶ γόνιμον καὶ τῶν ἀποτελουμένων ἐξῃρημένον, ἢ καὶ ὀρεκτὸν αὐτῶν καὶ τελικὸν αἴτιον, εὐθὺς μὴ ἂν εἴη μετὰ τὰς ἀρχὰς τῶν ὅλων (ὁ γὰρ εἰδητικὸς κόσμος ἐπὶ τῶν ἀρχῶν καὶ πρῶτος ἀπ' αὐτῶν), οὐ μέντοι ὅπερ αἱ τῶν ὅλων ἀρχαί, αἳ καὶ τῶν νοερῶν καὶ εἰδητικῶν ἀριθμῶν ὑπερήπλωνται. αἱ δὲ κατ' αὐτὸν τὸν Ἀριστοτέλην, ἃς ἐν τῷ Ν παραδίδωσι, τὸ συναμφότερον ἂν δόξαιεν ἔχειν· καὶ γὰρ ἀριθμῷ εἰσιν ὡρισμέναι, εἴ γε τοσαῦταί εἰσιν ὅσαι αἱ κυκλοφορούμεναι σφαῖραι, καὶ εἴδει, εἴ γε ἑκάστη πάσης ἡστινοσοῦν αὐτῶν κατ' εἶδος διενήνοχεν, ὡς τὴν μὴ ὑπερτέραν εἶναι καὶ περιεκτικωτέρᾳ νοήσει καὶ ἁπλουστέρᾳ χρήσθαι, τὴν δὲ καταδεεστέραν καὶ ὑφειμένην, ἅτε ταῖς σωματοειδέσι σφαίραις ἀνὰ τὸν αὐτὸν λόγον τεταγμένην. ὥστε εἰ μὲν τὰς Πυθαγορείους ἀρχὰς θεωροῖμεν, οὐδέτερον τούτων ἐν ταῖς ἀρχαῖς. πῶς γὰρ οἷόν

2 ὑφ' ἑκάστων *A*. ‖ fort. ἀξίαν. ‖ 4 ἀπολ.] *cum ... inspicerent β*. ‖ 5 ταύτης *BH β*. ‖ 6 αὐτῶν *BHβ*. ‖ 9 *in his β*. ‖ 13 Ar. met. Λ 10 p. 1075 a16 sqq. ‖ 16 φυσικῶν καὶ (*A*)*H*. ‖ 17 *et perfectorum et β*. ‖ 19 fort. εἰσεταί τε ὁ. ‖ 20 cf. Plotinus enn. V 7 (qu. XVIII Kirchh.) V 9 (qu. V 8 sqq.). ‖ περὶ ἰδεῶν om *β*. ‖ 21 Syrianus ad met. M p. 1078 b12. 25 al. ‖ 23 ἢ ψυχῇ *A*. ‖ ἢ ἐν νῷ] *aut inanimata β*. ‖ 27 ἢ] *eo scilicet quod β*. ‖ 28 ἀριστίας pr. *H*. ‖ 30 εἶναι *H*: εἶναι τὰ *AC*. ‖ 33 met. Z 7 p. 1032 b12 cf. 15 p. 1039 b24 sq. ‖ 34 εἰδητικῆς *CHβ*: εἰδικῆς (*A*). ‖ *distinctionis β*. ‖ 36 fort. μόνη. ‖ 38 πότερον δὲ] *sed dubitat utrum β*, πότερον *H*. Syrianus potius πότερον δέ, φησί, scripserit.

2 ἔστι *C*: εἰσι *AH*. ‖ cf. met. Z 17 p. 1041 b11 sqq. ‖ 6 ἔστι] εἰσὶ *H*. ‖ 7 αὐτοῦ *β*: αὐτό *ACH*. ‖ καὶ μέρει τῆς $\overline{\alpha}$ (*A*)*H*. ‖ 8 μέρει δὲ *β*: μέρεσι δὲ *ACH*. ‖ 9 truncata sunt, Syrianus scripsisse uidetur ποτέρως εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, ἀριθμῷ [ἢ εἴδει· καὶ εἰ μὲν εἴδει, καὶ ἀριθμῷ], εἰ δὲ ἀριθμῷ κτλ. ‖ 10 δῆλον δι' ὅτι *H*. ‖ 17 τό τε *CHβ*: τὸ δὲ *A*. ‖ 20 ἁρμόζειν (*A*)*H*. ‖ 21 ἢ ἓν τό τε ἐν εἴδεσιν ὡρισμένον. εἰ *BHβ*: correxi cum Bonitzio. ‖ 23 ἕν τι] fort. ἤ τι. ‖ 26 ἀποτελεσμάτων *β*. ‖ 28 εἰδητικὸς *C*: δεκτικὸς *AHβ*. ‖ ἐπὶ δὲ τῶν *C*. fort. ἐπιδεῖ [an ἐπιδεῖται] τῶν. ‖ ἐπ' αὐτῶν *H*. ‖ 29 νοερῶν] μερῶν *β*. ‖ 30 τὸν om *H*. ‖ 31 ἐν τῷ νῷ *H*. scrib. ἐν τῷ Λ cf. Λ 7. 8. ‖ 32 εἴτε τοσαῦται *AH*. ‖ 35 περιεκτικώτερα *H*, περιεκτικωτέραν *ACβ*. ‖ νοήσει καὶ ἁπλουστέρα *C*: καὶ ἁπλουστέρα νοήσει *Hβ*, καὶ ἁπλουστέραν νοήσει *A*. ‖ 37 τεταγμένον (*A*)*H*.

τε, παντὲς μὴ ὡρισμένω πλήθως καθ' ἓν ἄτομον ἢ κατ' εἶδος ἀριθμῶ ὄντος, παντὲς δὲ ἀριθμῶ γεννήματος τῶν ἀρχῶν, ἐν ταῖς ἀρχαῖς τὲ ὡρισμένον ὅπως ποτὲ πλῆθος θεωρεῖζ; ἀλλὰ κἂν μίαν λέγωμεν εἶναι τὴν πάντων ἀρχὴν ϗ θεὸν αὐτὴν ἢ τἀγαθὸν ἢ ἓν προσαγορεύωμεν, *κἂν δύο*, πέρας ϗ ἀπειρίαν, ὡς ἐν Φιλήβῳ Πλάτων ϗ πρὸ αὐτῶ Φιλόλαος, αὐτὰς ὀνομάζοντες, ἢ μονάδα ϗ δυάδα, ὡς οἱ πλεῖοι τῶν Πυθαγορείων, ἢ αἰθέρα ϗ χάος, ὡς Ὀρφεύς, ἢ Πρατέα ϗ δυάδα, ὡς αὐτὸς ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ Λόγῳ, ὅτε κυρίως αὐτὰς ὀνομάζομεν (ἐπέκεινα γάρ εἰσιν ὑ μόνον κλήσεως ἀλλὰ ϗ πάσης ἀνθρωπίνης νοήσεως), ὅτε τὸ ἓν ϗ δύο κατ' ἀριθμὸν ἢ εἶδος ὀνομάζομεν (παντὲς γὰρ ἀριθμῶ ϗ παντὲς εἴδυς νοητῶ ϗ νοερῶ τὴν αἰτίαν ἐν ἑαυταῖς αἱ ἀρχαὶ προειλήφασιν), ἀλλ' ἔςιν ἕτερος ὁ τρόπος παρὰ τοῖς θεολογικωτέροις τῆς περὶ τύτων ἐνδείξεως· ϗ τοσαῦτα μὴ περὶ τῶν Πυθαγορείων ἀρχῶν, ταὐτὲν δ' εἰπεῖν Ὀρφικῶν τε ϗ Πλατωνικῶν· εἰ δὲ τὰς κατ' αὐτόν, ϗ ἀριθμῷ ϗ εἴδει φήσομεν αὐτὰς ὡρίζζ· ϗ γὰρ τοσαίδε εἰσὶ ϗ ὑ πάντη ὁμοειδεῖς, ἀλλὰ πρεσβείῳ τῆς ὑσίας ϗ τιμιότητι διαφέρυσι· τὲ δὲ ἕτερον ἀφωρισμένως ταῖς κυρίως ἀρχαῖς ὑ διενήνοχεν, ἀλλ' εἰ ἄρα,
996a 2. ταῖς ὑλικαῖς ϗ εἰδικαῖς. "ϗ πότερον.. φθαρταί" ὡς δύο μὴ προβλήματα ταῦτα προτείνεζ δοκεῖ, εἰ αἱ αὐταὶ ἀρχαὶ φθαρτῶν ϗ ἀφθάρτων· εἰ μὴ γὰρ αἱ αὐταί, πῶς τὰ μὴ ἄφθαρτα ποιῦσι τὰ δὲ φθαρτά; εἰ δὲ ἕτεραι, πότερον πᾶσαι ἄφθαρτοι, ἢ αἱ μὴ ἄφθαρτοι αἱ δὲ φθαρταί; ὅπως δ' ἂν ἐθέλῃ τις διαιρεῖν, ἀποκρινυμέθα πρὸς αὐτόν, ὅτι αἱ μὴ τῶν ἀφθάρτων ἀρχαὶ πάντων εἰσὶν ἀρχαὶ τῶν ὅπως ποτὲ ὄντων· ὑδαμῶ γὰρ αὐτῶν ἡ γονίμη περιορίζεζ ϗ ἀπειροδύναμος ἐνέργεια· αἱ δὲ τῶν φθαρτῶν ὑ πᾶσαι ϗ τῶν ἀφθάρτων, ἀμέλει αἱ προσεχεῖς ἀρχαὶ τῶν φθαρτῶν αὐτῶν εἰσι μόνον ἀρχαί, ὑ μὴν ὑδ' αὐταὶ πᾶσαι φθαρταί· ἡ γὰρ κυκλοφορία τὴν ποιητικὴν αἰτίαν ἀποφέρεζ κατ' αὐτόν. ὑ μέντοι φθαρτή ἐςι· ϗ ἄλλα δέ ἐςιν ἄφθαρτα τῶν ἐν γενέσει αἴτια, ὥσπερ ἥν ϗ φθαρτά· ὅλως γὰρ εἰ ἄνθρωπος ἄνθρωπον γεννᾷ ϗ ἥλιος, πρόδηλόν ἐςιν ὅτι ϗ φθαρὲν αἴτιον ἔχει ὁ ἄνθρωπος ϗ ἄφθαρτον. τὲ δὲ αὐτὲ ϗ ἐπὶ ἵππυ ϗ κυνὸς ϗ ὑτινοσῦν τῶν τῇδε· ἕκαςον γὰρ αὐτῶν ϗ μερικὸν αἴτιον ἔχει ϗ ὁλικόν· ἀρχὴν δὲ ὁλικωτέραν φθαρῆναι πάντων ἀδυνατώτατον· ὅτε γὰρ ἂν αὐτή ποτε ἔκ τυ ὅτε ἄλλα ἔξω αὐτῆς γενήσεζ.

ταῦτα δὲ ὑ τῷ θείῳ Πλάτωνι μόνῳ ἀλλὰ ϗ Ἀριςοτέλει καλῶς δέδοκζ· τάς τε γὰρ τῶν ἀιδίων ἀρχὰς οἷον τὰ χωριςὰ ϗ ἄυλα εἴδη πᾶσιν εἶναι ἐφετά, ϗ τῶν φθαρτῶν ἐνίας ἀρχὰς εἶναι ἀιδίυς φησίν. ἀμέλει πολλαχῶ μὴ ϗ ἐν τοῖς ἑπομένοις
5 δὲ γενναίως κατασκευάσει ὅτι ὑκ ἂν εἴη γένεσις μὴ ἀιδίυ τινὸς αἰτίυ αὐτῆς ὄντος· πλὴν τοσῦτον ἀπολείπεζ τῆς πατρίυ φιλοσοφίας ὅτι τοῖς ἀΰλοις εἴδεσι ποιητικὴν μὴ αἰτίαν ἢ παραδειγματικὴν ὑ δίδωσι, τελικὴν δὲ ϗ ὀρεκτικήν· ἐφετὰ γὰρ ϗ κατ' αὐτόν ἐςι προσεχῶς μὴ ταῖς κινυμέναις περὶ αὐτὰ σφαίραις,
10 διὰ τύτων δὲ ϗ πᾶσι τοῖς ἐγκοσμίοις· τῶ γὰρ ἀγαθῶ ϗ κατ' αὐτὲν πάντα ἐφίεζ· εἰ δὲ ϗ πολλὰ τἀγαθά, ἀλλ' ἓν πάντα πρὸς τὰ κυριώτερα προςέτακζ ϗ ταῦτα πρὸς ἓν τὲ ὑπέρτατον ϗ τελικώτατον τῶν ἁπάντων, ὡς ἐν τῷ Λ σαφῶς ἔςιν αὐτῶ λέγοντος ἀκύειν. "ἔτι δὲ.. ἀέρα" ὅτι μὴ ὑκ εὐκαταφρονήτυς 996a 4.
ὀίεζ τὰς δόξας εἶναι τῶν πρεσβυτέρων ἀλλὰ πολλῆς ἐπισκέψεως ϗ μάλιςα τὰς περὶ τῶν πρωτίςων ἀρχῶν, θαυμάσειεν ἄν τις αὐτὲν τῆς ἐπιεικείας. * ὅτι πολλῶν ὑσιῶν ὁρωμένων τε ϗ νοημένων ἀνάγκη πάσας ἐκ μιᾶς ἠρτῆζζ, ἣν πρῶτον ἄν τις ὂν προσαγορεύσειεν, οἶμαι συγχωρήσειν αὐτόν. ἃ δὲ μὴ λέγει μὴ αὐτόθεν, ἑπόμενα δέ ἐςιν ἀναγκαίως οἷς τίθησι, ταῦτ' ἄν εἴη λέγειν ἡμέτερον. ϗ δὴ λέγομεν ὡς ὑκ ἂν πάντα τὰ ὄντα τῶ πρώτυ ὄντος ἐφίετο, εἰ μὴ παρ' αὐτῶ τὴν ἑαυτῶν ἐκαρπῶντο τελειότητα, ϗ πρὸς ὃ διὰ παντὸς τῶ αἰῶνος ἀνήρτηζ, παρὰ τύτυ ϗ τὲ εἶναι δι' αἰῶνος ὑπεδέχετο, ὥςε εἰ τὲ πρῶτον ὂν ἐφετὲν τοῖς πᾶσι, ϗ τῶ εἶναι τοῖς πᾶσιν αἴτιον, αὐτὲ μὴ ὑδὲν ὂν ἄλλο ἢ τὲ πρῶτον ὄν, ἵνα ᾖ πάντων τῶν ὄντων αἴτιον, παράγον δ' ἀφ' ἑαυτῶ τόν τε ὑσιώδη ἀριθμὸν ϗ τὰ ὄντως ὄντα ϗ νοητὰ εἴδη. ἀλλ' ἐπειδὴ τὲ ὂν τῶτο, ϗ εἰ πάντων ἐςὶ τῶν ὄντων ἀρχή, συντέτακταί πως αὐτοῖς, ϗ διὰ τῶτο πλήθος ὑ παντελῶς ἐςιν ἀνέμφατον, δεῖ πρὸ αὐτῶ τὲ ὑπερῦσιον ἓν θεωρεῖν ἁπλότητι ϗ ὑπεροχαῖς ἀνεπινοήτως ἁπάντων τῶν ὄντων ἐξῃρημένον, ὅ κυρίως μὴ ὀνομάζειν ἀδύνατον, οἰκειότερον δ' ἄν τις τὲ ἓν προσείποι μᾶλλον ἢ ἄλλο ὁτιῦν, διότι πᾶσι τοῖς ὖσιν ἑνώσεως γίνεζ αἴτιον, ὅ ἐςι τῆς πρὸς αὐτὸ ἐξομοιώσεως. ἀναγκαίως ἄρα ϗ ἓν ϗ ὂν οἱ Πυθαγόρειοι προὐπετίθεντο τῶν ὅλων πραγμάτων, τὲ μὴ ἑνώσεως ϗ τῶν ἀγαθῶν ἁπάντων αἴτιον τοῖς ὖσι, τὲ δὲ τῶ εἶναι ϗ τοῖς ἄλλοις τῶν εἰδῶν τὴν κυρίαν ἀρχὴν

1 μὲν] μὴ *β*. ‖ καθ' ἓν] πρὸς ἓν *H*. ‖ 5 κἂν δύο interposui: *aut finem et* futili coniectura *β*. ‖ ἄπειρον Plato. ‖ 6 Pl. Phileb. p. 23 C sqq. ‖ Τιμόλαος *Aβ*. ‖ αὐτὴν *β*. ‖ 8 Πρατέα] πρακτέα *BH factorem β*: emendaui cl. Syriano ad met. N p. 1089 b20 τὴν ἀόριςον δυάδα, ἣν χάος ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ Λόγῳ κέκληκε συντάττων αὐτὴν τῷ Πρωτεῖ [πρώτῳ libri]· ταύτην γὰρ ἀπονέμει τῇ μονάδι τὴν ποσηγορίαν ἐν ἐκείνοις et theologg. arithmet. p. 7 Astii. ‖ 13 ὁ τόπος *Aβ*. ‖ 15 μὲν om *H*. ‖ 17 πάντῃ om *β*. ‖ 19 fort. ὑκ ἐνῆν. ‖ 20 εἰδικαῖς καὶ ὑλικαῖς *H*. ‖ 21 εἰ addidit Brandisius: *utrum β* om *ACH*. ‖ αἱ αὐτῶν ἀρχαὶ *H*. ‖ 22 γὰρ αὐταὶ (*A*)*H*. ‖ 24 ἐθέλοι *CH*, ἔθοι (*A*). ‖ 25 πάντων] *omnino β*. ‖ 29 μόνων *A*. ‖ ὑδ' αὗται *BHβ*. ‖ 33 καὶ φθαρτὸν om *β*. ‖ 34 καὶ ἄφθαρτον ὁ ἄνθρωπος *C*. ‖ 36 *corruptum iri β*. ‖ 37 ἔκ τυ *C* ἕκτον *H*: om *Aβ*. ‖ ἔξω] ἐξ libri cum *β*.

3 τῶν ἀφθάρτων *H*. ‖ 4 ἀΐδίοις *H*. ‖ 7 ὅτι] fort. ὅσον. ‖ 8 καὶ κατ' *CH*: κατ' *Aβ*. ‖ 10 ἐγκωμίοις *H*. ‖ 11 δὲ πολλὰ *AH*. ‖ τὰ ἀγαθὰ *A*. ‖ 13 Λ] cum *β* Bonitzius: libri ϝ. ‖ 15 fort. ἀλλ' ἀξίας πολλῆς. ‖ 16 πρωτίςων om *β*. ‖ 17 αὐτῶν *H*. ‖ ante ὅτι hiatum notaui. ‖ 18 *quam si quis primum ens appellauerit, puto β*. ‖ 18 πρώτην (*A*)*H*. ‖ ἄν τις ἂν *H*. ‖ 19 ἑαυτὸν *H*. ‖ λέγειν *H*. ‖ 21 τὰ ὄντα om *β*. ‖ 22 τῶ προτέρυ *H*. ‖ ἐφίεται *AH*. ‖ 23 ἀνήρηται *H*. ‖ 24 τῶ εἶναι libri. ‖ τὸ πρότερον *H*. ‖ 25 αὐτὸ *Cβ*: αὐτῷ *AH*. ‖ 26 πρότερον ὂν *H*. ‖ 27 παράγων (*A*)*H*. ‖ δ' *H* δὲ *B*. ‖ τὰ ὄτως ὄντα *BHβ*. ‖ 29 ἀρχὴ *Hβ* ἀρχὴν *AC*. ‖ 30 πρὸ αὐτῶ om *β*. ‖ 31 ἀνεπινοήτων *H intelligibiliter β*. fort. ἀνεπινοήτοις. ‖ 34 αἴτιον om *CH*. ‖ ὅ ἐςι] fort. τυτέςι. ‖ πρὸς αὐτὸν *H*.

παρεχόμενον. δοκεῖ δέ μοι μηδ' Ἐμπεδοκλῆς ἄλλο τι τὴν φιλίαν ὑποτίθεσθαι ἢ τὸ ἕν, πλὴν ὁ τὸ πᾶσιν ἀσύντακτον, ἀλλ' ᾧ συντάττεται ἡ ἀόριστος δυάς, ἣν νεῖκος ἐκεῖνος προσαγορεύει, ἀφ' ὧν δὴ τό τε πρῶτον ὂν ὑφίστησι καὶ τὰ νοητὰ πάντα καὶ τὸν αἰσθητὸν διάκοσμον· εἰ γὰρ ἑνώσεως μὲν τῷ σφαίρῳ, ὃν καὶ τὸ πρῶτον ὂν τάττομεν, ἡ φιλία γίγνεται καὶ τὸν φιλόσοφον τοῦτον αἰτία, πολλαπλασιασμοῦ δὲ καὶ ἑτερότητος καὶ γονίμων προσόδων τὸ νεῖκος αἴτιον, πῶς οὐχὶ καὶ μὲν τὸ ἓν ἡ φιλία, καὶ δὲ τὴν δυάδα τὸ νεῖκος παρείληπται; ἐπεὶ καὶ Πυθαγόρειος ὢν Ἐμπεδοκλῆς πῶς ἂν τὰς Ὀρφικὰς ἢ τὰς Πυθαγορείους ἀρχὰς ἠθέτησεν; εἰ δὲ Θαλῆς μὲν ὕδωρ τὸ ἓν ἔλεγεν, ἄλλος δὲ ἄλλο τι τῶν φαινομένων, δεδώκασιν εὐθύνας αἱ δόξαι παρά τε πολλοῖς καὶ διαφερόντως παρὰ τούτῳ τῷ δαιμονίῳ ἀνδρί· "καὶ.. κίνησιν." αἱ κυρίως ἀρχαὶ καὶ ὑπὲρ τὰ καθόλου γένη καὶ εἴδη θεωρηθῆναι καὶ ἔτι πολλῷ πλέον ὑπὲρ τὰ καθ' ἕκαστα. ἔχει γὰρ οὕτως· ἐν τῇ ὕλῃ τὰ καθ' ἕκαστα θεωρεῖται, ἐν δὲ τῇ φύσει καὶ ψυχῇ τὰ καθόλου προϋπάρχει τῶν αἰσθητῶν αἴτια γιγνόμενα. τῆς μὲν φύσεως τὰ οἷον εἰδικώτατα εἴδη ἐχούσης, ὑφ' ὧν προσεχῶς τὰ ἔνυλα γεννᾶται καὶ τὰ καθ' ἕκαστα, τῆς δὲ ψυχῆς καὶ ταῦτα μὲν καὶ πρὸ τούτων δὲ τοὺς ὁλικωτέρους λόγους προειληφυίας, δι' ὧν τά τε γένη διαιροῦσα καὶ τὰ πλήθη τῶν λόγων πάλιν ὁρίζουσα θεωρεῖ τὰ πάντα κατιοῦσά τε καὶ ἀνιοῦσα καὶ τὸ ὅλον διαιρετικῶς τε καὶ ἀναλυτικῶς καὶ ὁριστικῶς ἐνεργοῦσα. τούτων δὲ αὐτῶν ὑπερίδρυται τὰ εἴδη τὰ δημιουργικά, καὶ πάλιν αὐτῶν τούτων ὑπέρτεραι τῶν ὅλων αἱ ἀρχαί. καὶ τοσαῦτα μὲν πρὸς τὸ πρῶτον ἐρώτημα, εἰ χρὴ δι' ἐλαχίστων περὶ μεγάλων εἰπεῖν. πρὸς δὲ τὸ δεύτερον, ὅτι τὸ μὲν δυνάμει καὶ πάντῃ τῶν κυρίως ἀρχῶν ἐξοριστέον· ἀτελὲς γὰρ τοῦτο καὶ ἄγονον καὶ τῇ ὕλῃ πρεπωδέστερον, τὸ δὲ ἐνεργείᾳ μᾶλλον αὐταῖς οἰκειότερον, πλὴν ὅτι τινὲς οὐδ' ἐνεργείᾳ λέγοιντ' ἂν εἶναι, ἀλλ' αὐτὸ μᾶλλον ἐνέργεια. εἴη δ' ἂν ἡ τῶν πάντων ἀρχή, εἰ θεμιτὸν εἴη λέγειν, οὐ μόνον ὑπὲρ τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἀλλὰ καὶ ὑπὲρ αὐτὴν τὴν ἐνέργειαν. πρὸς δὲ τὸ τρίτον, ὅτι αἱ μὲν ἀκίνητοί εἰσι τῶν ἀρχῶν, ὅσαι τῶν ἀιδίων εἰσὶν αἴτιαι, αἱ δὲ κινοῦσαι, ὅσαι τῶν ἀεὶ γιγνομένων καὶ φθειρομένων, ὥσπερ ὁ ἥλιος καὶ ἡ τοῦ αἰθέρος κυκλοφορικὴ περιόδος. "πρὸς δὲ τούτοις.. ἢ ἐν τούτοις." δόξειε μὲν ἂν τὸ "οὐσίαι" ἐν τούτοις ἀντὶ τοῦ "ὄντα" παρειληφέναι· οὐ γὰρ δήπου τὴν σιγμὴν τὴν ἐν τοῖς αἰσθητοῖς καὶ γραμμὴν οὐσίαν ᾠετο εἶναι· οὐ μὴν ἀλλ' ἐν τοῖς ἑπομένοις τὸ οὐσιῶδες αὐτῶν ἐπιζητήσει. ἡμεῖς τοίνυν καὶ τὸ εἶναι αὐτῶν καὶ τὸ οὐσιῶδες ἐκφαίνομεν πολλαχῶς εἶναι λέγοντες ταῦτα· καὶ γὰρ ἐν τοῖς αἰσθητοῖς τῆς φύσεως ἔργοις ἴδοι ἄν τις καὶ σχῆμα καὶ ἀριθμὸν καὶ ἐπιφάνειαν φυσικὴν καὶ ταύτης πέρατα, ἔτι δὲ καὶ ἐν τῇ φαντασίᾳ ἡμῶν καὶ ἐν τῇ δόξῃ ταῦτα συνίσταται, εἴτε ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν, ὡς αὐτῷ ἀρέσκει, ληφθέντα, εἴτε καὶ τελειωθέντα παρ' ἡμῖν ἐκ τῶν οὐσιωδῶν τῆς ψυχῆς εἰδῶν. ταῦτα οὖν τὰ φανταστὰ καὶ τὰ δοξαστὰ τοῦ μὲν εἶναι μετέχει, οὐσίαι δὲ οὐκ εἰσί· διὸ καὶ ὑπὸ ποσότητα μᾶλλον ἢ ποιότητα ἢ ἄλλην κατηγορίαν ἀνάγοιντ' ἄν· οἱ δὲ οὐσιώδεις τῆς ψυχῆς λόγοι οἱ ταῦτα ἔχοντες ἤδη οὐσίαι. εἰ δὲ καὶ τὰ ἐν νῷ καὶ νοητοῖς αὐτῶν ὁρῴη τις παραδείγματα, ἐν ταῖς πρωτίσταις ἂν τῶν οὐσιῶν τόν τε ἀριθμὸν καὶ τὰ σχήματα καὶ τὸ αὐτομέγεθος ἴδοι καταριθμούμενα.

Τοσαῦτα προτείνας ὁ φιλόσοφος οὗτος τἄπορα πάλιν ἀναλαβὼν ἀπὸ τοῦ πρώτου πειρᾶται τοὺς ἐφ' ἑκάτερα γυμνάζειν λόγους, ἵνα τῶν ἀντικειμένων ἀκούοντες ἐπιχειρημάτων μετὰ πολλῆς βασάνου καὶ κρίσεως ἐπιστατικωτέρας τοῖς ἀληθεστέροις προσθώμεθα. τοσοῦτον οὖν ἐπισημηναμένοι, ὅτι οὐχ ἁπανταχοῦ τῇ τάξει τῶν προβλημάτων ἀκολουθεῖ, πειραθῶμεν ἤδη γυμνάζοντι τοὺς ἀντικειμένους λόγους συνοδεύειν αὐτῷ, καὶ τοῖς μὲν εἰς τὸ ἀληθὲς ὁρῶσι συμφθέγγεσθαι, τοῖς δὲ σοφιστικωτέροις ἐνίστασθαι· ἀνάγκη γὰρ τῶν ἀντικειμένως παρ' αὐτῷ κατασκευαζομένων τὰ μὲν πρὸς τἀληθὲς τὰ δὲ πρὸς ἀπάτην βλέπειν. "Πρῶτον.. αἰτίων." τοῦτο ἦν τὸ πρῶτον αὐτῷ προταθέν. γένη δὲ λέγει νῦν αἰτίων τὰ εἴδη. εἶτα κατασκευάσει πρότερον ὅτι οὐ μιᾶς ἐπιστήμης πάντα τὰ αἴτια τοῦ πράγματος γιγνώσκειν, ὃ καὶ ψευδός ἐστι καὶ αὐτῷ μὴ δοκοῦν. "μιᾶς μὲν γὰρ ἐπιστήμης .. γνωρίζειν." ὁ συλλογισμὸς δυνάμει τοιοῦτός ἐστιν· τὰ αἴτια τὰ τῷ εἴδει διαφέροντα οὐκ ἔστιν ἐναντία· τῶν τῷ εἴδει διαφερόντων καὶ μὴ ὄντων ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη· τῶν αἰτίων ἄρ' οὐκ ἔστι μία ἐπιστήμη. καὶ ἐν δευτέρῳ σχήματι· τὰ αἴτια τὰ τῷ εἴδει διαφέροντα οὐκ ἐναντία· τὰ ὑπὸ μίαν ἐπιστήμην ἐὰν τῷ εἴδει διενέγκῃ, ἐναντία ἐστί, τὰ αἴτια οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην. ὅπως δ' ἂν ἔχῃ, ψευδὴς μέν ἐστι πάντῃ καὶ πάντως ἡ μείζων πρότασις· οὐ γὰρ εἰ τῶν ἐναντίων μία, τῶν οὐκ ἐναντίων οὐ μία, οὐδ' εἰ τἀναντία ὑπὸ μίαν, εὐθέως καὶ τὰ ὑπὸ μίαν ἐναντία. μήποτε δὲ οὐδ' ἀεὶ τὰ αἴτια τῷ εἴδει διαφέρει, ὡς καὶ αὐτὸς ἐν τῷ Β τῆς Φυσικῆς ἐπέστησεν ὅτι συν-

996a 9.

996a 12.

996a 18.

996a 20.

2 ἀλλ' ὡς (in marg. 'l. ᾧ') *H*, *β*. ‖ 3 συντάσσεται *H*. ‖ 4 πρότερον ὂν ἀφίστησι *H*. ‖ 5 *post* (μετὰ) *primum ens β*. ‖ 6 πρῶτον *β* πρώτερον (*A*) πρότερον *CΠ*. ‖ 11 μὲν τὸ ὕδωρ *AH*. ‖ τὸ ἓν καὶ τὸ ὂν ἔλεγεν *H*. ‖ 13 τῷ post τούτῳ om *H*. ‖ 16 θεωρεῖται] *consideranda β*. ‖ 17 αἰτία *H*. ‖ 18 νεικικώτατα *AH*. *uictrices species β*. ‖ 20 ὁλικωτέρους *Hβ* ὑλικωτέρους *B*. ‖ 21 τὰ πλήθη *H* τὰ πλήθει *AC* (?) τῷ πλήθει *β*. ‖ ὁρίζουσα] ἐρίζουσα *BHβ*. cf. l. 23 ὁριστικῶς. ‖ θεωρεῖ τὰ *Cβ*: θεωρεῖται *AH*. ‖ 22 *et totum uniuersaliter, diuisiue β*. ‖ 26 τὸ $\overline{\beta}$ *AC*: πρὸς τὸ δεύτερον tamquam titulum separatim ponit *H*. ‖ 28 ἄγωνον *BH*. ‖ 32 αὐτὴν ἐνέργειαν libri. ‖ 34 τῶν αἰτίων καὶ γιγνομένων *ΛH* τῶν αἰτιῶν γιγνομένων *Cβ*. correxi cl. l. 33. ‖ 36 *Videbitur β*. ‖ 37 ἀντὶ τῶν ὄντι *H* ἀντὶ ὄντα *AC*. ‖ 38 *putaret β*.

1 ἑπομένοις καὶ τὸ *β*. ‖ 3 καὶ γὰρ καὶ ἐν *H*. ‖ 5 συνίστανται (*A*)*H*. ‖ 6 αὐτῷ *Cβ*: ἐν τῷ (*A*)*H*. ‖ ληφθέντα om *β*. ‖ 8 καὶ δοξαστὰ *AH*. ‖ 10 κατηγορίαν om *H*. ‖ 11 *qui haec ipsa habent β*. ‖ 12 ὁρῶν τις (*A*)*H*. ‖ ἂν] *quidem β*. ‖ 13 τὸ αὐτὸ μέγεθος (*A*)*H*. ‖ 15 προτείνει *Aβ*. ‖ 17 μετὰ om *H*. ‖ 18 *iudicio magis scientifico* (h. e. ἐπιστημονικωτέρας) *β*. ‖ 20 γυμνάζοντι om *β*. ‖ 21 εἰς τὸ om *H*: ὡς τὸ (*A*)*β*. ‖ 23 ἀντικειμένων *Hβ*. ‖ κατασκευάζει *β*. ‖ τἀληθὲς *H*. ‖ 25 αἰτιῶν *H*. ‖ 26 ὅτι μιᾶς (om οὐ) *H*. ‖ 29 τὰ τῶν εἴδει (*A*)*H*. ‖ 31 ἄρ' (*A*)*H* ἄρα *C*. ‖ 32 ἐν $\overline{\beta}^{\omega}$ *H* ἐν $\overline{\beta}$ *AC*. ‖ αἴτια τὰ] αἴτια libri. ‖ τῷ *Cβ* τῶν (*A*)*H*. ‖ 34 τὰ αἴτια οὐκ . . . ἐπιστήμην om *β*. ‖ ἔχοι *BH*. ‖ 35 οὐ γὰρ ἡ τῶν *H*. ‖ 36 τῶν οὐκ ἐν. οὐ μία om *H*. ‖ 37 τὸ ὑπὸ *H*. ‖ *uerum nec interdum nec semper β*. ‖ 38 phys. II 7 p. 198 a24.

τρέχει ποτὲ τῷ εἴδει καὶ τὸ τέλος εἰς τὸ ποιῶν καὶ τὸ ὁμοειδές.
996a 21. "ἔτι.... φύσιν" ὁ συλλογισμὸς τοιοῦτος· αἱ πρῶαι καὶ κάλλισται
τῶν ἐπιστημῶν περὶ τὰ ἀκίνητα ἔχουσιν· αἱ περὶ τὰ ἀκίνητα
ἔχουσαι πάντα τὰ αἴτια οὐ γιγνώσκουσιν, ἐπεὶ μηδ' ἔστιν ἐν τοῖς
ἀκινήτοις ποιητικὸν ἢ τελικὸν αἴτιον· αἱ πρῶαι καὶ κάλλισται τῶν
ἐπιστημῶν οὐ πάντα τὰ αἴτια γιγνώσκουσιν. ἐν τούτοις πάλιν ἡ
μείζων ψευδής· ἔσωσαν μὲν γὰρ αἱ θεωρητικαὶ τῶν ἐπιστημῶν αἱ
πρῶαι καὶ κάλλισται, τούτων δὲ αὐτῶν ἡ μὲν φυσικὴ κινούμενα
ἔχουσα μὴ προτατταέτω, αἱ δὲ μαθηματικώτεραι καὶ ἡ πρώτη
φιλοσοφία καλλίστας αὐτῆς ἔσωσαν· ἀλλὰ διὰ τί μὴ πάντα θεω-
ροῦσι τὰ τῶν ἐπιστητῶν αἴτια; ὅτι, φαῖεν ἄν, οὐδ' ἔχει τὰ ἀκί-
νητα ποιητικὸν αἴτιον ἢ τελικόν. ἀλλὰ μάλιστα μὲν ἔχει, εἴ γε
ἐξ ἀρχῆς καὶ ταῦτα, καὶ μὴ ἐκ τοῦ αὐτομάτου παρῆλθεν εἰς τὰ
ὄντα· πᾶν γὰρ τὸ ὅπως ποτὲ ὂν ἢ ἀρχὴ ἢ ἐξ ἀρχῆς· πλῆθος δὲ
ἀρχὴ εἶναι οὐ δύναται· ὥστε ἔχοι ἂν καὶ ποιητικὴν αἰτίαν καὶ τελικήν·
τοῦ γὰρ ἀγαθοῦ χάριν καὶ ἔστι τὰ ἀκίνητα καὶ γιγνώσκει καὶ γιγνώ-
σκεται. ἔπειτα δὲ ἕτερον ἦν τὸ ἐξ ἀρχῆς προκείμενον· οὐ γὰρ εἰ
ἐκλείποντος αἰτίου δυνατὸν ἐπιστήμην τοῦ πράγματος γενέσθαι, πρόκει-
το σκοπεῖν, ἀλλ' εἰ ὄντων αἰτίων διαφόρων μὴ μία ἐπιστήμη,
πολλαὶ δὲ ταὐτὰ ἐπισκέψονται· ὃ νῦν οὐ κατεσκευάσαμεν. μᾶλλον
ὁ' ἄν τις εἰς τὸ ἀντικείμενον ἐκ τούτων ὁρμηθεὶς ἐπιχειρήσειεν·
εἰ γὰρ πᾶσαι αἱ περὶ τὰ ἀκίνητα διατρίβουσαι πάντα τὰ ὑπάρ-
χοντα τοῖς ὑποκειμένοις αἴτια γιγνώσκουσι καὶ οὐδὲν τῶν ὑπαρ-
χόντων αὐτοῖς παρορῶσι, καὶ ἡ σοφία πάντα ἂν γινώσκοι τὰ
τοῦ ὄντος ἢ ὂν αἴτια. ἑξῆς δὲ ὁ λόγος κατασκευάζειν μὲν ἐπι-
χειρεῖ ὅτι τελικὴν αἰτίαν οὐκ ἔχει τὰ μαθήματα· ψεῦδος δὲ
λαμβάνει ὅτι τὸ οὗ ἕνεκα πράξεώς τινός ἐστι τέλος· οὐ γὰρ μόνων
τῶν πράξεών ἐστι τὰ τέλη, ἀλλὰ πολλῷ πλέον τῶν θεωριῶν·
τοῦ γὰρ ἀγαθοῦ χάριν καὶ τῆς πρὸς τὸ θεῖον ἐξομοιώσεως καὶ τῆς
ἀληθινῆς ἡμῶν σωτηρίας θεωρεῖν ἐφιέμεθα, τῶν δὲ πράξεων
τὸ τέλος καὶ μερικὸν καὶ οὐδὲ κυρίως τέλος. εἰ δὲ οἱ γεωμέτραι
μὴ χρῶνται τῇ τοῦ τέλους ἀποδόσει, δεικνύντες τὰ καθ' αὑτὰ
τοῖς σχήμασιν ὑπάρχοντα, θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ τὸ ὑποκεί-
μενον αὐτοῖς ἐπισκέπτονται, εἴτε ἔστι εἴτε μή, οὔτε τὸ τέλος πολυ-
πραγμονοῦσιν οὔτ' ἄλλο οὐδὲν πλὴν τῶν καθ' αὑτὰ ὑπαρχόντων
τοῖς σχήμασι καὶ τοῖς μεγέθεσι, καὶ διὰ τοῦτο οὐκ ἐπιστήμονες ἂν
εἶεν· ὧν γὰρ ἀρχή, φησίν, ὃ μὴ οἶδε, τελευτὴ δὲ καὶ μεταξὺ ἐξ
ὧν οὐκ οἶδε, τίς μηχανὴ τὴν τοιαύτην ὁμολογίαν ποτὲ ἐπιστήμην
γενέσθαι; ἀλλ' ὅ γε πρῶτος φιλόσοφος καὶ διὰ τί ὁ κύκλος εἰς
ἑαυτὸν συννεύει, καὶ τί μιμεῖται τῶν ὄντων ὄντων, καὶ τί πρῶτον
τῶν σχημάτων, καὶ τίς ἡ ἐν αὐτοῖς τάξις καὶ πόθεν, οἷς πάντως
ἡ τἀγαθοῦ συνεισέρχεται αἰτία, πάντως ἐπισκέπτεται. γελοῖος δὲ
καὶ Ἀρίστιππος μαγειρικὴν μὲν οἰόμενος τέλους τινὸς ἕνεκα τοιόνδε
παρασκευάζειν ὄψον, τὰς δὲ μαθηματικὰς εἰς ἀληθῆ συμπερ-
άσματα ἐπιστημονικῶν προτάσεων καταντώσας ἀεὶ μὴ νοῦ
γεννήματα καὶ μιμήματα νομίζων δεικνύναι τὰ πράγματα περὶ
ἃ διατρίβουσιν· πόθεν γὰρ ἡ ἐν αὐτοῖς ἀλήθεια, πόθεν ἡ τάξις ἢ
τὸ ἄφραστον κάλλος συνεισέρχεται, πόθεν ἡ ἐξ αὐτῶν περιαγωγὸς
καὶ ἀναγωγὸς ὠφέλεια ταῖς ψυχαῖς, εἰ μὴ πολὺ πρότερον αὐτοῖς
ἀπὸ νοῦ πολὺ τὸ τῆς τἀγαθοῦ μοίρας ἐνδέδοτο; "ἀλλὰ.. ὑπάρ- 996b 1.
χειν." τὸ ἀντικείμενον κατασκευάζει, ὃ καὶ ἀληθές ἐστι, τὸ μίαν
ἐπιστήμην τὰς αἰτίας πάσας εἰδέναι τοῦ ἐπιστητοῦ, καὶ ἀρεστὸν
αὐτῷ. ἔστι δὲ ἡ μὲν τοῦ ὅλου δόγματος ἀπόδειξις σφόδρα καὶ
σύντομος καὶ σαφής· ἔνια δὲ τῶν διὰ μέσου δεῖται βραχείας
ἐξετάσεως. φησὶ δὲ ὅτι εἰ ἄλλη μὲν τὴν ποιητικὴν αἰτίαν εἰδείη,
ἄλλη δὲ τὴν τελικήν (ἐνδέχεται γὰρ τὸ πρᾶγμα πάσας ἔχειν),
πολλαί τε σοφίαι ἔσονται καὶ ἀμφισβητήσουσι περὶ πρωτείων καὶ
οὐδεμία κυρία τὸ ἀληθὲς αὐτῶν ἔσται σοφία. ἅπασαι γὰρ ἀτελεῖς
ἅτε τὴν τῶν αἰτίων γνῶσιν κατανειμάμεναι· γελοία μὲν γὰρ ἡ τὸ
ποιητικὸν αἴτιον εἰδέναι προσποιουμένη, ὅταν μήτε τί ἐστι τὸ
πρᾶγμα γινώσκῃ, μήτε ἐφ' ᾧ γέγονεν ἢ ἔστιν. ἀτελὴς δὲ καὶ
ἡ τὸ τί ἐστιν ἐπεσκέφθαι λέγουσα, ὅταν μήτε τὴν ἀρχὴν τῆς
κινήσεως ἐπίστηται, μήτε τὸ οὗ ἕνεκα γιγνώσκῃ· ἡ δὲ τὸ τέλος
μὲν ὡς οἴεται προειληφυῖα, μήτε δὲ οὗ τέλος ἐστὶ μήθ' ὅθεν ὑπέστη
τὸ πρᾶγμα γιγνώσκουσα, πῶς οὐκ εὐκαταφρόνητος; ὥστε οὐκ ἔστιν
ἡ ἐπιστήμη μία ἢ πάσας τὰς αἰτίας θεωρεῖ. ταῦτα μὲν ὅλην
περιέχει τῆς κατασκευῆς τὴν δύναμιν. ἐπιδράμωμεν δὲ τὸ
ῥητόν· "οἷον οἰκίας, ὅθεν μὲν ἡ κίνησις, ἡ τέχνη καὶ ὁ 996b
οἰκοδόμος, οὗ δ' ἕνεκα τὸ ἔργον ... λόγος." ταῦτα κα- 6.
τασκευαστικὰ τοῦ πάντα τὰ αἴτια ἐνίοις ὑπάρχειν. τὸ δ' οὗ ἕνεκα
καὶ τέλος τῆς οἰκίας τὸ ἔργον αὐτῆς εἶναί φησι, τουτέστι τὸ σκέπειν
ἡμᾶς καὶ φυλάττειν τὰ ἀναγκαῖα τῶν σκευῶν· τοῦτο γὰρ ἔργον

1 τὸ τέλος καὶ τὸ β. ‖ 3 ἔχουσι καὶ περὶ β. ‖ 4 μηδ' ἔστιν **H**: μηδ' ἐστὶν **B**. ‖ 7 μὲν γὰρ om **H**. ‖ 8 *naturalis circa mobilia se habens* β. scrib. φυσικὴ περὶ τὰ κιν. ἔχ. cf. l. 3. ‖ 11 ἐπιστημῶν **H** *sensibilium* β. ‖ ἔχει **H** ἔχοι **B** *habere* β. ‖ 12 εἴ γε καὶ ἐξ ἀρχῆς ταῦτα β. ‖ 14 ἢ ἀρχὴ ἐξ ἀρχῆς **H**. ‖ 17 εἰ om **H**. ‖ 20 ταὐτὰ **C**: ταύταις **H** αὗται **Aβ**. ‖ ἐπισκέπτονται (**A**)β. ‖ 25 τοῦ ὄντως· ἢ ὂν **H**. ‖ *Deinceps uero* β: ἑξῆς δὲ **H** ἐξ ἧς δὲ **B**. ‖ 27 τινος **CH**: om **Aβ**. ‖ μόνον β. ‖ 29 τῆς ante πρὸς om libri. ‖ 32 ἀποδόσει (**A**)**H**. ‖ 34 αὐτοῖς] ἑαυτοῖς **BH**. ‖ *finem, quoniam magnificiunt* β. ‖ 36 καὶ post σχήμασι interposuit Brandisius: ἢ β om **BH**. ‖ ἂν ἐπιστήμονες εἶεν **A**.

1 φησί cf. Ar. met. α 2 p. 994 a 11 sqq. ‖ ὃ μὴ οἶδα **H** *equidem noui* β. ‖ 2 scr. τὴν τοιαύτην ἀλογίαν. an ματαιολογίαν? ‖ ἐπιστήμη **H**. ‖ 3 ὅγε ὁ πρῶτος **H**. ‖ 5 τάξις, πόθεν αὐτοῖς β. fort. τάξις καὶ πόθεν αὐτοῖς, καὶ πῶς ἡ. ‖ 7 μεγαρικὴν (**A**) μαγειρικῆς **H**β. ‖ τέλος β. ‖ 9 ἀεὶ μὴν οὐ **H** ἃ εἰ μὴ νοῦ **A**. ‖ 10 γενήματα libri. ‖ 13 καὶ ἀναγωγὸς om **H**. ‖ τῆς ψυχῆς β. ‖ 14 fort. πολύ τι τῆς. ‖ ἐνδέδοτο sic **BH**. ‖ 15 τὸ μίαν . . . 16 ἐπιστητοῦ aut loco suo mota (poterant autem dici aut ante l. 15 ὃ aut post l. 17 αὐτῷ) aut insiticia sunt. ‖ 16 πάσας **CH** ἁπάσας **A**. ‖ 17 αὐτῶν **H**. ‖ *est autem ipsius demonstratio ualde et breuis* β. ‖ ἡ μὲν om **A**. ‖ 19 ὅτι **CH**: om **Aβ**. ‖ εἰδοίη (**A**)**H**. ‖ 21 περὶ τῶν πρωτείων **H** sed cf. p. 847 b 14. ‖ 23 *tanquam illae quibus* (h. e. ἅτε αἱ) β. ‖ γελοῖα μὲν γὰρ καὶ ἡ **H**. ‖ 30 ἡ ἐπιστήμη **CH**: ἡ om **A**. ‖ fort. scrib. ὥστε οὐκ ἔστιν ἡ ἐπιστήμη εἰ μὴ μία ἢ πάσας —. ‖ μία· ἢ **H**. ‖ 34 ἐνίοις ὑπάρχειν **H**: ἐνὶ ἐνυπάρχειν (*quod .... insint uni*) β ἐνυπάρχειν **B**. ‖ 35 σκέπτειν **A**.

9966 8. οἰκίας καὶ τούτου χάριν τὴν πρώτην ἐγένετο. "ἐκ... προσαγορεύειν." εἴρηται περὶ σοφίας ἐν τῷ μείζονι **A**, ὅτι ἡ ἀρχιτεκτονικωτέρα τῶν ἄλλων καὶ διδασκαλικωτέρα καὶ πλεῖσα εἰδυῖα καὶ ἀκριβέσατα. φησὶν οὖν ὅτι κοινοὶ τούτου τοὺς προδιορισμούς, εἰ μὴ μία τὰ αἴτια πάντα εἰδείη ἀλλ' ἑκάστη ἕν, ἀμφισβητήσουσιν ἀλλήλαις αἱ ἐπιστῆμαι· βελτίστη μὲν καὶ ἀρχικωτάτη ἡ τὲ τέλος καὶ τἀγαθὸν ἐπεσκεμμένη, ἀποδεικτικωτάτη δὲ καὶ ὁριστικωτάτη ἡ περὶ τὲ εἶδος ἀναστρεφομένη. ἐν δὲ ταῖς πράξεσι καὶ πᾶσι τοῖς κινουμένοις ἐὰν μὴ τὴν ἀρχὴν τῆς κινήσεως ἐγνωκώς τις ὑπάρχῃ, χεδὸν οὐδενὶ τοῦ πράγματος παρακολουθεῖ. τὴν δὲ ποιητικὴν αἰτίαν ἀντίθετον εἶναί φησι τῇ τελικῇ ὅτι ἡ μὲν ἀρχὴ κινήσεώς ἐστιν ἡ δὲ τέλος. προσεκτέον δὲ πάλιν τῷ ἰδιώματι τῆς φιλοσοφίας αὐτοῦ, ὅτι τῶν κινουμένων μόνων ἀρχὴν εἶναι ποιητικὴν ὑπείληφε, τῶν δὲ ἀκινήτων οὐκέτι. ἀλλὰ ταῦτα μὲν ἐκ πλειόνων ἀθροιζέον· ὅπως δὲ παρίστησι τὸ βασιλικὸν τῆς τὲ τέλος

9966 10. θεωρούσης ἐπιστήμης, ἀκούσωμεν αὐτοῦ λέγοντος· "ἢ μὲν.. τἆλλα." καθὸ μὲν οὖν ἡ σοφία τὸ ἀρχικὸν ἔχει καὶ δεσποτικὸν τῶν ἄλλων ἐπιστημῶν, οὐκ ἂν ἄλλη τις εἴη ἢ ἡ περὶ τοῦ τέλους, οὗ χάριν τἆλλα· καὶ οὖν αὐτὸ τὸ τέλος ἡγεμονικὴν ἀξίαν ἔχει πρὸς τὰ ἄλλα αἴτια· οὗ οὖν ἕνεκα πάντα γίγνεται, ἐκείνῳ δουλεύει τὰ πάντα καὶ ἐν κόσμῳ καὶ ἐν πολιτείᾳ καὶ ἐν στρατοπέδῳ καὶ ἐν οἴκῳ καὶ ἐν ἑκάστῳ ἡμῶν· τοῦ δὲ ἀγαθοῦ καὶ τοῦ τέλους ἕνεκα πάντα

9966 13. γίγνεται. "ἢ δὲ.. πέφυκεν." καθὸ δέ, φησίν, ἡ σοφία τῶν πρώτων αἰτίων ἐστὶ καὶ τοῦ δυναμένου μάλιστα γνωσθῆναι, ἡ τὲ εἶδος εἰδυῖα σοφία ἂν εἴη· πῶς μὲν οὖν ταῦτα ὑπάρχει τῇ τὲ εἶδος ἐπεσκεμμένῃ, προϊὼν εὐθὺς ἐρεῖ· τέως δὲ ὅτι πολλῶν εἰδότων τὰ πράγματα ἄμεινον οὗτος οἶδε, διὰ τῶν ἐγκειμένων δηλοῖ· εἰ γὰρ οἶδε μέν πως καὶ ὁ διὰ τῆς στερήσεως ἢ τῆς ἀποφάσεως εἰπεῖν τι περὶ τοῦ πράγματος δυνάμενος, οἷον ὁ εἰδὼς ὅτι τὸ σημεῖον ἀμερὲς καὶ τὸ θεῖον ἀθάνατον, μᾶλλον οἶδε τούτου ὁ διὰ καταφάσεως αὐτὸ γιγνώσκων καὶ τῶν ὑπαρχόντων αὐτῷ, οἷον ὅτι τὸ μέν ἐστι πέρας γραμμῆς, τὸ δὲ ἀεὶ ὂν αὔταρκες ἀγαθὸν τῶν ὄντων αἴτιον. ἔτι δὲ τούτου μᾶλλον ὁ μὴ τὴν ποιότητα τῶν πραγμάτων ἢ τὴν ποσότητα λέγειν ἔχων ἢ τὰς ἐνεργείας ἢ τὰς πείσεις (πάντα γὰρ ταῦτα μετὰ τὴν οὐσίαν καὶ δεύτερα τῆς οὐσίας), ἀλλ' ὁ περὶ τοῦ τί ἐστι τὸ ὑποκείμενον δυνάμενος ἀναδιδάξαι πάντων ἂν τῶν ἐπιστημόνων οὗτος εἴη τελεώτατος. πῶς δὲ καὶ περὶ τὰ πρῶτα αἴτια ἔχει, ἀκούσωμεν αὐτοῦ κατασκευάζοντος. "ἔτι δὲ.. ἄλλων." αἱ μὲν οὐσίαι δι' 9966 18.
ὁρισμῶν γνωρίζονται, διὸ ὁριστική ἐστιν ἡ πρώτη ἐπιστήμη. τὰ δὲ καθ' αὐτὰ ὑπάρχοντα δι' ἀποδείξεως ἐστι γνωστά· διὸ ἡ δευτέρα ἐπιστήμη ἀποδεικτικὴ ἐστιν. ἡ δὲ τὸ εἶδος ἐπεσκεμμένη πάντα ταῦτα εἰδυῖα καὶ ὁριστική ἐστι καὶ ἀποδεικτική· ὁριστικὴ μὲν αὐτόθεν, ἐπειδὴ τοῦτο ἦν τὸ εἰδέναι τὴν οὐσίαν τοῦ πράγματος, ἀποδεικτικὴ δὲ ὅτι ἐν ταῖς ἀποδόσεσι τῶν αἰτίων οὐ πρότερον παύεταί τις ἀποδεικνύς, πρὶν ἂν εἰς τὸ τί ἐστι καταντήσῃ· οὐ γὰρ ἱκανὸν εἰπεῖν ὅτι διακρίνει μὲν ἡμᾶς τὸ πῦρ, συγκρίνει δ' ἡ χιών, εἰ τύχοι, ἀλλὰ διὰ τί τούτων ἑκάτερον; ὅτι τὸ μὲν, φησί, θερμὸν τὸ δὲ ψυχρόν. διὰ τί δὲ τούτων ἑκάτερον; ἐὰν μὴ εἰς τοὺς ὅρους αὐτῶν καταντήσωμεν καὶ δείξωμεν ὅτι τοῦτ' ἔζιν ἑκατέρῳ αὐτῶν τῷ τε πυρὶ καὶ τῇ χιόνι τὸ εἶναι, οὐκ ἐσμεν ἀποδεικτικοί. ὥζε μόνου τοῦ τὸ εἶδος ἐγνωκότος ἐζὶν ἀποδεικνύναι. καὶ αὕτη ἐζὶν ἡ πρώτη αἰτία ἡ ἐκ τοῦ ὁρισμοῦ λαμβανομένη, πρώτη δὲ οὐ κοινὴν τὴν ἀπόδοσιν (ὑζάτη γὰρ εἰ τύχοι κοινὴ ταύτην), ἀλλὰ τῇ φύσει πρώτη. εἰς ἣν καταντήσας ὁ ἀποδεικτικὸς ἀναπαύεται· οἷον διὰ τί ὁ πολιτικὸς μουσικὴν εἶναι θέλει καὶ γυμναζικὴν ἐν τῇ πόλει; ἵνα παιδεύσῃ τοὺς πολίτας. διὰ τί παιδεύει; ἵνα ἐπιστήμονας ποιήσῃ. διὰ τί δὲ τοῦτο; ὅτι δεκτικοί εἰσιν ἐπιστήμης· πῶς δὲ τοῦτο; ὅτι λογικοί· διὰ τί δὲ λογικοί; ὅτι τοῦτό ἐζιν αὐτοῖς τὸ ἀνθρώποις εἶναι. ὁρᾷς ὅτι ἐκ τῶν πρώτων αἰτιῶν οὗτος ἐπίζαται καὶ ἔζιν ἡ ἀρίζη αἰτία τῆς ἀποδείξεως ὁ τοῦ πράγματος ὁρισμός. διὰ τί ἐκλείπει τὸ φῶς; ὅτι ἀντιφράττεται τὸ φῶς ὑπὸ τῆς γῆς. ἔχεις οὖν τὸν ὁρισμὸν τῆς σελληνιακῆς ἐκλείψεως· ἔζι γὰρ ἔκλειψις σελήνης φωτὸς τοῦ ἐν αὐτῇ στέρησις διὰ τὴν τῆς γῆς ἀντίφραξιν· ἧς ἐὰν ποιήσῃς ἀπόδειξιν, τὴν θέσιν τῶν ὅρων ἀμείβεις μόνον, ὡς ἐν τοῖς Ἀποδεικτικοῖς αὐτὸς ἡμᾶς ἐδίδαξε. καὶ τετραγωνίσαι παραλληλόγραμμον ὀρθογώνιον οὐδὲν ἦν ἄλλο ἢ τῆς μέσης εὕρεσις· ἂν γὰρ ἡ τὸ μῆκος εἰ τύχοι $\overline{\theta}$, τὸ δὲ πλάτος $\overline{\delta}$, ἔζαι μὲν τὸ ἐμβαδὸν $\overline{\lambda\varsigma}$. εὑρὼν δὲ τὴν μέσην ἀνάλογον τῶν $\overline{\theta}$ καὶ $\overline{\delta}$ τὴν $\overline{\varsigma}$, ἀπ' αὐτῆς ἀναγράφεις τετράγωνον ἴσον τῷ παραλληλογράμμῳ. ἀλλ' εἴτε τὸ τί ἐστι τετραγωνίζειν λέγοις, οὐκ ἄλλο τι ἐρεῖς ἢ τὸ μέσην ἀνάλογον εὑρεῖν, εἴτε δεικνύοις ὅτι τετετραγώνισαι, ἐπὶ ταύτην καὶ οὐκ ἄλλην τὴν πρωτίζην αἰτίαν καταντήσεις. οὕτως ἡ τὸ εἶδος ἐπιζαμένη μόνη καὶ ὁρίζεται καὶ ἐν τοῖς ἄλλοις, τουτέζι

2 εἴρητο *C*: εἴρηται ***AHβ***. ‖ met. A 1. 2. ‖ 4 προσδιορισμούς libri sed cf. Arist. ἐκ.. τῶν πάλαι διωρισμένων. ‖ 11 φησὶ ἡ τελικὴ· ***H***. ‖ 13 μόνον (*A*)*β*. ‖ 19 τἆλλα (*A*)***H***. ‖ ἡγεμονικὸν ***H***. ‖ τἆλλα ***H***. ‖ 21 *domo et in β*: καὶ ante ἐν ἐκ. om ***BH***. ‖ 25 εἰδυῖα μάλιστα σοφία *β*. ‖ 29 ὁ εἰδὼς om ***H***. ‖ 31 fort. καὶ διὰ τῶν. ‖ 34 τῆς ἐνεργείας ***H***. ‖ 35 πεύσεις (*A*)***H***.

3 *cognoscuntur*: *ideo definitiua β*: γνωρίζονται διοριστική ***ACH***. ‖ 4 εἰσὶ γνωστὰ ***AH***. ‖ 9 εἰπεῖν ἡμᾶς ὅτι διακρ. μὲν τὸ πῦρ coniciebat Brandisius. sed latet in ἡμᾶς uitium, fort. scr. ἵνας. ‖ 10 *congregat uero .. nix β*: συγκρίνει ἡ χιών ***ACH***. ‖ 11 ὅτι τὸ μὲν .... 12 ἑκάτερον om ***Aβ***. ‖ 11 μὲν φησὶ *C* μὲν φησὶ sic ***H***: fort. μὲν φύσει. ‖ 13 τῷ πυρὶ (*A*)***H***. ‖ 14 *non erimus β*. ‖ μόνον (*A*)*β*. ‖ τοῦ τὸ εἶδος ***Hβ*** τοῦτο τὸ εἶδος ***AC***. ‖ 16 λαμβανομένη ἡ πρώτη ***BH***. articulum expunxi. ‖ ὑζάτην (*A*)***H***. ‖ 17 *natura prima β* τῇ φυσικῇ πρώτῃ ***BH***. ‖ 18 ὁ ante ἀποδεικτ. om ***H***. ‖ 21 δεκτικοὶ *C*: δρακτικοὶ ***H*** et sic (*apti ad apprehendendam sicientiam*) *β* δραζικοὶ ***A***. ‖ ἐπιστήμης (*β*?): ἐπιστήμην ***H*** ἐπιστήμονες ***B***. ‖ 23 αἰτίων ***H***. ‖ ἀρίζη] scrib. πρωτίστη (h. e. ἀίζη) cl. infra l. 36. ‖ 24 ὁρισμός ***H***: διορισμός ***B***. ‖ sqq. ex Alexandro p. 141, 9 Bon. dilatata sunt. ‖ 25 τὸ φῶς neglexit *β*. ‖ 26 σελληνικῆς ***H***. ‖ 27 ἧς ***H*** *de qua β*: οἷς ***AC***. ‖ 29 anal. post. II 10 p. 94 a 2. ‖ 30 οὐδὲ ἦν ***H***. ‖ 32 *proportionalem ipsis* (τοῖς pro τῶν?) *β*. ‖ τὴν $\overline{\varsigma}$] *et b β*. ‖ 33 τετράγωνον *C*: $\square$ ***H*** $\square$ ***A***. ‖ ἴσον ***CHβ***: ἴσων (*A*). ‖ τῶν παραλληλογράμμων (*A*)***H*** *aequidistantium linearum β*. ‖ 34 *dicas β*: λέγεις ***ACH***. ‖ ἄλλό τι ***H*** antiquo usu. ‖ 35 τὸ μέσον ***BHβ***. ‖ τετραγώνισαι ***BH***.

9966b 22. τοῖς καθ' αὑτὰ ὑπάρχουσι μόνη ἀποδείκνυσι. "περὶ .. τῷ τέλει." ἀναγκαιοτάτη διὰ τοῦτο ἡ τῆς ποιητικῆς αἰτίας γνῶσις ἐν τοῖς πρακτοῖς καὶ ὅλως τοῖς κινητοῖς ἀποδείκνυται· ὁ γὰρ τὴν ἀρχὴν ἀγνοῶν τὴν κινήσασαν οὐδ' ἂν τὸ εἶδος οὐδ' ἂν τὸ τέλος εἰδείη τοῦ πράγματος. ἀμέλει πολλάκις ἤρκεσεν ἡμῖν γνῶναι ὅτι Σωκράτους πρᾶξις ἢ Πυθαγόρου πρὸς τὸ πειθῆναι ὅτι καλὴ καὶ

9966b 24. ἔμφρων καὶ λυσιτελής. "ὥςε ἄλλης ἂν .. ἕκαςον." ἐὰν οὕτω γράφῃ, ὡς εἰς ἄτοπον ἀπάγοντος αὐτοῦ τὸν λόγον ἀκουσόμεθα, ὡς εἰ ἔλεγεν, ὥςε ἄλλης καὶ ἄλλης δόξειεν ἂν εἶναι σοφίας ἕκαςον εἰδέναι τῶν αἰτίων· ὃ ταὐτὸν τῷ, ὥςε πολλαὶ σοφίαι, εἰ μὴ μία τὰ πάντα αἴτια γινώσκει. ἐὰν δὲ "οὐκ ἄλλης," ὡς ἐγκρίνει μᾶλλον Ἀλέξανδρος, ὡς ἀπὸ κοινοῦ ἀκουσόμεθα κατ' εὐθεῖαν αὐτοῦ συλλογιζομένου, ὡς εἰ ἔλεγεν, ὥςε ἐπειδὴ ἡ τὸ αἴτιον εἰδυῖα σοφία, οὐκ ἄλλης καὶ ἄλλης ἐπιςήμης ἐςὶ τὸ θεωρεῖν

9966b 26. τὰ αἴτια, ἀλλὰ μιᾶς. "ἀλλὰ .. ἀμφισβητήσιμόν ἐςιν." ἀπορήσας περὶ τῶν αἰτίων τοῦ ὄντος, εἰ μιᾶς ἐςιν ἐπιςήμης ἡ πάντων αὐτῶν γνῶσις ἢ ἑτέρας καὶ ἑτέρας, νυνὶ κτᾷ τὴν ἔκθεσιν τῶν προβλημάτων τέως προϊὼν ζητεῖ δεύτερον, εἰ τῆς αὐτῆς καὶ τὰς ἀρχὰς τοῦ ὄντος καὶ τὰς τῶν ἀποδείξεων ἀρχὰς ἐπίςαται, ἢ ἄλλης μὲ ταύτας ἄλλης δ' ἐκείνας· καὶ ἐπιχειρήσει εἰς ἑκάτερον. ἡμεῖς δὲ ὅτι μὲ τῆς αὐτῆς, προείπομεν, τοῖς δὲ τὸ ἀντικείμενον κατασκευάζουσι λόγοις νυνὶ προσφέρειν τὸν ἔλεγχον

9966 27. πειρασόμεθα κτᾷ τὴν ἀπ' ἀρχῆς προαίρεσιν. "λέγω .. νῦν." ἐν τούτοις καὶ ἐξηγεῖται, τίνες εἰσὶν αἱ ἀποδεικτικαὶ ἀρχαί, καὶ τὸ πρόβλημα σαφέςερον ὁρίζει καὶ ὑποδιαιρεῖ θάτερον τῶν ἀντιδιῃρημένων ὡς ἄλλο φανῆναι πρόβλημα κτᾷ τὴν ὑποδιαίρεσιν. ἀποδεικτικὰς μὲ ὧν ἀρχὰς τὰς κοινὰς ἐννοίας ἀποφαίνεται εἶναι ὅτι γε καθὸ διατιθέασιν ἡμᾶς ἢ ἐπὶ πράξεις κινοῦσι (πάντα γὰρ τοῦ τέλους ἑαυτῶν ἐφίεται κατά τινα κοινὴν ἔννοιαν, ὃ δὴ καὶ ἀτυχοῦντες ἄνθρωποι καὶ δι' ἑαυτῶν κρατῆσαι μὴ δυνάμενοι καταφεύγουσιν ἐπὶ τὸ θεῖον), ὑφ' ὧν κινούμενοι καὶ, ὡς αὐτὸς λέγει, τοῦ εἰδέναι ὀρέγονται φύσει· ταύτῃ μὲ ὧν οὐκ ἂν εἶεν ἀποδεικτικὴ ἀρχαί, ἀλλὰ καθ' ὅσον εἰς τὰς ἀποδείξεις αὐταῖς χρώμεθα, προσαγορεύοντες μὲ ἀξιώματα διὰ τὸ παρὰ πᾶσιν οὕτως ὑπειλῆφθαι, γνῶσιν δὲ τῶν ἀποδεικνυμένων ἐναργεςέραν αὐτῶν ἔχοντες· ὧν μία ἐςὶ καὶ ἡ περὶ τῆς ἀντιφάσεως· δύο δὲ παρὰ τοῖς πρεσβυτέροις ἀξιουμένων περὶ αὐτῆς, ἑνὸς μὲ τοῦ ὅτι αὐτὴν οὐδὲν διαφεύγει, ἀλλὰ πᾶν ἀνάγκη ἢ καταφατικῶς δηλοῦται ἢ ἀποφατικῶς, ὡς ἐπὶ μηδενὸς ἀποτυγχάνειν ἀμφοτέρας τὰς προτάσεις ἀλλ' εἶναι ἀληθῆ τὴν ἑτέραν, ἑτέρου δὲ τοῦ ὅτι ἀδύνατον ἅμα αὐτὰς ἀληθεύειν, χρῆται μὲ αὐτὸς νῦν ἀμφοτέροις. ἡμεῖς δὲ τοσοῦτον ἐπισημαινόμεθα ὅτι τὸ μὲ δεύτερον καὶ ἁπλῶς ἀληθές, τὸ δὲ πρότερον μετὰ προσδιορισμοῦ — ἐπὶ γὰρ τῶν ὄντων καὶ ἐπιςήμη ληπτῶν ἅπαν ἀνάγκη φάναι ἢ ἀποφάναι —· ἐπεὶ ἐάν τι ὑπερθέσιον ᾖ καὶ μήτε ὄνομα ἔχῃ μήτε ἐπιςήμην, μήθ' ὅλως ῥητὸν ᾖ, πῶς ἀνάγκη τοῦτο τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν δέχεσθαι ἐφ' ὅ πᾶς λόγος ψευδής; ἀλλὰ ταῦτα μὲ ἑτέρας ἂν εἴη χολῆς βαθύτερον ἐρευνᾶν· καὶ γὰρ ἄλλας ἐνςάσεις ἔχει παρὰ τοῖς μὴ ἀνοήτως αὐτῷ χρωμένοις τοῦτο τὸ ἀξίωμα.

9966b 30. νυνὶ δὲ εἰπόντος τοῦ Ἀριςοτέλους "καὶ ὅσαι ἄλλαι τοιαῦται προτάσεις", ὑποβαλοῦμεν τῷ λόγῳ τήνδε λέγουσαν "πᾶν τὸ ἐφετὸν ἀγαθόν", καὶ τὴν "μηδὲν μάτην ποιεῖν τὴν φύσιν μηδὲ πολλῷ πλέον τὸν θεόν", "μηδεμίαν οὐσίαν ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι μηδὲ εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν ἀπόλλυσθαι", "πᾶν τὸ κινούμενον περί τι ἕςως κινεῖσθαι"· ἔτι δὲ τά τε τῶν γεωμετρῶν καὶ τὰ τῶν ἀριθμητικῶν καὶ τὰ τῶν ἄλλων ἐπιςημῶν ἀξιώματα, περὶ ὧν ἁπάντων οὐχ ἕτερός τις ἀλλ' ὁ τὰ αἴτια εἰδὼς ἐπισκέπτεται. εἰ γὰρ ἕτερος, τοῦτο δὴ τὸ τοῦ Ἀριςοτέλους, ἀνάγκη λοιπὸν ἀπορεῖν, πότερος αὐτῶν ἐςιν ὁ νῦν ζητούμενος σοφός.

9966b 33. "μιᾶς .. περὶ αὐτῶν". ἄρχεται κατασκευάζειν τὸ ἕτερον τῶν ἀντικειμένων, ὅτι οὐχ ἡ αὐτὴ τὰς οὐσίας εἴσεται καὶ τὰ ἀξιώματα, ὅπερ ἐςὶ ψεῦδος. ἴδωμεν οὖν πῇ παρακρούεται ἡμᾶς ὁ συλλογισμός· εἰ γὰρ ὁμοίως, φησίν, ἔχουσι πᾶσαι περὶ τὰς ἀποδεικτικὰς ἀρχάς, αἱ δὲ ἄλλαι αὐτὰς οὐκ ἴσασιν, οὐδ' ἡ περὶ τὸ ὂν διατρίβουσα ταύτας γνώσεται. ὑγιὲς μὲ τὸ συνημμένον, ἴδωμεν δὲ τὴν πρόσληψιν. "ἀλλὰ μὴν ὁμοίως ἔχουσι πᾶσαι περὶ αὐτάς" ** καὶ ἀποδεικτικὰς ἀρχὰς αἴτιον πιςεύουσαι μόνον αὐταῖς, καὶ ἡ προσεχῶς μὲ ἀπὸ τοῦ ταύτας ὑποδεξαμένη σοφία, κρειττόνως δὲ ἢ κτᾷ ἀπόδειξιν ὑψόθεν αὐτὰς θεωμένη, τό τε ἀληθὲς αὐτῶν ἅμα καὶ τὴν τάξιν καὶ τὴν ἀπὸ τοῦ πρόσθεν ἐπισκεπτομένη. καὶ ταῦτα λέγω περὶ τῶν καθάπαξ ἀξιωμάτων, ἐπεὶ ὅταν ὡς μὲ πρὸς τήνδε τὴν τέχνην ἀξιώματα ᾖ, ἁπλῶς δὲ μὴ πρῶτα τὴν φύσιν ὑπάρχῃ, καὶ ἀποδείξει αὐτὰ ὁ τῆς οὐσίας ἐπιςήμων, καίπερ ἀναπόδεικτα ὄντα τῷ μερικῷ τεχνίτῃ· ἀμέλει καὶ τὰς γεωμετρικὰς ἀρχὰς ἐκεῖνος ἀποδείκνυσιν. πῶς οὖν ὁμοίως τοῖς ἄλλοις ἔχει περὶ αὐτάς, ἢ πῶς τοῦτο μὴ συγχωρουμένου προβαίη

1 μόνον *Aβ* μὸ *H*. ‖ 2 corrigendum necessario διὰ τούτων. ‖ γνῶσις καὶ τῆς *H*. ‖ 3 πρακτικοῖς (*A*) πρακτικῆς *H*. ‖ 5 γνῶναι om *AHβ*. ‖ 8 αὐτὸν τὸν *β*. ‖ ὡς ἔλεγεν (om εἰ) *H*. ‖ 9 ἂν δόξειεν εἶναι *H*. ‖ 10 εἰ] *et β*. ‖ 12 Ἀλέξ. p. 142, 10. ‖ ἀκουσόμεθα *AH*. ‖ 14 ἐςὶ τῷ (*A*). ‖ 15 τὰ αἴτια] *causam β*. ‖ 18 ζητεῖ *β* εἰ *A*. ‖ 22 προσφέρει *H*. ‖ 23 πειρασόμεθα *H*. ‖ ἀπ' ἀρχῆς *C*: αὐτῆς *AHβ*. ‖ 26 *per diuisionem β*. ‖ 28 *non scilicet β* ὅτι (an ὄντι?) γε *H* ὄντι γε *AC*. ‖ 31 ante ὑφ' ὧν aliquid uidetur intercidisse. ‖ αὐτὸς Arist. metaph. I 1. ‖ 32 ταύτῃ *C*: ταῦτα *H* αὗται *Aβ*. ‖ 35 ἀπειλῆφθαι (*A*)*H* *assumptae sunt β*. ‖ 38 διαφεύγειν *H*. ‖ ἀνάγκη ἢ] ἀνάγκη *ACβ* ἀναγει *H*.

3 αὐταῖς (*A*)*H*. ‖ 5 προδιορισμῷ *H*. ‖ 7 ἢ καὶ *H*: καὶ (om ᾖ) *B*. ‖ 10 ἂν εἴη om *H*. ‖ 13 τὴν λέγουσαν *H*. ‖ 14 μηδὲ μάτην *H*. ‖ ποιεῖ *H*. ‖ 17 ἕςως *CH*: ἐςὸς (*A*). ‖ 21 πρότερος *H*. ‖ 24 ὅπερ ἐςι *H* ut semper. ‖ 25 ἔχουσαι (*A*)*H*. ‖ πᾶσαι om *β*. ‖ 27 γνώσεται *CH*: δόξειεν ἂν εἰδέναι *Aβ*. ‖ 28 *assumptum β* πρόληψιν *A*. ‖ *circa ipsum β*. ‖ inter αὐτὰς et καὶ spatium circiter XV litterarum uacuum reliquit *C*, continuant *AHβ*. ‖ 29 αἴτιον *CH*: om *Aβ*. fort. αἵ τε. ‖ 30 *proxime quidem β*: προσεχῶς μὴ *BH*. ‖ ταύταις *H*. ‖ κρειττόνων (*A*)*H*. ‖ 32 ἅμα om *β*. ‖ 34 ᾖ] *sunt β* ἦν *BH*. ‖ 36 ὄντα om *H*.

ποτ' ἂν ὁ παραλογισμός, ἐφ' ὃν σπεύδει τὸ συμπέρασμα;
997a 2. "ἅμα δὲ.. ἀξιώμασιν". πρότερον μὲν ὁ λόγος κατασκευάζειν ἐπεχείρησεν ὅτι ὐδεμία ἐπιστήμη τὰς ἀποδεικτικὰς οἶδεν ἀρχάς, νῦν δὲ ὅτι ὐδὲ ἐπισταί εἰσιν. ἴδωμεν δὴ πῇ καὶ ὅτος ὁ συλλογισμὸς πειρᾶται σοφίζεσθαι. ὅκ εἰσι, φησίν, αἱ τῶν ἀποδείξεων ἀρχαὶ γνωσαί, εἰ μὴ καθὸ γινώσκομεν ὅ τί ποτε δηλοῦσιν· τοῦτο δὲ ὐ ποιεῖ περὶ αὐτῶν ἐπιστήμην· εἰ δέ εἰσιν ἐπισταί, καὶ ἀποδεικταί εἰσιν, εἰ δὲ ἀποδεικταί, καὶ ἐν ἔχουσιν ὑποκείμενον, ὥσπερ οἱ ἀριθμοὶ ἀποδεικτοὶ ὄντες ἓν ἔχουσιν ὑποκείμενον, ὅ τὰ μὲν πάθη, οἷον ἄρτιον περιττὸν καὶ αἱ τούτων συμπλοκαὶ πολλαπλασιασμοὶ διαιρέσεις, ἃ καὶ ἀποδεικτά ἐστι παρὰ τοῖς ἀριθμητικοῖς, τὰ δ' ἀξιώματα ὡς οἱ τούτων ὁρισμοί· ὐ γὰρ οἷόν τε περὶ πάντων ἀπόδειξιν εἶναι, ὡς δέδεικται ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς. εἰ δὲ ταῦτα κρατοίη, πᾶσαι ἀποδεικτικὴ περὶ τὸ ὑποκείμενον τὸ ἓν χήσουσι τῶν ἀξιωμάτων, ὅπερ ἄτοπον· ὥσπερ γὰρ ἡ ἀριθμητικὴ περὶ πάντας τοὺς ἀριθμοὺς καὶ ἡ γεωμετρία περὶ πάντα τὰ χήματα, οὕτως ἑκάστη τῶν ἀποδεικτικῶν περὶ παῦ τὸ ὑποκείμενον τῶν ἀξιωμάτων. ἔλαβεν δὴ ἐκ μὲν τοῦ εἰ ἐπιστητά, ὅτι καὶ ἀποδεικτά, ὅπερ ἐστὶ ψεῦδος· ἐκ δὲ τοῦ εἰ ἀποδεικτά, ὅτι ἔχουσι πάντως ὑποκείμενον, ὃ καὶ αὐτὸ ψεῦδος· ἄλλως γὰρ τὰ πράγματα λέγεται ἀποδεικτὰ καὶ ἄλλως οἱ λόγοι καὶ αἱ προτάσεις· εἰ δὲ ὑποκείμενον χήσει τὰ ἀξιώματα, πάθη περὶ αὐτὰ καὶ ἀξιώματα φανεῖται, ὥστε ἔσται καὶ τῶν ἀξιωμάτων ἀξιώματα· τοῦτο δὲ τὸ ἄποπον αὐτὸς μὲν ὐ τίθησιν, ἕπεται δὲ πάντως τοῖς εἰλημμένοις· καὶ τὸ τούτῳ ἀκόλουθον τὸ τὰ ἀξιώματα, εἰ ἤρτηται ἄλλων ἀξιωμάτων, μὴ εἶναι ἀξιώματα, μετὰ τοῦ καὶ ἐπ' ἄπειρον ὁδεύειν ἡμᾶς μὴ κωλύεσθαι· πάλιν γὰρ ταῦτα τὰ ἀξιώματα, ὥστε καὶ ταῦτα, δεῖται ἄλλων ἀξιωμάτων, καὶ τοῦτο ἐπ' ἄπειρον. τί δὴ θαυμαστόν, εἰ τῶν οὕτως ἀτόπων συγχωρουμένων πᾶσαι αἱ ἐπιστῆμαι περὶ ἓν διατρίψουσιν ὑποκείμενον τὸ τῶν ἀξιωμάτων; ἀλλ' ὅτι μὲν ὅτε ἀποδεικτὰ τὰ κυρίως ἀξιώματα, καὶ εἰ ἐπιστητά, κατὰ τὴν πρώτην ἐστὶν ἐπιστήμην τὴν περὶ τὰς ἀμέσους προτάσεις διατρίβουσαν, αἷ τῷ ὅ τι τὸ διότι συνειλημμένον ἔχουσιν, ἅτε προσεχῶς ἀπὸ νοῦ προελθοῦσαι καὶ νῦν ἀνελίττουσαι καὶ διαιροῦσαι καὶ διεξοδεύουσαι· ὅτε εἰ ἦν ἀποδεικτά, ἓν ἂν ἔχεν ὑποκείμενον, κατάτακτά γε ὄντα καὶ μετεωροποροῦντα. καὶ λοιπὸν δὲ ὅπως τἀληθὲς παρ' αὐτῷ κατεσκεύασται, θεασώμεθα.

"ἀλλὰ .. ψεῦδος". εἰ μὴ ὁ αὐτὸς τὰς τῶν πραγμάτων 997a 11.
ἀρχὰς οἶδε καὶ τὰς τῶν ἀποδείξεων, ἀλλ' ἕτερος καὶ ἕτερος, ἀτελὴς μὲν αὐτῶν ἑκάτερος ἔσται, ὁ μὲν ὐκ εἰδὼς ἀποδεῖξαι, ὁ δὲ διακένους πλέκων συλλογισμούς, ἅτε τῶν πραγμάτων τὴν φύσιν ἀγνοῶν. ἀμφισβητήσουσι δὲ περὶ τῶν πρωτείων· μέγα γὰρ καὶ τὸ τὰς ἀποδεικτικὰς ἀρχὰς ἐπεσκεμμένον τὰς πάντων περιληπτικωτάτας ἀξίωμα. τίνα τε δεῖ καλεῖν, εἰ μὴ ὁ αὐτός ἐστι τῷ σοφῷ, καὶ τέλεον ἀπορήσομεν. ὅτι μὲν ὃν τῇ αὐτῇ μεθόδῳ κατεσκεύασε τῶν τε αἰτίων πάντων τοῦ ὄντος ἐπιστήμονα εἶναι τὸν σοφὸν ἕνα ὄντα καὶ ὅτι τῶν ἀποδεικτικῶν ἀρχῶν, ὁ μεμνημένος ἐκείνων εἴσεται, ὅτι δὲ δι' ἐλαχίστων ἱκανῶς αὐτῷ δέδεικται τἀληθές, ἔξεστι συνορᾶν· εἰ γὰρ ἡ διαίρεσις τῶν γνώσεων ἀτελεῖς μὲν ἀμφοτέρας ποιεῖ τὰς ἐπιστήμας καὶ γελοίας καὶ ἃ προσποιοῦνται εἰδέναι ὐκ εἰδυίας, ἔτι δὲ χασιάζειν περὶ πρωτείων, τὴν δὲ ἑτέραν αὐτῶν τὴν πειρωμένην πάντα περιλαμβάνειν ταῖς οἰκείαις ἐπιβολαῖς μικρῷ καὶ ἀνώνυμον ἀποφαίνει, πῶς ὐκ ἀσφαλέστατα ἡ ἕνωσις τῶν ἐπιστημῶν κεκύρωται; καὶ εἰ τὰς ἀρχὰς τῶν ἀποδείξεων πάσαις ταῖς ἐπιστήμαις ἡ ἑτέρα αὐτῶν χορηγεῖ, τίς ἂν ἄλλη εἴη πλὴν ἡ πρώτη φιλοσοφία καὶ ἡ περὶ τὸ ὂν ᾗ ὂν διατρίβουσα; αὕτη γὰρ νῦν μιμουμένη, παρ' ᾧ νόησις καὶ νοητὸν ὐ διήρηται, τῇ μὲν νοήσει διὰ τῆς γνώσεως τῶν ἀξιωμάτων ἀφομοιοῦται, τῷ δὲ νοητῷ διὰ τῆς τοῦ ὄντος θεωρίας. εἰ δὲ ἐλλείψει κατὰ θάτερα, νοῦ μίμημα ἔσται τὰ ἕτερα ἔχοντος καὶ ὐ τὰ συναμφότερα, ἢ νόησιν ἄνευ νοητοῦ ἢ τὸ νοητὸν ἄνευ νοήσεως, ὃ ταὐτὸν τῷ νοῦν ἀνόητον μιμεῖται. "ὅλως τε τῶν ὐσιῶν πότερον 997a
μία πασῶν ἐστιν ἡ πλείους ἐπιστῆμαι". ζητεῖ μὲν εἰ περὶ 15.
πᾶσαν ὐσίαν μία ἔσται ἐπιστήμη νοητήν τε καὶ αἰσθητὴν κἂν εἴ τις εἴη τούτων μεταξύ, ἢ πλείους ἔσονται κατὰ τὰς τῶν ὐσιῶν πληθυνόμεναι διαφοράς. τοῦτο δὲ ἦν καὶ ἐν τοῖς προβλήμασι τὸ τὴν τρίτην προτεῖνον ἀπορίαν. ἡ μὲν οὖν σύντομος καὶ ἀληθεστάτη καὶ αὐτῷ τῷ Ἀριστοτέλη * περὶ τούτων ἀπάντησις, ὅτι μία μὲν ἡ ἀνωτάτω, πολλαὶ δὲ αἱ προσεχεῖς, καὶ μία μὲν ἡ πᾶν τὸ ὂν ᾗ ὂν θεωροῦσα, πολλαὶ δὲ αἱ μόρια τούτου κατανειμάμεναι καὶ ἑτέρως αὐτὰ καὶ ὐχ ᾗ ὄντα μεταχειριζόμεναι. πῶς δὲ αὐτὸς εἰς τὰ ἀντικείμενα νῦν ἐπιχειρεῖ, κατανοήσωμεν. "εἰ μὲν.. ταύτην". 997a
εἴ τις, φησίν, ἄλλην μὲν περὶ τάσδε τὰς ὐσίας ἄλλην δὲ περὶ 16.
ἑτέρας ἐπιστήμην θήσεται, ἀποροῦσι τὴν περὶ ποίαν ὐσίαν γρεφο-

1 ὄν] ὅ *H* ὁ *Bβ*. ‖ 6 ὅτί ποτε *H* ὅτι ποτὲ *B* ὅ τι *β*. ‖ 7 fort. τοῦτο γὰρ ποιεῖ παρ' αὐτῷ. ‖ ἐπιστήμην *C*: ἐπιστήμη (*A*)*Hβ*. ‖ 8 ἀποδεικτικαὶ bis *AH* pr *C*. ‖ 9 ἀποδεικτικοὶ *Hβ*. ‖ *cuius haec β*: ὐ τὰ *CH* ὄντα *A*. ‖ 10 συμπλοκαὶ καὶ libri: deleui καὶ. ‖ 11 διαιρέσεις μὲν καὶ *AHβ*. ‖ ἀποδεικτά *Cβ* ἀποδεικτικά *H* ἀποδεικτική *A*. ‖ 12 τὰ δὲ ἀξ..... 13 ἀναλυτικοῖς om *A*. ‖ τὰ δ' *H* τὰ δὲ *C*. ‖ 13 Ὑστ. Ἀναλ. I 3 p. 72 b15 sqq. ‖ 18 εἰ ἐπιστητά *H*: ἐπιστητά *Bβ*. ‖ 19 εἰ om *AHβ*. ‖ ἀποδεικτὰ *Hβ* ἀποδεικτικὰ *AC*. ‖ 25 τοῖς εἰρημένοις *AHβ*. ‖ τούτου (*A*)*H*. ‖ 26 ἤρται *H*. ‖ 27 ταῦτα ἀξ. *β*. ‖ 31 fort. ἀλλ' ὅ τι μάλιστα. ‖ 32 καὶ εἰ *β*: καὶ *BH*. ‖ 33 τῷ ὅτι *AC* τῷ ὄντι *H cum ipso β*. ‖ 36 κατάτακτα] *praeordinabiles β*. fort. κατὰ πάντων. cf. p. 839 b9 διὰ πάντων αὐτὰ πεφοιτηκέναι τῶν ὄντων ‖ μετωπορροῦντα *H*.

2 μαχὰς (sed prior uocalis incerta) *H*. ‖ *alius et alii β*. ‖ 5 scripserim μέγα γὰρ καὶ τοῦ ... ἐπεσκεμμένου. ‖ 8 καὶ om *β*. ‖ 9 τῶν αἰτίων (*A*)*H*. ‖ 10 fort. delendum ὅτι. ‖ 11 ἐκείνων om *H*. ‖ ὅτι δὲ *β*: ὁ δὲ *BH*. ‖ 14 ἔτι δὲ] ἔτι *H*. ‖ *dissentire et ambigere* (καὶ ἀμφισβητεῖν?) *de pr. β*. ‖ 15 τὴν δὲ τὴν ἑτ. *AH*. ‖ αὐτῷ *CH*. ‖ 16 ἐπιβολαῖς *H*. ‖ ἀσφαλεστάτη libri cum *β*. ‖ 17 εἰ] εἰς *H*. ‖ 20 διατρίβουσαι *H*. ‖ 23 κατὰ θάτερα] καθάπερ *H*. ‖ καὶ ὐ τὰ συναμφότερα om *β*. ‖ 24 *sine intelligibili β*: ἄνευ νοῦ *BH*. ‖ τὸν νοητὸν *H*. ‖ ὃ ταυτὸν τῷ] ὅταν τὸν *H*. ‖ 25 τῷ] τῶν (*A*). ‖ 31 αὐτῷ τῷ] αὐτῷ libri. ‖ ante περὶ intercidit ἀρέσκουσα. ‖ 32 πάντων τὸ ὂν *AHβ*. ‖ 35 *intelligemus β*. ‖ 37 *alias scientias* (ἐπιστήμας) *β*. ‖ ὐσίαν om *H*.

μένην σοφίαν καλέσει. ἐρῶμεν ὧν ὅτι μάλιστα μία πάσας θεωρήσει· εἰ δὲ καὶ ἄλλη ἄλλην, οὐκ ἄδηλον ὅτι ἡ περὶ τὰς πρώτας καὶ νοητὰς εἰλημμένη αὕτη ἦν ἡ πρώτη τῶν ἐπιστημῶν· ἀμέλει καὶ νῦν καίπερ πᾶν τὸ ὂν ᾗ ὄν ἐπισκεπτομένη περὶ τὸ νοητὸν ἐθέλει τὴν πλείστην καὶ τὴν καλλίστην σπουδὴν καταβαλέσθαι. 5

997a 17. "τὸ δὲ μίαν πασῶν, οὐκ εὔλογον". μέτεισι μὲν εἰς τὸ δεῖξαι καὶ τῷ ἀντικειμένῳ παρεπόμενόν τι δυσχερές· ἴδωμεν δὲ τί ἐστι

997a 18. τὸ λεγόμενον, ἢ διὰ τί οὐκ εὔλογον. "καὶ γὰρ.. συμβεβηκότων". καὶ τί τοῦτο ἄτοπον; καὶ γὰρ εἰ πολλαὶ ἀποδεικτικαί, οἷον γεωμετρία καὶ ἀστρονομία καὶ ἀριθμητικὴ καὶ ἄλλαι πλεῖσαι, ἀλλὰ πρὸ τούτων 10 πασῶν ἐστι μία ἡ τὸ καθ' αὑτὸ τῷ ὄντι ᾗ ὂν συμβεβηκὸς ἐπισκεπτομένη· τίνα δέ ἐστι ταῦτα, ἐν τῷ Γ αὐτὸς ἐρεῖ σαφέστατα· ἀριθμητικὴ μὲν γὰρ τὰ τῷ ἀριθμῷ καθ' αὑτὸν ὑπάρχοντα δείκνυσι καὶ γεωμετρία τὰ τοῖς σχήμασιν· ἐκείνη δὲ ἡ μία ἀποδεικτικὴ τὰ παντὶ τῷ ὄντι καθ' αὑτὸ ὑπάρχοντα δείκνυσιν οὐχ ᾗ τοιόνδε 15 ἢ τοσονδί ἐστιν, ἀλλ' ᾗ ὄν· ὥστε οὐδὲν μὲν ἄτοπον ἔπεσθαι. ὅτι δὲ

997a 19 τοῦτο ἔπεσθαι, κατασκευάσαι πειράσεσθαι. "εἴπερ.. μία". ὁ λόγος τοιοῦτος· εἰ μία περὶ πάσας εἴη τὰς οὐσίας ἐπιστήμη, μία πάντων ἔσται τῶν καθ' αὑτὰ ὑπαρχόντων ταῖς πάσαις οὐσίαις καὶ ἀποδεικτική, εἴτε καὶ ἡ αὐτὴ εἴη τῇ περὶ τὰς οὐσίας αὐτὰς διατριβούσῃ εἴθ' ἑτέρα· μή πω γὰρ περὶ τούτου, ἀλλ' ὅτι μία ἔσται καὶ ἀποδεικτική, τοῦτο, φησί, δείκνυμι. ἡ δὲ δεῖξις τοιαύτη. περὶ ὅπερ ὑποκείμενον τὸ ὅ τι θεωρεῖ μία τις ἐπιστήμη, περὶ τοῦτο καὶ ἀποδεικτικὴ μία στρέφεσθαι, τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὑποκειμένῳ δεικνῦσα ἐκείνῳ ἐκ τῶν κοινῶν ἐννοιῶν, αἵ εἰσι πάσης 25 ἀποδείξεως ἀρχαί· οὐ γὰρ τὸ μὲν ὅ τι τοῦ ὑποκειμένου τουτέστι τὴν οὐσίαν, μία θεωρεῖ, τὸ δὲ ἐξ ὧν, τουτέστι τὰ δὲ καθ' αὑτὰ ὑπάρχοντα, ἐξ ὧν καὶ οἱ ὁρισμοὶ καὶ τὸ τί ἐστι τοῦ πράγματος, πολλαί, ἀλλὰ μία καὶ ἡ ἀποδεικτική ἐστιν, εἴθ' ἡ αὐτὴ οὖσα τῇ περὶ τὸ ὅ τι εἴθ' ἑτέρα, πλὴν ὅτι μιᾶς οὔσης ἐκείνης μία καὶ αὕτη. εἰ 30 τοίνυν πάσας τὰς οὐσίας μία θεωρήσει ὡς ἓν ὑποκείμενον γένος, καὶ πάντα τὰ καθ' αὑτὰ ὑπάρχοντα ταύταις μία τις ἀποδεικτικὴ περιλήψεσθαι, εἴθ' ἡ αὐτὴ οὖσα τῇ σοφίᾳ εἴθ' ἑτέρα· τοῦτο

997a 24. γὰρ ἐν τῷ ἑξῆς προβλήματι διακριθήσεσθαι. τὸ δὲ "ὥστε καὶ τὰ συμβεβηκότα, εἴθ' αὖθις θεωρήσουσιν, εἴτε ἐκ τούτων 35 μία" τοιοῦτόν ἐστιν· ὥστε καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα, εἰ μὲν πολλαὶ εἶεν αἱ τὰς οὐσίας εἰδυῖαι, πᾶσαι δείξουσιν αἱ ἀποδεικτικαί· εἰ δὲ μία εἴη, μία τῶν ἀποδεικτικῶν πάντα θεωρήσει. καὶ ἔπεσθαι μὲν τοῦτο πάντως, εἰ καὶ μὴ μία τῶν ἄλλων ἐστὶν ἀποδεικτικῶν ἡ σοφία πασῶν ἐξῃρημένη. οὐδὲν δέ ἐστιν ἄτοπον μίαν τὰ καθ' αὑτὰ ὑπάρχοντα παντὶ τῷ ὄντι ᾗ ὂν ἐπισκέπτεσθαι. "ἔτι δὲ.. ἄλλης". τοῦτο πέμπτον μέν ἐστιν ἐν τῇ 997a 25. τῶν προβλημάτων ἐκθέσει, νυνὶ δὲ μετὰ τὸ τρίτον οὐκ εἰκῇ δοκεῖ μοι παρειλῆφθαι, ἀλλ' ἐπειδὴ ἐν τῷ τρίτῳ τοῦτο αὐτὸ λίαν ἀμφιβόλως ἔθηκεν ("εἴτε" γάρ φησι "τῆς αὐτῆς εἴτε ἄλλης"), ἠθέλησεν εὐθέως περὶ τούτου προηγούμενον λόγον ποιήσασθαι· εἰρήσεται μὲν ἐν τοῖς προβλήμασιν ἱκανῶς περὶ αὐτοῦ καὶ ὅτι ἡ τὸ ὑποκείμενον εἰδυῖα πάντως καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα δείκνυσι· καὶ γὰρ οὐδ' ὁ ἐπάγει νῦν, ἀνασκευαστικὸν τούτου, δύναμιν ἔχει τινά. λέγει δὲ οὕτως. "εἰ μὲν.. εἶναι". πρὸς ὃ φαίης ἂν ὅτι τοῦ 997a 30. μὲν τί ἐστιν οὐκ ἔστιν ἀπόδειξις, τὴν δὲ αὐτὴν καὶ ὁριστικὴν εἶναι καὶ ἀποδεικτικὴν οὐδὲν κωλύει, ὁριστικὴν μὲν τοῦ τί ἐστιν, ἀποδεικτικὴν δὲ τῶν καθ' αὑτὰ συμβεβηκότων· τῆς αὐτῆς γάρ ἐστι καὶ τὸ τί κόσμος καὶ ἥλιος καὶ σελήνη θεωρῆσαι καὶ περὶ ἀιδιότητος αὐτῶν καὶ ἐνεργειῶν ἀποδεῖξαι. "εἰ δ' ἑτέρας... χαλεπόν". καὶ τῷ ὄντι 997a 32. χαλεπώτατον ἐξευρεῖν· εἰ γὰρ ἡ ἀποδεικτικὴ τῶν καθ' αὑτὰ συμβεβηκότων ἄχρι τῆς πρώτης αἰτίας καὶ τοῦ τί ἐστιν ἄνεισι, πάντως ἔσται καὶ ὁριστική. ῥητέον δὲ ὅτι εἰ μὲν κυρίως ἀποδεικτικὴ τοιαύτη, ἤδη μέντοι καὶ ἄλλη ἐστὶν ἐξ ὑποθέσεων ἀποδεικνῦσα. ἢ οὐκ ἄνεισιν ἐπὶ τὸ τί ἐστιν, ὡς ἡ ἀστρονομία τὰ πολλά, διὸ μηδὲ εἰπεῖν ἔχει περὶ οὐσίας τῶν φαινομένων ἄστρων· ὡς ἐκ πάντων ἐκεῖνο κυροῦσθαι, ὃ ἤδη προείπομεν, ὡς ἡ μὲν περὶ τὰς οὐσίας καὶ ἀποδεικτική, οὐ πᾶσα δὲ ἀπόδειξις ἄνεισιν ἐπὶ τὴν ὁριστικὴν ἐπιστήμην, ἀλλὰ ἢ ἂν ἔχῃ τὸν ὁρισμόν, ὡς ἀρχῇ χρῆσθαι αὐτῷ πιστευτικῶς. "ἔτι.. ἐπιστήμας". τέταρτον δὴ τοῦτο 997a 34. ἐν τοῖς προβλήμασιν ἔταξεν. ἀπεκρινάμεθα δὲ ἐν ἐκείνοις ἱκανῶς πρὸς τὰ νυνὶ προτεινόμενα· διὸ περὶ τῆς τάξεως μόνον τοσοῦτον ἐπισημηνάμενοι ὅτι τάχα τοῦτο τρίτον ὤφειλε τετάχθαι, μέτιμεν ἐπὶ τὸ φωράσαι τοὺς παραλογισμοὺς τῶν ἀναιρουσῶν τὰς πλείους οὐσίας ἐπιχειρήσεων. πρώτου δὴ γενομένου προβλήματος. εἰ περὶ πάντα τὰ αἴτια τοῦ ὄντος ὁ σοφός, δευτέρου δὲ εἰ καὶ περὶ τὰς ἀποδεικτικὰς ἀρχάς, τρίτον μὲν ἂν εἰκότως ἐπήγαγέ τις, εἰ πολλαὶ οὐσίαι, ὃ νῦν ζητεῖ· μεθ' ὃ τέταρτον, εἰ τῶν πολλῶν οὐσιῶν μία ἐστὶν ἐπιστήμη· εἶτα πέμπτον, ὃ νῦν ἐστι τέταρτον, εἰ μὴ μόνον τῶν πολλῶν οὐσιῶν μία ἐστὶν ἐπιστήμη ἀλλὰ καὶ τῶν καθ' αὑτὰ ταύταις ὑπαρχόντων. ἀλλὰ ταῦτα μὲν

2 ἄλλη ἄλλην *C*: ἄλλην *H* ἄλλη *Aβ*. ‖ 3 ἑλομένη *AH percepta β*. ‖ 9 καὶ ante τί om *β*. ‖ 10 καὶ ante ἀστρον. om (*A*)*H*. ‖ 11 μία ἐστὶ *H*. ‖ fort. τὰ καθ' ... συμβεβηκότα. ‖ 12 τῶν τρίτω *H*. ‖ σαφέστερα *Aβ*. ‖ 13 καθ' αὑτὸ *CH*. ‖ 16 οὐδὲν ἄτοπον ἕπεσθαι *β*. ‖ ὅτι δὲ τ. ἕπ. *C*: om *AHβ*. ‖ 20 αὐτὰς om *β*. ‖ 23 τὸ om *β*. ‖ περὶ τούτου *H*. ‖ 25 ἐκεῖνος *H*. ‖ 26 *non enim ipsum subiectum β*. ‖ τουτέστι om *β*. ‖ 27 fort. τὰ καθ' (deleto δὲ). ‖ 30 καὶ αὐτή. *β*. ‖ 37 εἶεν τὰς (*A*)*H*. ‖ πᾶσαι] fort. τοσαῦται. ‖ 38 alterum μία om *β*.

1 ἀποδεικτικῶν ἐστιν *AH*. ‖ 2 οὐδέν ἐστιν *H*. ‖ 4 τοῦτο *CH*: τοῦτο τὸ *A*. ‖ 7 φησὶ p. 997 a23. ‖ 8 περὶ τούτους *H*. ‖ 9 fort. μὲν οὖν ἐν. ‖ ἐν τοῖς προβλ. p. 839 a20 sqq. ‖ 12 ὅτως. λύσις. εἰ *B*: omisi λύσις cum *Hβ*. ‖ *dixerim β*. ‖ 18 γὰρ ἀποδεικτικὴ (*A*)*H*. ‖ 20 καὶ ἡ ὁριστική libri: ἡ expunxi. ‖ ὅτι εἰ *C*: ὅτι ἡ *AHβ*. ‖ 21 ἐστὶν] ἐστὶ ἡ *H*. ‖ ὑποθέσεως (*A*)*H*. ‖ 26 ἀλλὰ *Cβ*: ἀλλὰ καὶ *AH*. ‖ *quae β*: ᾗ *ACH*. ‖ ἀρχὴ *H*. ‖ 27 πευστικῶς *H* πεπιστευκώς *A*. ‖ δὴ] δὲ *ACH* om *β*. ‖ 28 ἐν ἐκείνοις p. 838 b30 sqq. ‖ 30 τοῦτο τὸ τρίτον *H*. ‖ μέτιμεν] μετὰ μὲν *H*. *transeamus β*. ‖ 33 εἰ] οὐ *H*. ‖ 36 εἶτα πέμπτον . . . 37 ἐπιστήμη om *AHβ*. ‖ νῦν scil. in hac tractatione B 2, nam ἐν τῇ τῶν προβλημάτων ἐκθέσει quintum fuit p. 995 b19. ‖ 37 μόνον] μόνων *C*.

ὡς ἂν ἐθέλῃ τις κρινέτω· μετέλθωμεν δὲ λοιπὸν ἐπὶ τὰ ἑξῆς.
997b 3. "ὡς.. αὐτῶν". ἀναπέμπει ἡμᾶς ἐπὶ τὰ ἐν τῷ μείζονι Α ῥηθέντα· γελοῖοι ὖν καὶ ταύτῃ οἱ τὸ βιβλίον νοθεύοντες. εἴρηται δὲ ἐν ἐκείνοις Πλάτωνι μὲν ἀρέσκον περὶ τῶν εἰδῶν ἢ ὀδὲν ἢ ἐλάχιστον, ἃ δὲ αὐτὸς ὑποτιθέμενος ἤλεγξε λίαν κενῶς καὶ διαλεκτικῶς. "πολλαχῇ.. ἀίδια".
997b 5. ἀλλ' ἐκεῖνοι μέν, φαίην ἄν, οἱ ἄνδρες τοῖς πᾶσι τὰ εἴδη διαφέρειν ἡγοῦνται τῶν τῇδε· τὰ μὲν γὰρ οὐσίας εἶναι θείας ἀμερεῖς πρὸς ἑαυτὰς ἐστραμμένας, δημιουργικὰς αἰτίας τῶν τῇδε, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσας, τὰ δὲ πᾶσαν ὑπομένειν τροπὴν θνητά τε εἶναι αὐτῶν ἕνια καὶ ἀποτελέσματα καὶ περὶ τὴν ἐν χρόνῳ στρεφομένην εἰλεῖται γένεσιν· τὰ μὲν νοητὰ καὶ ἀμερῆ καὶ ἑαυτῶν ὄντα καὶ αὐτὸ τοῦτο πᾶσι τοῖς ἐγκοσμίοις χορηγοῦντα τὴν ὑπόστασιν, τῷ δραστηρίῳ καὶ δημιουργικῷ καὶ προνοητικῷ καὶ γνωστικῷ τῶν ὅλων τῶν παρὰ σοὶ χωριστῶν εἰδῶν διαφέροντα, τὰ δὲ διαπεφωνημένα καὶ μεριστὰ καὶ ἑτεροκίνητα καὶ τῶν ὄντων τὰ ἔσχατα καὶ ἀγονώτατα. δέος δὲ μὴ αὐτὸς ἁλῷ πέρα τοῦ μετρίου ταῖς παρὰ τὰς ὁμωνυμίας ἀπάταις προσχρώμενος· ὁ γὰρ ἐπειδὴ ἄνθρωπος ὁ τῇδε κἀκεῖ ὁ αὐτὸς ἄνθρωπος, ἀιδιότητι μόνῃ διαφέρειν ἐκεῖνον οἴοιντο ἂν τούτῳ, ἀλλὰ πᾶσι μὲν οἷς εἴπομεν, πλείοσι δὲ ἔτι τοῖς παραλελειμμένοις. θαυμάσειε δ' ἄν τις ἐν τούτοις καὶ τὸν Ἀλέξανδρον κατασκευάζοντα μὲν σὺν πολλῇ προθυμίᾳ τὰ τῷ Ἀριστοτέλει νυνὶ ῥηθέντα, λανθάνοντα δὲ ἑαυτὸν ἀπεναντία τῷ φιλοσόφῳ φθεγγόμενον. εἰ γὰρ συνώνυμός ἐστιν ὁ τῇδε ἄνθρωπος τῷ ἐκεῖ ἀνθρώπῳ, ὡς Ἀλεξάνδρου λόγος, ὀδ' ἂν ἀιδιότητι διαφέροι τοῦ τῇδε ὁ ἐκεῖ· ἐν γὰρ τῷ λόγῳ τοῦ τῇδε ἀνθρώπου τὸ θνητὸν ἔγκειται, καὶ ὅλως ὅσοις τὸ θνητὸν ἢ τὸ ἄφθαρτον ὑπάρχει, κατ' οὐσίαν ὑπάρχει καὶ ὁ κατὰ συμβεβηκός, ὡς αὐτὸς ὁ φιλόσοφος ἐν αὐτῇ ταύτῃ τῇ πραγματείᾳ σαφῶς ἀπέδειξεν· ὥστε ὁ καλῶς τοῦτο συγκεχώρηκεν Ἀριστοτέλης κατὰ τὸν Ἀλεξάνδρου λόγον· ἀλλὰ ταῦτα μὲν ὀδ' ἂν αὐτὸς οἶμαι διενεχθῆναι τοὺς ἄνδρας οὕτως ὄντας δεινοὺς τὰ συλλογιστικά, ὅτι τῶν Πλάτωνος θείων δογμάτων οὐχ ἅπτεται, ὡς οὐδὲ τὰ παρὰ τῶν Θρᾳκῶν τοξεύματα τῶν αἰθερίων ἐφικνεῖτο θεῶν. ἐπὶ δὲ τὰ ἑξῆς ἴωμεν· "ἔτι.. ἀπορίας ἔχει".
997b 12. 14. ἴδωμεν δὲ καὶ ποίας καὶ πόσας καὶ πῶς ἐχούσας λύσεως· "δῆλον γὰρ.. οὐρανόν".

καὶ τί ἄτοπον εἶναι ταῦτα καὶ νοητὰ καὶ διανοητὰ καὶ αἰσθητά; πῶς δὲ οὐκ ἀναγκαῖον εἶναι μὲν ἐν τῷ δημιουργῷ τὴν αἰτίαν τοῦ οὐρανοῦ καὶ τοῦ ἡλίου; εἶναι δὲ καὶ ἐν ταῖς ψυχαῖς τῶν ἄστρων ἀληθέστερον οὐρανὸν καὶ ἥλιον τῶν φαινομένων, εἶναι δὲ καὶ ταύτας αὐτῶν τὰς αἰσθητὰς ὑποδοχάς; τί δὲ ἄλλο οἰόμεθα τὸν Πλάτωνα λέγειν, ὅταν οὐρανοῦ τε ὕπερ ἀστρονομεῖν τὸν κορυφαῖον ἀποφαίνῃ, καὶ πάλιν πολλὰς εἶναι μακαρίας θέας τε καὶ διεξόδους ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέφεται; οὐκ ἄστρα τε ἡγεῖται εἶναι ὑπὲρ τοῦτον τὸν οὐρανὸν ἢ ἵνα συνηθέστερον εἴπω, τὰς νοερὰς τῶν ἄστρων ζωάς, ὧν τὴν ἀσύγχυτον ἕνωσιν καὶ τὴν ἀνέκλειπτον κοινωνίαν καὶ τὴν πρὸς τὰς νοητὰς οὐσίας σύνταξιν θεασάμενος τὸν παρ' αὐτῷ σοφόν, οὐρανόν τε νοερὸν ἄλλον παρὰ τοῦτον τὸν φαινόμενον, οὗ τὰ θεάματα καὶ τὰς ἐξοδικὰς θεωρίας εἶναι τῶν ἐγκοσμίων θεῶν τε καὶ δαιμόνων; ὥστε τοῦτο μὲν εὖ λέλεκται λίαν ὅτι οὐ παρ' αὐτὰς μόνας τὰς γραμμάς, τουτέστι παρὰ τὰς νοητὰς καὶ ἔτι παρὰ τὰς αἰσθητὰς ἔστονται μέσαι τινὲς γραμμαί, ἀλλὰ καὶ οὐρανοὶ καὶ ἥλιοι πολλαχῶς. τέως δὲ τὸ ἐλάχιστον τριχῶς ἔστιν ἐπινοεῖν πάντα· εἰ γάρ, ὥς φησιν ὁ θεῖος Πλάτων, νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνθεὶς ὁ θεὸς τὸ πᾶν κοσμικὸν ζῷον ἔννους καὶ ἔμψυχον ἐτεκτήνατο, πάντα ἄρα ὅσα κατὰ τὸν φαινόμενον οὐρανὸν αἰσθητῶς καὶ διαστηματικῶς ἐνορᾶται, κατὰ μὲν ψυχὴν ἐν ἀύλοις λόγοις καὶ ὁλικοῖς ἔσται, κατὰ δὲ τὸν νοῦν ἐν εἴδεσιν ἀμεριστοῖς καὶ νοεροῖς. ὁ δὲ ἀποθαυμάζοντι ἐοικὼς καὶ τὰ ἑξῆς γράφει· "καίτοι.. ἀδύνατον". διὰ τί τῶν κινουμένων οὐκ 997b
18. εὔλογον ἀκίνητον αἰτίαν εἶναι; πῶς δὲ οὐκ ἀναγκαῖον; ἢ τοῦτο μὲν συγχωροῦμεν, πρὸς δὲ τὸ μὴ ὁμοίως αὐτὴν ὀνομάζεται τοῖς ἀποτελέσμασι διαμαχούμεθα; καὶ μὴν ἐπὶ τῶν τεχνητῶν αὐτὸ συγκεχωρήκαμεν, ἐκ τῆς ἀύλου τὴν ἔνυλον οἰκίαν διαχωριζόμενοι γίγνεται. δεῖ δὲ καὶ τῇ χρήσει τῶν θεολόγων προσέχειν, παρ' οἷς πολλῶν μὲν οὐρανῶν πρόοδοι, πολλῶν δὲ ἡλίων, πολλῶν δὲ τῶν ἄλλων ἑκάστων παραδίδοται· διὰ τί δὲ καὶ κινούμενον παντελῶς ἀδύνατον, εἰ μὴ ὅτι τὴν σωματικὴν μόνην μεταβολὴν εἰώθαμεν κίνησιν ὀνομάζειν, ἐπεὶ τὴν δημιουργικὴν καὶ νοερὰν κίνησιν τίς οὐκ ἂν δοίη τοῖς ὄντως οὖσιν; "ὁμοίως.. αἰτίας". ἔλεγεν ὅτι 997b
20. μήτε ἀκίνητα εἶναι εὔλογον μήτε κινούμενα· ἡμεῖς δὲ καὶ τότε

1 ἐθέλοι *BH*. ‖ 2 met. A 9. ‖ 3 γελοῖοι κτέ. cf. Alex. p. 152, 8. ‖ 4 Πλάτωνι] scr. πρὸς τὸ Πλάτωνι. ‖ περὶ τῶν εἰδῶν om *β*. ‖ 5 ἤλεγξε] ἔλεξε (*A*)*H* om *β*. ‖ *inaniter β*: καινῶς *BH*. ‖ 6 φαῖεν ἂν *H dixi β*. ‖ 9 ἀεὶ .. αὐτὰ om *β*. ‖ 10 ὑπομένει *H*. ‖ αὐτῶν εἶναι ἔν. *AH*. ‖ 11 εἰλῆσθαι (*A*)*H*. ‖ 12 νοητὰ corruptum. fort. ἑνωτά cf. 15 διαπεφωνημένα, b10. ‖ 16 ὄντων ἔσχατα *AH*. ‖ ἴδοις δὲ *β*. ‖ 17 ἁλῷ *C*: ἀλλ' ᾧ *AH* ἀλλ' ὡς *β*. ‖ 18 προχρώμενος *H*. ‖ 19 μόνον *A*. ‖ ἐκείνοι sic *H*. ‖ οἴοιτο *Cβ* οἴοι τὸ *H*. ‖ 21 Alex. p. 152, 23. ‖ 23 *latentem, quod repugnantia loquitur philosophus. β*. ‖ δὲ αὐτὸν (*A*)*H*. ‖ φθεγγόμενα *H*. ‖ 24 ἐκεῖ] ἐκείνῳ *AH*. ‖ 25 τοῦ τῇδε ἐκεῖ *H*. ‖ 27 ἢ] καὶ *BHβ*. ‖ φθαρτὸν *β*. ‖ ὑπάρχει κατουσῖ ὑπάρχει καὶ *H*: ὑπάρχει καὶ *B* ὑπάρχει *β*. ‖ 28 ἐν αὐτῷ ταῦτα τῇ *H*. ‖ 28 Ar. met. I 10. ‖ 29 συγκεχώρηκεν om *β* *sed haec quidem ipsos ex animi sententia disputasse uiros non puto β* itaque uitio intellecto inepte σπουδῇ inseruit ante ὀδέ. ‖ 31 ὀδ' αὐτὸς libri: ἂν inserui. ‖ διαλεχθῆναι libri cum *β*. ‖ 33 ὀδὲ παρὰ *H*. ‖ ἐφικνεῖται *A*.

2 fort. ἐν τῷ δημιουργικῷ νῷ cf. p. 839a4. 851b15. ‖ 5 Plato Theaet. p. 173 E. ‖ 6 ὑπεραστρονομεῖν libri. ‖ καὶ πάλιν Phaedri p. 247 A. ‖ 7 καὶ ἐξόδους libri: correxi cl. Pl. ‖ 8 ἃς Plato *quas β*: αἃ *BH*. ‖ ἐπιστρέφεσθαι] *mirari esse β*. ‖ οὐκ om *β*. ‖ 9 τὰς ante νοερὰς uitiosum. fort. αὐτά, nisi potius delendum erit. ‖ 12 παρ' αὐτὸν *H*. ‖ 13 scr. διεξοδικάς. cf. supra l. 7. ‖ 15 ὁ *C*: ὁ *AH* om *β*. ‖ νοητὸς *C*. ‖ 17 οὐρανὸν καὶ ἥλιον *H*. ‖ 18 πάντα· εἰ γὰρ *C*: πάντα γὰρ *AH* *omnino enim β*. ‖ 18-20 Pl. Timaei p. 30 B. ‖ 20 ἐτεκτήνατο] *inuexit β*. ‖ 21 ὁρᾶται *AH*. ‖ 22 fort. ἀμερίστοις. ‖ 23 ἀποθαυμάζοντα *H*. ‖ 27 τεχνιτῶν *H*. ‖ αὐτὸ] *ipsi β*. ‖ 31 ἑκάστων *CH*: om *Aβ*. ‖ 32 καταβολὴν *H*. ‖ 34 ἔλεγεν] λέγει libri cum *β*. cf. supra l. 24, et l. 35 τότε. ‖ 35 μήτε κίνησιν εἶναι *AHβ*. ‖ δὲ τότε *H*.

μὴ ἐλέγομεν ὅτι καὶ ἀκίνητα τὴν σωματικὴν κίνησιν καὶ κινούμενα τὴν ζωτικὴν ἀναγκαῖον εἶναι, καὶ νῦν δὲ ἤδις' ἂν αὐτὸν ἐροίμην, πότερον οὐδὲ ὄμμα συγχωρεῖ ἡμᾶς ἔχειν ἄλλο παρὰ τουτονὶ τὸν αἰθητὸν ὀφθαλμόν; ἀλλ' ὄμμα μὴ εἶναι δίδωσιν, οὐ μὴν ἔχον γε δύναμιν ὀπτικὴν [ἢ ὁρατικὴν] τῶν οἰκείων εἰδῶν· ἀλλὰ καὶ τοῦτο μέν, ἀνυπόςατα δὲ εἶναι τὰ τοῦ νοῦ θεάματα. καὶ πῶς οὐκ ἔςαι τῆς αἰθήσεως ὁ πολυτίμητος ἡμῖν νοῦς ἀτυχέςερος, εἴπερ ἐκείνη μὴ πρὸς ὄντα συντέτακται, τούτου δὲ ἀνυπόςατα τὰ θεάματα; εἰ δὲ τοῦτο ἄτοπον, ἔςι δὲ καὶ ὄμμα ἡμῶν νοερὸν καὶ δύναμις ἐκείνου τοῦ ὄμματος ὀπτική, ἔςαι καὶ εἴδη σύζυγα ταύτῃ τῇ ὀπτικῇ ἀκίνητα μὴ τὴν τῶν σωμάτων κίνησιν, κινούμενα δὲ τὴν νοερὰν ἐνέργειαν. τί δὲ τῶν ἁρμονικῶν λόγων ὧν ὁ θεὸς δέδωκε τῇ ψυχῇ πρὸ τῆς φαινομένης διακοσμήσεως, ἆρ' οὐδείς ἐςι θεατής; αὐτῶν δὲ τῶν Μουσῶν καὶ τῆς ἐξ αὐτῶν προϊούσης ἁρμονίας οὐ πάντες μὴ οἱ ἐγκόσμιοι θεοὶ μετέχουσιν, ὥς φησιν Ὅμηρος, πλήρεις "Μουσάων αἰ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ", πάντα δὲ τὰ ὄντα μετείληφε; διὰ τί οὖν οὐκ ἔςαι καὶ ἄλλα ἁρμονικά; εἰ δὲ ταῦτα Πλατωνικὰ φαῖεν οἱ δριμεῖς οὗτοι καὶ μυθώδη, ἀλλ' ἥ γε μία σύνταξις τῶν παρὰ σοὶ νοερῶν εἰδῶν ἡ πρὸς τὸ πρώτιςον ἀγαθὸν καὶ τὸ ἐν αὐτῷ νοητὸν εἶδος ἐπιτελουμένη πῶς οὐχ ἁρμονιῶν ἐςιν ἡ καλλίςη καὶ θειοτάτη, περὶ ἣν ὁ φιλόσοφος διατρίβων ἁρμονικὰ ἂν θαυμαςότερα τῶν τῇδε μουσικῶν μετα-
997b 23. χειρίζοιτο; "εἰ γὰρ.. φθαρτῶν". ὅτε αἰθητά ἐςι τὰ μεταξύ, καὶ εἰ ὁμώνυμα αὐτοῖς εἴη τὰ αἰθητά· ὅτε αἰθήσεις αὐτοῖς συζυγοῦσιν ἀλλὰ διανοήσεις, ἅτε λόγοις οὖσιν ἀύλοις· ὅτε τὸ εἶναι μεταξὺ τῶν νοητῶν ζῴων καὶ τῶν αἰθητῶν ἐν τοῖς καθόλου λόγοις τῆς ψυχῆς ἢ τοῖς εἴδεσι τοῖς φυσικοῖς ἕτερα ζῷα παραιτήσαιτο ἄν τις συγχωρεῖν. ὥςε *ὅτε* ἀληθῆ τὰ λαμβανόμενα
997b ὅτε τὸ ἐξ αὐτῶν συναγόμενον ἄτοπον. "ἀπορήσειε.. ἐπι-
25. ςήμας". τοῦτο μὴ εὖ ζητεῖ· καὶ γὰρ τῷ ὄντι ἐςὶν ἄπορον, ποίας ἐπιςήμας τῶν τῇδε φήσομεν εἶναι παραδειγματικωτέρας· ὅμως δὲ ἀποκρινούμεθα αὐτῷ ὅτι τῶν περὶ φυσικὰ εἴδη τὴν κατανόησιν ἐχουσῶν ἢ λόγους ἢ ἀριθμοὺς φυσικοὺς ἀνάγκη πρεσβυτέρας εἶναι τῶν τῇδε, αἳ περὶ τὰ ἄυλα τούτων παραδείγματα δια-
997b τρίψουσιν. "εἰ γὰρ .. ὑγιεινόν". οὐ τούτῳ μὴ διαφέρει μόνῳ
26. γεωδαισία γεωμετρίας, ἀλλ' ὅτι καὶ ἡ μὴ χρείας ἀνθρωπικῆς ςοχάζεται καὶ πρὸς τὸ χρήσιμον ὁρᾷ τοῦ θνητοῦ βίου χειρουργίας τε ἐφάπτεται τοῦ δ' ὄντως ὄντος ἔννοιαν οὐ προχειρίζει ** τὴν αἰθητῶν τὴν ψυχὴν καὶ διακαθαίρει τὸ ταύτης ὄμμα περιάγει τε πρὸς νόησιν, ἀφιςᾶσα τῆς παχυτέρας καὶ μορφωτικῆς τῶν ἐνύλων τάξεως. ὅλως δὲ λεγέσθωσαν ταύτῃ διαφέρειν. τί οὖν *οὐχ* ἕψεται τὸ καὶ ἰατρικὴν ἄλλην τινὰ παρά τε τὴν θείαν ἰατρικὴν εἶναι καὶ παρὰ τὴν τῶν θνητῶν σωμάτων; ἀλλ' ἔγωγε μὴ πρὸ πάσης κατασκευῆς τοῦτο συγχωρῶν αἰχυνοίμην ἂν ἐμαυτόν. ἔςω γὰρ ὁ Παιήων ἢ εἰ βούλοιτό τις λέγειν ὁ σωτὴρ Ἀσκληπιὸς ὁ τὴν θείαν ἔχων ἰατρικήν, δι' ἧς θεοῖς τε καὶ ψυχαῖς καὶ σώμασι τοῖς μὴ ἀεὶ τὸ προσῆκον ἀπονέμει μέτρον, τοῖς δὲ ὅταν ᾖ δεκτικά, ἔςω δὲ καὶ ὁ παρ' ἡμῖν ἰατρὸς ὁ τῶν θνητῶν σωμάτων τὴν ἐπιμέλειαν ποιούμενος· ἆρ' οὖν τὰ τοσοῦτον ἀλλήλων διεςῶτα κοινοῖς τισιν ὅροις οὐ δέδεται; καὶ μὴν ὅπερ ἂν ᾖ παρὰ τοῖς θεοῖς, ᾖ δὲ καὶ παρ' ἡμῖν, ἐχάτως ἀνάγκη θεωρεῖσθαι κἀν ταῖς ἀγγελικαῖς καὶ δαιμονίαις καὶ ἡρωικαῖς τάξεσιν, ἔτι δὲ ἐν ταῖς ἀπολελυμέναις ψυχαῖς τοῦ θνητοῦ βίου. διὰ τί δὲ καὶ τὴν καθαρτικὴν τῶν παθῶν φιλοσοφίαν οὐχὶ μεταξὺ τάςειεν ἄν τις τῆς τε θείας δίκης, ἥ τις ἰατρικὴ γίγνεται πάσης περικοσμίου πονηρίας, καὶ τῆς ἀνθρωπικῆς ἰατρείας, ἣ περὶ μόνην τὴν θεραπείαν τευτάζει τοῦ γενητοῦ καὶ φθαρτοῦ σώματος; ὥςε οὐδὲν ἂν εἴη πλημμελὲς καὶ τὰ ὑγιεινὰ ταύτης θεωρήματα καὶ ἐπιτηδεύματα μεταξὺ τῶν τε τῆς δίκης εἶναι μέτρων, ἐν οἷς τὸ αὐτοϋγιεινόν, καὶ τῶν συνεγνωσμένων τοῖς πολλοῖς. ἀλλ' ἡμεῖς οὐ τὰ παραδείγματα τῶν τῇδε, αὐτὰ δὲ τὰ ἐν τοῖς τελευταίοις φαινόμενα ζητοῦντες ἐν ταῖς μεταβάσεσι τῶν πραγμάτων καὶ μὴ εὑρίσκοντες εἰκότως ἀπορουμεν, εἴ τι τοιοῦτόν ἐςιν ἐν τοῖς πρώτοις καὶ μέσοις τοῦ ὄντος γένεσιν. εἰ μὴ οὖν ἁπασῶν τῶν τεχνῶν χρὴ παραδειγματικὰς αἰτίας ἀποτίθεσθαι, ἢ πασῶν μὴ ἐκεῖθεν αἱ ἀρχαί, τὸ δὲ ὅλον σύςημα τῶν εἰς χρείαν τοῦ θνητοῦ βίου συντελουσῶν ἐκ τοῦ γονίμου τῆς ψυχῆς λόγου προελήλυθεν, ἐζήτηται καὶ τοῖς πρεσβυτάτοις τῶν φιλοσόφων, τοῖς Πυθαγορείοις φημὶ καὶ Παρμενίδῃ καὶ Πλάτωνι καὶ τοῖς ὕςερον τὴν ἐκείνων θεωρίαν ἐξηπλωκόσιν Πλωτίνῳ καὶ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ. ὅτι μέντοι τὰς ἀνάλογον καὶ ἐν θεοῖς ἔςιν ἐπινοεῖν, δηλοῦσι καὶ οἱ θεολόγοι Κύκλωπας καὶ Ἥφαιςον χαλκέας καὶ οἰκοδόμους οὐκ ὀκνοῦντες καλεῖν, οὐδὲ Ἀθηνᾷ καὶ Κόρῃ

4 ἀλλ' om *β*. ‖ εἶναι] fort. οἶμαι. ‖ ἔχον τε *Cβ* ἔχοντες *AH*. ‖ 6 ἀνυπόςατον *H*. ‖ δὲ om *β*. ‖ 7 ἡμῖν *CH*: ἡμῶν *Aβ*. ‖ 13 πρὸ *C*: πρὸς *AHβ*. ‖ 16 Hom. Il. A 604. ‖ ἄειδον *CH* ἄδον *A cantu permulcentes β*. ‖ 17 οὖν om *H*. ‖ 18 δρυμεῖς *H*. ‖ μυθώδη *CH*: θυμώδεις *Aβ*. ‖ 19 παρασὶ (*A*)*H*. ‖ 20 καὶ ἐν (om. τὸ) *H*. ‖ νοητῶν *β*. ‖ 22 μεταχειρίζοιτο. ἀντίλογος. εἰ γὰρ *A*. ‖ 23 ἐςι τὰ *C*: ἐςι *AH*. ‖ 24 καὶ om *Hβ*. ‖ 25 ἅτε om *β*. ‖ 26 αἰσθητῶν *H*: αἰσθητῶν τῶν *Bβ*. ‖ 28 ὅτε om. libri cum *β*. ‖ 29 ἄτοπον. ἀπορία. ἀπορήσειε *A*. ‖ 31 ἐπιςήμης *H*. ‖ εἶναι om *Aβ*. ‖ 34 τῶν τῇδε delendum est, glossema fort. ad τούτων adscriptum. ‖ τούτων παραδείγματα τούτων *H*. ‖ 35 μὲν *C*: δὲ *AHβ*. ‖ 36 γεωδεσία (*A*) pr*H* ut infra p. 581 a5, γαιωδεσία corr *H* ‖ ἀνθρωπίνης *H*.

1 βίου om *H*. ‖ 2 τοῦ δ' ὄντως ἔντος] καὶ τοῦ δόντος ὄντος *H* καὶ τοῦ δ' ὄντος ὄντως *A et dantis uere β*: καὶ τοῦ ὄντως ὄντος *C*. καὶ ex ἐφάπτεται natum. ‖ *non pertractat* [προχειρίζεται!] *sensibilium animam β*. hiatum notaui, quo alterius membri caput haustum est. ‖ τὴν] fort. τῶν ‖ 3 τὴν ψυχὴν *C*: τὴν om *AH*. ‖ 5 τάξεως *H* cf. infra l. 16: συντάξεως *Bβ*. ‖ ὅλως *H* ut Brandisius coniecerat: ὅλης *Bβ*. ‖ ταύτῃ *CH*: ταύτης *AB*. ‖ οὖν ἔχ] ὦν libri cum *β*. ‖ 7 ἀλλ' ἔγε *H*. ‖ μὴ καὶ πρὸ *β*. ‖ 9 sq. cf. Galei opusc. myth. p. 255. ‖ 13 τοσούτων *H*. ‖ 14 *et nunquid utique apud deos sit β*. ‖ 20 ἢ *β*: ἢ *BH*. ‖ τευτάζει *Cβ*: ἢ τυρβάζει *AH*. ‖ 23 μετρῶν *BH*. ‖ *per se sanatiuum β*: τὸ αὐτοῦ ὑγιεινὸν *BH*. ‖ 27 μέσοις ἐκ τοῦ *AHβ*: ἐκ om *C*, sed latet fort. αὖ. ‖ 29 ὑποτίθεσθαι *A*. ‖ 31 *quaesitum est β*: ἐζήτητε *H* ἐζήρτηται *B*. ‖ 32 πλάτωνι *H*: τῷ πλάτωνι *B*. ‖ 36 καὶ οἰκοδόμους om *β*.

τὴν ὑφαντικὴν ἀποκληρῶν. ὐκ εὐθέως δὲ τὰς ἀνάλογον θεωρυμένας ϗ παραδείγματα τῶν τῇδέ φαμεν, ἐὰν μὴ αἱ τῇδε κατ' ἐκείνας ποιῶσι, ϗ ὑ πρὸς ἐκείνας ἀνατεινόμεναι κἀκείναις
9976 32. ἀπεικαζόμεναι. "ἅμα.. φθειρομένων". μάλιςα μ̄ αὐτὲς ὑπέθυ τῶν φθαρτῶν λέγειν αὐτὺς εἶναι τὴν γεωδαισίαν, ϗ ὐκ ἴςμεν τῦτο παρ' αὐτοῖς κείμενον. ἔπειτα τίς ἀνάγκη τὰς τῶν φθαρτῶν τέχνας αὐτοῖς συμφθείρεȝ τοῖς φθαρτοῖς; ὅμοιον ὡς εἴ τις ἔλεγε τὺς τῶν φθαρτῶν ὁρισμὺς συμφθείρεȝ τοῖς ὁριςοῖς. τὲ δὲ οἶμαι, σωζομένυ τῦ εἴδυς, κἂν τὰ καθ' ἕκαςα θνητὰ ᾖ, ἀνάγκη ϗ τὲν ὁρισμὸν σώζεȝ, εἴτε λέγοι τις αὐτὲν εἴτε μή. ταὐτὲν δὴ τῦτο κἀπὶ τῶν τεχνῶν· σώζονȝ γȝ αὖȝ, κἂν φθαρτῶν ὦσι πραγμάτων προνοητικαί, τοῖς καθόλυ λόγοις κρατύμεναι· οἳ ἐὰν ὦσι προβεβλημένοι παρὰ τῶν ἐν γενέσει ψυχῶν, ἀνάγκη σιαμένειν ϗ τὰς τοιαύτας τῶν τεχνῶν· ϗ γȝ ἄλλως διαφέρει τὲ ἐν φθαρτῷ εἶναι ϗ φθαρτῦ προνοεῖν ἢ περὶ φθαρὲν ἐνεργεῖν. ϗ τὲ μ̄ ἐν φθαρτῷ ὂν ἀνάγκη πᾶσα τῷ ὑποκειμένῳ συμφθείρεȝ, τὲ δὲ περὶ φθαρὲν ἐνεργῦν ὐκ ἀνάγκη τῦδε φθειρομένυ μηκέτι εἶναι ἢ ἀργὸν εἶναι· ἐνεργήσει γȝ πάλιν περὶ τὲ ὁμοειδὲς αὐτῷ
9976 διὰ τὲ χρῆȝ τῷ καθόλυ λόγῳ. "ἀλλὰ μὴν.. φύσιν ἔχει".
34. καίτοι εἰ μὴ τῶν αἰȝητῶν μεγεθῶν ὁ ἀςρονόμος ἐςὶ θεατής, περὶ ἄςρα δὲ ἔχει ϗ ὐρανὸν ϗ τὰς τύτων κινήσεις, πῶς ὐκ ἔςιν ἄλλα ἄςρα ϗ ἄλλος ὐρανὸς ϗ ἄλλαι κυκλοφορίαι, περὶ ἃς ὁ ἀςρονόμος διατρίβει; ὥςε ὑ κȝ' τῶν εἰσαγόντων πλείυς ὑσίας ἐςὶ τὲ ἐπιχείρημα, συνηγορεῖ δὲ μᾶλλον αὐτοῖς. τό γε μὴν ἀληθὲς τῇδε ἔχει· τὲτον μ̄ τὲν ὐρανὸν ὁ ἀςρονόμος θεωρεῖ, ἅτε δὲ καθόλυ τινὰς ἐν ἑαυτῷ λόγυς ἔχων εἰκόνας τῶν εἰδῶν τῶν δημιυργησάντων τὲν ὐρανὸν συμπλέκει τοῖς ὁρωμένοις τὺς αὐλυς ϗ ὁλικωτέρυς λόγυς, κἀντεῦθεν ἀποδείκνυσι τὰ καθ' αὑτὰ τοῖς ὐρανίοις ὑπάρχοντα. ὅρα δὲ πῶς καίπερ ζωῆς ὢν πλήρης ϗ θείας ϗ δημιυργικῆς δυνάμεως ὁ ὐρανὸς ὅμως διὰ τὲν ὄγκον ϗ τὴν διάςασιν μερικῶς τὰ πορίσματα δέχεȝ· ὄντος γȝ ἑνὸς ἐν ἡμῖν λόγυ τῦ πάντας τὺς ἐν σφαίρᾳ μεγίςυς κύκλυς οιχοτομῦντος, ὅς ἐςιν εἰκὼν τῦ τὲ πᾶν συνυποςήσαντος τῷ Διὶ λόγυ, ὁ ὐρανὸς ὡδὶ μ̄ ἐπὶ τῦ ζῳδιακῦ ϗ ἰσημερινῦ τῦτο δέχεȝ, ὡδὶ δὲ ἐπὶ τῦ μεσημβρινῦ ϗ τῦ ὁρίζοντος· ἅμα δὲ ϗ ἐν ἑνὶ πᾶσαν ὑποδέξαȝ τῦ λόγυ τὴν δύναμιν ἡ σώματος φύσις ὐκ εἴασε. ταὐτὲν δὴ ϗ ἐπὶ τῶν ἄλλων εἰρήȝω μοι. εἰ δὲ πρὸς τῷ χωρὶς ἀλλὰ μὴ ἅμα μηδ' ὕτω δέχεȝ ἀκριβῶς ὡς διαδίδωσι τὲ ποιῦν ϗ ὡς θεωρεῖν δύναȝ τὲ προσεχῶς ἀπὸ τῦ πατρὸς προεληλυθός, θαυμαςὸν ὐδὲν. ἀλλ' ἐκεῖνο ϗ πρὸς Πρωταγόραν ϗ πρὸς πάντας τύς τε ἀτιμάζοντας γεωμετρίαν ϗ τὺς μόνα τὰ αἰȝητὰ λέγοντας εἶναι ῥητέον ἐςί, πότερον τὰ ἐν τῷ ὐρανῷ ϗ ὅλως τῷ αἰȝητῷ ςρογγύλα ϗ εὐθέα μᾶλλόν ἐςιν ἀκριβέςερα ἢ ἃ ὁ γεωμέτρης θεωρεῖ; εἰ μ̄ γȝ τὰ ἐν τῷ αἰȝητῷ, θαυμαςὸν ὅπως τὰ μὴ ἐφαρμόζοντα τοῖς ὁρισμοῖς τῶν ἐφαρμοζόντων ἐςὶ καλλίω [βελτίω] ϗ ἀκριβέςερα, ϗ τὰ ὑπὸ τῦ κανόνος ὡς ὐχὶ ςρογγύλα διελεγχόμενα τοῖς ὑπ' αὐτῦ τῦ κανόνος μαρτυρυμένοις περὶ πρωτείων ἀμφισβητεῖ· εἰ δὲ τὰ ὑπὸ τῦ γεωμέτρυ * ϗ αὐλίᾳ ϗ καθαρότητι ϗ ἀκριβείᾳ ϗ ἀληθείᾳ κρατεῖ, πῶς ὐκ ἀμφότερα δείκνυȝ, ϗ ὅτι περὶ σεμνὰ ϗ τίμια γένη ςρέφεȝ γεωμετρία, ϗ ὅτι κρείττω ϗ θειότερα τὰ ἐν ὐρανῷ παραδείγματα προϋπάρχει ἔν τε τῷ δημιυργικῷ νῷ καὶ τῇ ὅλῃ ψυχῇ, ὧν δὴ ϗ εἰκόνας ἡ ἡμετέρα σύςασις ἔχυσα θεωρεῖ τά τε ἐν τῷ παντὶ διὰ καθολικωτέρων λόγων περιλαμβάνυσα ϗ τὰ ἐν τοῖς ἀρχικωτέροις ἑαυτῆς αἰτίοις, ὡς δι' εἰκόνων τῶν ἐν αὐτῇ πρὸς τὴν ἀρχέτυπον ὑσίαν ἀναπεμπομένη. γελοῖον δὲ ϗ τὲ εἰς ἔλεγχον γεωμετρίας τὲ μὴ τὰ σημεῖα τοῖς ἄςροις ἐξισῦȝ παραλαμβάνειν· ὕτε γȝ οἱ ἀςρονόμοι σημεῖα τὰ ἄςρα λέγυσιν, ὕθ' ἡ γεωμετρία τοιαῦτα γλίχεȝ λαβεῖν σημεῖα, ἃ πάντως ἐςὶν ἐν τῷ αἰȝητῷ. εἰ δ' ὅλως ἔδει ταύτῃ τὺς γεωμέτρας ἐλέγχειν, ὅτι περὶ ὧν λέγυσιν ὑ φαίνεȝ ὄντα ἐν τοῖς αἰȝητοῖς, ἔδει τὺς πόλυς ἢ τὲ τῦ παντὲς κέντρον ἐπισκέψαȝ. ἀλλὰ ταῦτα μ̄ παρείȝω· ἣν δὲ τελευταίαν εὐθύνει δόξαν ὁ Ἀριςοτέλης τῶν εἰσαγόντων πλείυς ὑσίας ἐπισκεψώμεθα. "εἰσὶ δέ ... ἀδυνατώτερον". οἱ λέγοντες 998a
7. μεταξὺ μ̄ εἶναί τι τῶν νοητῶν εἰδῶν ϗ τῶν αἰȝητῶν, εἶναι δὲ τὴν μέσην ταύτην φύσιν ἐν τοῖς ἐχάτοις ϗ ἐνύλοις εἴδεσιν, εἰ μ̄ ἄρ' ἅπαν τὲ μεταξὺ λέγοιεν εἶναι ἐν τοῖς καθ' ἕκαςα τῶν αἰȝητῶν, ὁμολογυμένως πταίυσιν· εἰ δὲ πολλαχῶς τῦ καθόλυ ἀνθρώπυ φέρε ϗ ἡλίυ θεωρυμένυ ϗ τῦ μ̄ ὄντος ἐν τῇ ψυχῇ τῦ παντός, τῦ δὲ ἐν τῇ κοσμικῇ φύσει, τῦ δὲ ἐν ταῖς ἡμετέραις ψυχαῖς εἶναί τινα λέγοιεν κοινὸν ἄνθρωπον ϗ ἐν Σωκράτει κατατεταγμένον, ϗ τὲν ἥλιον αὐτόν, εἰ ϗ εἷς εἴη, ἀλλ' ὕν ἔχειν ϗ τὴν τῦ ὅλυ ποιότητα εἴδυς, ὑδὲν ἔμοιγε πλημμελεῖν δοκῦσιν,

3 aut post καὶ ὑ hiatus subest aut negatio tollenda. ‖ 6 τὰς om *H*. ‖ 8 *cum deficientibus β*. ‖ 9 τὸ δὲ] fuit qui ἔγωγε coniceret. fort. τὸ δὲ οἶμαι [πᾶσι φανερὸν ὅτι]. ‖ ᾖ *CH*: εἴη *A*. ‖ 11 ταυτὸν δή πυ τὸ κἀπὶ *H* τῦτο δὴ κἀπὶ *β*. ‖ 12 κρατύμεναι] *positae β*. scrib. κυρύμεναι cl. Plat. Gorg. p. 451 B. ‖ 13 ἐὰν] fort. κἂν. ‖ γενέσι sic *H*: γένεσι *Bβ*. ‖ 15 τὸ ἐν φθαρτῷ *C*: τῶν φθαρτῶν *AHβ*. ‖ φθαρτῦ ... φθαρτὸν] φθαρτῶν ... φθαρτῶν libri cum *β*. ‖ 17 φθαρτὸν *H*: φθαρτῶν *Bβ*. ‖ *hoc corruptibile non amplius esse β*. ‖ 23 πλείας *H*. ‖ 26 ἐν ἑαυτῷ om *β*. ‖ 28 *uniuersales β*. ‖ 29 ὐνοῖς h. e. ὐρανοῖς *H*. ‖ πῶς *C quod β*: om *AH*. ‖ 31 πορίσματα] πράγματα libri cum *β*. ‖ 33 τῷ Διὶ] τῳδί *β*. an τῷ δημιυργῷ? sed cf. p. 851 b2. 862 a31. ‖ 36 τὴν om *AH*. ‖ 37 *permittit β*.

1 ἀκριβῶς ἀπὸ τῦ *A* ceteris omissis. ‖ διαδίδωσι *H*: δίδωσι *Cβ*. ‖ 2 θεωρεῖν *H*: θεωρῶν *Cβ*. ‖ προσεχὸς *H*. ‖ πρ'ς *H*: πατέρος *B*. ‖ 3 ἐκεῖνος *H*. ‖ 6 ἀκριβέςερον *BH*. ‖ 7 *quae in sensibili β*: τὰ om *BH*. ‖ 9 καλλίω om *β*. ‖ βελτίω om *H*, et olim ipse conieceram insiticium esse. ‖ 12 *quae a geometra considerare et β*. intercidit θεωρύμενα cf. p. 851 b7. ‖ 13 περίσ καὶ sic cum spatio IV aut V litterarum capace *C* πεὸς. καὶ *H*: unde apparet ex eodem utrumque librum fonte fluxisse. ‖ 16 ὧν δὴ *Cβ* ὦ δὴ *H* εἴδη *A*. ‖ 18 ἑαυτοῖς αἰτίοις *H*. ‖ 23 *omnino β*: πάντων *BH*. ‖ 24 ἔδει] *oportebit β*. ‖ 26 κέντρυ (*A*)*H*. ‖ ἐπισκέψασθαι *H*: ἐπίςασθαι *B annotare β*. ‖ 27 δόξαν εὐθύνει *AH*. ‖ 31 ἄρ'] γὰρ *AH*: om *Cβ*. ‖ 33 *in natura uniuersi β*. ‖ 35 ἐν *C*: ἐν τῷ *AH*. ‖ 36 ἔχει *BHβ*: correxi cum Bonitzio.

ἐπεὶ πρὸς τῇ τοῦ πράγματος ἀληθείᾳ καὶ τῶν ἐκ τῆς αὐτοῦ φιλοσοφίας ὁρμωμένων ἔστι πολλάκις ἀκούειν ὅτι τὸ κοινὸν ἐν τοῖς καθ' ἕκαστά ἐστι, καὶ οἱ Στωικοὶ δὲ τοὺς κοινῶς ποιοὺς πρὸ τῶν ἰδίως ποιῶν ἀποτίθενται· τί δὲ ἄλλο ἐστὶ τὸ ὁριστικὸν ἢ τὸ ἐν τοῖς καθ' ἕκαστα κοινὸν κατατεταγμένον; ὥστε εἰ ἔστιν ὁρίσασθαι ἥλιον ἢ οὐρανὸν ἢ σελήνην, κατ' ἐκεῖνο ἄν τις ὁρίσαιτο τούτων ἕκαστον, ὃ ὑπῆρχεν ἂν πᾶσιν ἡλίοις, εἰ καὶ μυρίοι ὄντες ὁμοειδεῖς ἦσαν ἀλλήλοις. ἔχει μὲν οὕτω τὰ πράγματα· ἴδωμεν δὲ εἴ τινα ἐκ τῶν λόγων αἰχύνην προσοφλισκάνουσιν οἱ λέγοντες ἕκαστον τῶν αἰσθητῶν ἔχειν ἐν ἑαυτοῖς τι καθόλου κατατεταγμένον. ἐρωτᾷ τοίνυν αὐτοὺς διὰ τί μὴ καὶ τὰ εἴδη ἐν τοῖς αἰσθητοῖς ἀποτίθενται. τὸ δὲ οἶμαι πρόχειρον ἐκείνοις εἰς διάλυσιν· φήσουσι γὰρ ὅτι τὰ εἴδη ἄυλά ἐστι καὶ χωριστὰ πάντῃ καὶ νοερὰ καὶ δημιουργικὰ καὶ ἑαυτῶν μόνως ὄντα τὰ πάντα γεννᾷ καὶ ὑφίστησι, τὰ δὲ οὕτω καθόλου σπεύδει πρὸς τὴν ὕλην καὶ ἐν ἑαυτοῖς μένειν οὐ δύναται, τῶν τε ἰδίως ποιῶν ὑποδοχαὶ γίγνονται καὶ μετ' αὐτῶν ἔχει τὸ εἶναι. πρὸς τούτῳ πῶς δύο σφαιρά, φησίν, ἐν ταὐτῷ δύναται εἶναι τόπῳ; οἱ δὲ οὐ φήσουσι τὸν καθόλου λόγον σφαιρὸν εἶναι, ἀλλὰ συντελεῖν μὲν καὶ αὐτὸν εἰς τὴν μίαν οὐσίαν τοῦ σφαιροῦ σώματος, οὐ μέντοι ἄλλο σφαιρὸν εἶναι παρ' ἐκεῖνο τὸ σῶμα. ὁ γοῦν Σωκράτης ἔχει μὲν ἐν ἑαυτῷ καὶ τὸν *κοινὸν* κατατεταγμένον ἄνθρωπον, ἔχει δὲ καὶ τὸν ἰδίᾳ ποιὸν καὶ οὐ δή που δύο ζῷα ἐν αὐτῷ ἢ δύο ἄνθρωποι ἢ δύο σφαιρά, ἀλλὰ πάντα ταῦτα συνεύει πρὸς μίαν ὑπόστασιν. ἀλλὰ πῶς, φησίν, ἔτι ἀκίνητα μένει ἐν κινουμένοις ὄντα; ἢ ἀκίνητα μὲν ἕως τὸ πρᾶγμα ὑφέστηκεν, ἐπεὶ μηδὲ οἱ ἰδίως ποιοὶ κινοῦνται τοῦ πράγματος ὑφεστῶτος, ἁπλῶς δὲ οὐκ ἀκίνητα ἐὰν ὦσιν ἐν κινητῷ πράγματι; συμφθείρεται γὰρ τῷ Σωκράτει καὶ ὁ ἐν αὐτῷ ἄνθρωπος καὶ ὁ ἰδίως ποιός. πρὸς ἅπασι δ' ἐρωτᾷ, τίς ἀνάγκη καὶ εἰσάγειν αὐτὰ καὶ εἰσάγοντας ἐν τοῖς αἰσθητοῖς ἀποτίθεσθαι· πρὸς ἃ ῥητέον ὅτι δεῖ τὰ αἰσθητὰ μιμήματα ὄντα καὶ εἰκόνας τῶν νοητῶν ἔχειν καὶ αὐτὰ τὸ περιληπτικώτερον καὶ κοινότερον πρὸ τοῦ εἰδικωτέρου καὶ μερικωτέρου· καθάπερ γὰρ ἐν τοῖς ἀύλοις εἴδεσιν ἀεὶ τὰ πολυδυναμώτερα καὶ ὁλικώτερα προηγεῖται τῶν μερικωτέρων καὶ ὑφειμένων, οὕτωσὶ καὶ ἐν τοῖς ὑλικοῖς πράγμασι προϋπόκειται τὸ κοινῶς ποιὸν τοῦ ἰδίως, ποίημα μὲν ὂν καὶ εἰκὼν τοῦ ὁλικωτέρου λόγου, χώρα δέ τις εἰδοποιουμένη καὶ ὑποδοχὴ τοῦ ἰδίως ποιοῦ. οὐδὲν οὖν θαυμαστὸν καὶ ἐν τῷ οὐρανῷ εἶναί τινα κοινὴν οὐσίαν οὐρανοῦ, καθ' ἣν ὁρισός ἐστιν ὁ οὐρανός, ἣν ἔχον ἄν, εἰ καὶ μυρίοι ἦσαν οὐρανοί, εἶναι δὲ καί τινα ὡς τοῦδε τοῦ οὐρανοῦ μορφήν τε καὶ ἰδιότητα.

"Περί τε .. αὐτῆς". ἣν μὲν ἐν τῇ ἐκθέσει τῶν προβλημάτων ἕκτον τῶν ἠπορημένων, τίνος ἐστὶ περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ ἐναντίου καὶ ἑτέρου καὶ ἀνομοίου διαλαβεῖν ἐπιστημόνως, καθάπερ ἐνδόξως τοῦ διαλεκτικοῦ· τοῦτο δὲ ὑπερβὰς νῦν ἴσως ἐπειδὴ τῷ ἐφεξῆς βιβλίῳ τῷ Γ λαμπρῶς ἔμελλεν ἀποφανεῖσθαι περὶ αὐτῶν ὡς τῷ πρώτῳ φιλοσόφῳ προσηκόντων (καὶ γὰρ πολλὴν μὲν διαπορίαν οὐκ ἐπεδέχετο τὸ σκέμμα, μᾶλλον δὲ ἀποφάσεως ἐδεῖτο καὶ βραχείας ἐπικρίσεως), ἢ ὅτι καὶ ἐν τῷ Ι τὴν τελευτάτην ἡμῖν αὐτῶν παραδώσει διδασκαλίαν· ταῦτ' οὖν ὑπερβὰς διά τινας τοιαύτας αἰτίας, ὃ ἐν τοῖς πρώτοις ἕβδομον ἔταξε, νῦν ἕκτον παραλαμβάνει καὶ ζητεῖ πότερον τὰ ἐνυπάρχοντα ἀρχαὶ τῶν πραγμάτων ἢ τὰ γένη· ἀπεκρινάμεθα δὲ ἤδη ποίας μὲν ἀρχὰς τὰ ἐνυπάρχοντα συμπληροῖ, τίνας δὲ τὰ γένη οὐ τὰ κατ' ἐπίνοιαν ὑστερογενῆ διαταττόμενα ἀλλ' ὅσα πρωτουργά ἐστι καὶ ἐν τοῖς ἀύλοις αἰτίοις ἵδρυται. ἀλλ' οὐδὲ τὰ Ἀριστοτέλους ὁρῶμεν ἔχοντά τι ἀσαφὲς ἐν τῇ ἐκθέσει τοῦ προβλήματος οὔτ' ἐν τῇ κατασκευῇ τοῦ τὰ ἐνυπάρχοντα εἶναι τὰς ἀρχάς· ὅθεν ἐπὶ τὰ ἑξῆς μετίωμεν, ἐν οἷς τὰ γένη φησὶν εἶναι μᾶλλον ἀρχάς. "εἰ δὲ ἕκαστον .... τὰ γένη". ὅτι μὲν ἕκαστον γνωρίζομεν διὰ τῶν ὁρισμῶν, ἐστί πως ἀληθές· ἀλλὰ πῶς ἀρχαὶ τὰ γένη τῶν ὁρισμῶν, εἰ μὴ ἄρα ὡς ἐνυπάρχοντα τοῖς ὁρισμοῖς; οὐκοῦν καὶ διὰ τοῦτο ἀποδείκνυμεν, ὅτι τὰ ἐνυπάρχοντα μᾶλλον ἀρχαὶ ἢ ἄλλο τι· εἰ γὰρ καὶ τὰ γένη διὰ τοῦτο ἀρχαί, ὅτι ἐνυπάρχουσι τοῖς ὁρισμοῖς, κἂν θέλωμεν κατασκευάζειν ὡς ἔοικεν, ὅτι ἄλλο τί ἐστιν ἀρχὴ παρὰ τὰ ἐνυπάρχοντα, καταντῶμεν πάλιν ἐπὶ τὰ ἐνυπάρχοντα. εἰ μὴ ἄρα οὕτως ἀρχαὶ τὰ γένη τῶν ὁρισμῶν, ὅτι εἴδη μὲν οἱ ὁρισμοί, τὰ δὲ γένη τῶν εἰδῶν κατηγορεῖται. ἀλλ' εἰ μὴ τὰ ὑστερογενῆ καὶ ἐπιγεννηματικὰ τῶν γενῶν δεχόμεθα, πῶς ἂν αὐτὰ τῶν εἰδῶν ἀρχὰς ἢ τῶν ὁρισμῶν λέγοιμεν; εἰ δὲ τὰ ἐν τῷ παντὶ προεστῶτα τῆς κατ' εἴδη τῶν ὄντων διακοσμήσεως θεωροίημεν, ἴσως ἂν οὕτως ἐπ' ἀρχὰς ἀληθεστέρας ἐπιβαίνοιμεν. "καὶ εἰ .. εἰσίν". εἴρηται ποῖα γένη

998a 20.

998b 4.

998b 6.

3 τοὺς κοινοὺς π. *A communia qualia* β. ‖ πρὸ *Cβ*: πρὸς (*A*)*H*. ‖ 4 ἰδίων *BHβ*: correxi cum Bonitzio. ‖ 5 ἥλιον *H*: τὸν ἥλιον *B*. ‖ 7 ἥλιος *AH* om β. ‖ 8 εἴδωμεν (*A*)*H*. ‖ 10 τί (*A*)*H*. ‖ 17 φησὶν *CH* φὴς *Aβ*. ‖ 19 τοῦ om *AH*. ‖ 20 οὐ μέντοι .... σῶμα om β. ‖ τὸ *CH*: om *A*. ‖ 21 κοινὸν inserui cf. l. 5. 10. p. 851 b35. ‖ 22 οὐ δήπου *Hβ*: οὐδέ που *B*. ‖ 24 φησὶν (Ar. p. 998 a14): φασὶν *BHβ*. fuit qui φασὶν ὅτι coniceret. ‖ ἀκίνητα *Hβ*: ἀκίνητα ἀκίνητα *B*. ‖ 25 μὲν] μένει β inepte. ‖ 26 ποιοὶ *CH*: κοινοὶ *Aβ*. ‖ ἁπλῶς .... 27 πράγματι om β. ‖ 27 ἐν κινητῷ (fort. add. τῷ): ἐν γένει τῷ libri. ‖ 28 scr. aut ὁ αὐτοάνθρωπος aut ὁ ἐν αὐτῷ αὐτοάνθρωπος. ‖ 29 fort. εἰσαγαγόντας. ‖ 31 τὰ περιληπτικώτερα *BHβ*. ‖ 32 κοινότερα β. ‖ πρὸς *BHβ*: correxerunt Brandisius et Bonitzius. ‖ μερικωτέρου *AH*. ‖ 33 πολυδυνατώτερα libri *multipotentiora* β. ‖ 36 χωρὶς δὲ *Hβ*.

2 ἔστιν οὖνδο· *H*. ‖ 3 μόριοι *H*. ‖ καὶ τὴν ὡς *BHβ*. ‖ 4 *et proprietatem* β: καὶ ἀιδιότητα *BH*. ‖ 6 περὶ ταὐτοῦ] *de his* β. ‖ 8 τοῦτο] τούτω *BH haec* β. ‖ 9 ἔμελεν *BH*. ‖ 11 ἐπιδέχεται *AHβ*. ‖ 13 παραδίδωσι *A*. ‖ διδασκαλία *H*. ‖ 14 τινας ταύτας *H*. ‖ πρώτοις p. 863 b28. 864 b8, 860 b7. 862 b25. ‖ 16 ἤδη p. 840 b7—22. ‖ 17 τὰ ὑπάρχοντα (*A*)*H*. ‖ 18 *quae .... perordinantur* β: διαπλαττόμενα *BH*. ‖ 19 *in immaterialibus causis* β: ἐν τοῖς ὅλοις αἰτίοις *BH*. ‖ 20 τῇ om *AH*. ‖ 22 ἐπὶ] ἐστὶ *H*. ‖ *in quibus dicam* β. ‖ εἶναι om *AH*. ‖ 24 ἐστὶ πῶς (*A*)*H*. ‖ 25 ὡς] καὶ *H*. ‖ 26 *et per haec* β. ‖ 27 εἰ γὰρ .... 28 ὁρισμοῖς om β. ‖ διὰ τούτων *A* ‖ 28 καὶ θέλοιμεν *H*. ‖ 29 ὅτι em. Bonitzius: ἔτι *B* ἢ τὶ *H* εἰ (*si aliquid est*) β. ‖ τι post ἄλλο om *H*. ‖ 30 ὑπάρχοντα *AH*. ‖ οὕτως om β. ‖ 32 ἐπιγενηματικὰ *BH*.

998b 9. τῷ ὄντι τῶν εἰδῶν αἰτιά εἰσι καὶ ἀρχαί. "φαίνονται .. χρῆται". οἱ τὲ ἓν ἢ τὲ ὂν ἢ τὴν ἀόριστον δυάδα τῶν ὄντων ἀρχὰς εἶναι λέγοντες καὶ τελεσιουργοὺς αὐτὰς παρεδίδοσαν, ἐκ μὲν τοῦ ἑνὸς τἀγαθὸν ἐφίκνεῖν τοῖς πᾶσιν ἐθέλοντες, ἐκ δὲ τοῦ ὄντος τὲ εἶναι, ἐκ δὲ τῆς ἀορίστου δυάδος τάς τε δυνάμεις καὶ τὰς ἐνεργείας καὶ τὰς κινήσεις καὶ προόδους καὶ αὐξήσεις παντοδαπάς, καὶ οὐδὲν εἶναι τῶν ὄντων ὃ μὴ μετέχει τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος καὶ τοῦ ὄντος καὶ ὑπ' αὐτῶν ἀπογεννᾶται. εἰ οὖν διὰ τοῦτο γένη τις αὐτοὺς ἐθέλοι ταῦτα τῶν πάντων ὀνομάζειν, φθόνος οὐδεὶς τῶν ὀνομάτων. εἰπὼν δὲ δι' ἃς αἰτίας τὰ ἐνυπάρχοντα μᾶλλον ἀρχαὶ ἢ τὰ γένη καὶ μάρτυρι τῷ Ἐμπεδοκλεῖ χρησάμενος, ἐρεῖ τὰς αἰτίας δι' ἃς τὰ γένη μᾶλλον ἢ τὰ ἐνυπάρχοντα, καὶ τοὺς Πυθαγορείους καὶ Πλάτωνα συνηγόρους ταύτης τῆς δόξης παρασησάμενος νῦν λοιπὸν λέγει ὅτι ἀνάγκη τοὺς ἑτέρους κρατεῖν· ἄμφω γὰρ ἀληθεύειν οὐ δύναται. ἡμεῖς δὲ προείπομεν ὅτι ἄλλοτε
998b 11. ἄλλων ἀρχῶν λαμβανομένων δύνανται ἄμφω ἀληθεύειν. "ἀλλὰ .. ἐνυπαρχόντων". ὅτι εἷς ἐστιν ἑκάστου τῶν εἰδῶν ὁ κυριώτατος ὁρισμός, ἔδειξεν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς, καὶ ὅτι οὗτος πάντως διὰ τῶν γενῶν. ὥστε ταύτην ἂν μᾶλλον κατὰ τὴν αὐτοῦ δίαιταν ἀρχαὶ τὰ γένη λέγοιντ' ἄν. εἰ γὰρ ἐκ τῶν γενῶν ὁ ὁρισμός (καὶ γὰρ αἱ διαφοραὶ γενικαί, ὡς τὲ εἶδος), ἐξ ὧν δὲ ὁ ὁρισμός, ταῦτα ἀρχαί. τὰ γένη ἂν εἶεν ἀρχαί. εἰ μὴ ἄρα καὶ οἱ τἀναντία πρεσβεύοντες τὰ γένη καὶ τὰς διαφορὰς ἐξ ὧν οἱ ὁρισμοὶ στοιχεῖα τοῦ εἴδους ἐπιδεικνύουσι μένοντα καὶ ἐνυπάρχοντα τῷ εἴδει ὡς ἐν αὐτῷ κατατεταγμένα, ἀλλ' οὐχ ὡς ἐξηρημένα τῶν εἰδῶν οὐδ' αἴτια αὐτῶν ὄντα ποιητικὰ ἢ τελικά· οὕτω δ' ἂν τὰ ἐνυπάρχοντα πάλιν ἀρχαί. ἀλλ' ἡ μὲν λογομαχία τοιαύτη, τὸ δὲ ἀληθὲς προείρηται, παρ' οὗ καὶ τὴν δίαιταν τοῖς ἀμφισβητοῦσι λόγοις πορίστέον.

998b 14. "Πρὸς δὲ .... ἀτόμων". ὄγδοον μέν ἐστι τοῦτο κατὰ τὴν διανομὴν τῶν προβλημάτων, ἕβδομον δὲ νῦν γυμνάζεται διὰ τὸ παρεῖναι τὸ ἕκτον. ἤδη δὲ καὶ περὶ τούτου προείπομεν, καὶ ληπτέον ἐκεῖθεν τὴν ἀλήθειαν τοῦ δόγματος, νυνὶ δὲ τὴν ἰσχὺν τῶν μαχο-
998b 17. μένων λόγων θεωρήσωμεν. "εἰ μὲν .. ὄντων". περὶ μὲν ἀνυπαρξίας τῶν καθόλου καιρὸς οὐδετέροις εἴη ἂν λέγειν· ἑκάτεροι γὰρ ἀξιοῦσιν εἶναι τὰ καθόλου καὶ οἱ τὰ γενικώτατα κοσμεῖν τῷ τῶν ἀρχῶν ἀξιώματι σπουδάζοντες καὶ οἱ τὰ εἰδικώτατα μᾶλλον εἰς ἀρχῆς θέσιν ἐπιτηδειότερα νομίζοντες εἶναι. λοιπὸν δὲ ὁ τῶν γενικωτάτων προϊστάμενος λόγος, ἐπειδὴ τῆς ἀρχῆς ἡ ἔννοια καὶ τὸ ἀιδιώτατον ἔχει καὶ τὸ ἄυλον καὶ περιληπτικώτατον τῶν ὄντων καὶ τὸ τῶν τελευταίων ἐξηρημένον καὶ χωριστόν, ἀξιοῖ τὸ μᾶλλον καθόλου μᾶλλον εἶναι ἀρχήν, τὸ δὲ γενικώτατον τοιοῦτον εἶναι, διὸ καὶ λέγεται κατὰ πάντων ὡς μιᾷ φύσει πάντα περιλαμβάνον καὶ πᾶσι παρεῖναι δυνάμενον χωριστῶς. εἰ δὴ τοῦτο κρατοίη, τοσαῦται μὲν ἔσονται ἀρχαὶ ὅσα τὰ γενικώτατα, εἴτε δέκα ταῦτ' εἴη εἴτε ἓξ εἴτε πέντε· εἴτε καὶ δύο, κινδυνεύει κρατῆσαι ἡ πρεσβεύουσα δόξα τὸ ἓν καὶ τὸ ὄν· οὐ γὰρ ἐστι τῶν ὄντων οὐδὲν καθ' οὗ τούτων ἑκάτερον οὐ ῥηθήσεται. ταῦτα μὲν ὁ τούτων μῦθος· ὁ δὲ ἀνταγωνιζόμενος αὐτοῖς λόγος πρῶτον μὲν ἐπιχειρήσει ταῦτα δεῖξαι μὴ γένη, λέγων δὲ τὸ ὂν καὶ τὸ ἕν· ἔπειτα μηδὲ ἀρχάς, κἄπειθ' ὅτως ὅτι οὐδ' ἄλλα γενικώτατα ὄντα τῇ φύσει· τὸ γὰρ ὂν καὶ τὸ ἓν οὐ γενικώτατα, εἴπερ γε οὐδὲ γένη. ὅτι οὖν οὐδὲ τὰ ὄντως γενικώτατα ἀρχαὶ ἂν εἶεν, κατασκευάζει· ἄρχεται δὲ ἐντεῦθεν· "οὐχ οἷόν τε .. τὸ ὄν". πῶς μὲν περιληπτικωτάτας 998b
τῶν ὄντων ἀρχὰς ἔλεγον οἱ πάλαι τὸ ἓν καὶ τὸ ὄν, εἴρηται· νυνὶ 22.
δὲ ὅτι τὴν τῶν γενῶν τῶν ἐπιγεννηματικῶν ἰδιότητα οὐ δέχεται ταῦτα, δείκνυσιν ὁ λόγος. ἐπιχειρεῖ δὲ ὅτως· τὸ ἓν καὶ τὸ ὂν τῶν διαφορῶν κατηγορεῖται, τὰ εἴδη καὶ τὰ γένη τῶν διαφορῶν οὐ κατηγορεῖται, τὸ ἓν καὶ τὸ ὂν οὔτε γένος οὔτε εἶδός ἐστιν. ἑρμηνεύει δὲ ταῦτα τοῦτον τὸν τρόπον. "ἀνάγκη ... ἑκάστην". τουτέστιν 998b
ἀνάγκη τὸ ἓν καὶ τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖσθαι. ἀδύνατον 23.
998b
... εἰδῶν". ὡς εἰ ἔλεγεν, ἀδύνατον δὲ ἢ τὸν ἄνθρωπον ὅλου 24.
τοῦ λογικοῦ κατηγορεῖσθαι (οἰκεία γὰρ αὐτοῦ καὶ εἰδοποιὸς αὕτη διαφορά· πῶς δ' ἂν τοὐλαττον τοῦ ἐπὶ πλέον ἐκτεινομένου κατηγορεῖτο;) ἢ τὸ ζῷον ἔξω που τῆς ἀνθρώπου φύσεως κειμένου τοῦ λογικοῦ κατ' αὐτοῦ ῥηθῆναι· οὗ τ' οὖν ἄνθρωπος, ὅς ἐστιν εἶδος γένους, κατὰ τῆς ἑαυτοῦ ῥηθείη ποτ' ἂν διαφορᾶς, οὔτε τὸ ζῷον, μὴ κατηγορούμενον τοῦ ἀνθρώπου, ἰδίᾳ τοῦ λογικοῦ ποτ' ἂν κατηγορηθείη. ἀλλὰ μὴν τὸ ἓν καὶ τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖται, οὔτ' ἄρα εἶδος τῶν ὄντων τινός, οὔτε γένος τὸ ἓν καὶ τὸ ὄν· ὡς' εἴπερ γένος τὸ ἓν ἢ τὸ ὄν, οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται. εἰ δέ τις ἐκ παντὸς γλίχοιτο λέγειν εἶναι γένη τό τε ἓν καὶ τὸ ὄν, ἔπεται αὐτῷ μηδεμιᾶς διαφορᾶς ταῦτα κατηγορεῖν· ὃ καὶ ἄτοπόν ἐστι καὶ τῆς ὑποθέσεως τῶν πρεσβευόντων αὐτὰ λίαν ἀνατρεπτικόν· οὐκέτι γὰρ ἔσται γενικώτατον τὸ ἓν καὶ τὸ ὄν, οὐδὲ πάντων κατηγορηθήσεται. ταῦτα μὲν ἐπιχειρηματικῶς νῦν ὁ Ἀριστοτέλης διαλέγεται. χρὴ μέντοι εἰδέναι ὅτι πᾶς ὁ τῶν δια-

4 ἐθέλοντας *H*. ‖ 8 ἀπογεναῦται (*A*)*H*. ‖ 9 αὐτὲς] *ipsa β*. ‖ 12 τὰς αἰτίας τὰς δι' *BH*: alterum τὰς expunxi. ‖ 14 λέγει om *H*. ‖ 18 anal. post. II 8sq. ‖ 20 ἀρχὰς *H*. ‖ λέγοιτ' ἂν *A*. ‖ 21 γενικαὶ] γενητικαὶ *B* γένη τινὰ *Hβ*, unde fuit qui γένη τινὰ ὡς πρὸς τὸ εἶδος coniceret. ‖ 27 ἀρχὰς *H*. ‖ 28 παρὰ καὶ τὴν *H*. ‖ 29 τοῦτο] τοῦτο *H*. ‖ 30 διανομὴν] δύναμιν *BHβ*. ‖ 33 ἐκεῖθεν: p. 840 b22. ‖ 34 καιρὸς om *β*. ‖ ἂν εἴη *H*. ‖ ἑκάτερον *H*. ‖ 36 ἀξιώματι] fort. ὀνόματι.

1 τὸ ante ἀιδ. om *Aβ*. ‖ 4 κατὰ om *H*. ‖ μία φύσει *H*. ‖ παρελάμβανον *C*. ‖ 6 δέκα ταῦτα *H* δὲ κατ' αὐτὰ *A*. ‖ 7 εἴτε δύο *AHβ*. ‖ καὶ ante κινδυνεύει addendum putabant Brandisius et Bonitzius. ‖ κρατήσειν *CH*. ‖ 10 λόγοις *Aβ*. ‖ 11 λέγω .. ἓν post ἀρχὰς collocat *β*. ‖ λέγει *H* λέγειν (*A*). ‖ 12 *deinde etiam eodem modo β*. ‖ ὄντων τῇ *AHβ*. ‖ 13 ὅτι οὖν δὲ *H*. ‖ 14 ὄντων *β*. ‖ fort. κατασκευάσει. ‖ 15 μὲν ληπτικωτάτας *BH*: ex *β* correxi cum Bonitzio. ‖ 16 ἀρχὰς καὶ ἔλεγον *AH*. an κατέλεγον? ‖ 17 ἐπιγενηματικῶν *BH*. ‖ οὐκ ἐνδέχεται *AH*. ‖ 23 ὡσεὶ *H*. ‖ 23 sq. cf. Alex. p. 160, 25. ‖ ἢ] εἰ *H*. ‖ 24 αὕτη om *AHβ*. ‖ 25 κατηγορεῖτο *H*. ‖ 26 *aut animal de rationali extra naturam hominis possit praedicari β*. ‖ φύσεως· νόμου τοῦ cum spatio uacuo *H*. ‖ 32 ὡς' εἴπερ ..... 34 καὶ τὸ ὂν om *A*. ‖ ἢ] καὶ *H*. ‖ 38 *disputat β*: διαλέξεται *BH*.

φορῶν λόγος ἐπιδιορθώσεως χρήζει παρὰ τούτοις τοῖς ἀνδράσιν· ὅτε γὰρ πόθεν ἐπεισίασιν εἰς τὴν εἰδοποιίαν, ἐπειδὴ τοῖς γένεσιν ἅ φασιν ἐνυπάρχειν αὐτάς, διδάσκουσιν ἡμᾶς, ὅτε πῶς ἔτι δύναται τὸ γένος κατὰ παντὸς τοῦ εἴδους λέγεσθαι μὴ περιέχον τὰς διαφοράς, ἀξίως λόγου παρέχησαν, ὅτε τὰς διαφορὰς τῶν γενῶν ἐπισκεψάμενοι τάς τε κατὰ τὸ ἀκατάτακτον καὶ τὰς κατὰ τὸ τεταγμένον, τάς τε κατὰ τὸ πρεσβύτερον τῶν εἰδῶν καὶ τὰς κατὰ τὸ νεώτερον ἱκανῶς διείλοντο, ποῖα μὲν ἔχει τῶν γενῶν καὶ ἐνεργείᾳ τὰς διαφοράς, ποῖα δὲ ὡς ἐν ὕλης λόγῳ προϋποβέβληται τοῖς εἴδεσι, καὶ ποῖα μὲν τὴν πρωτοργὸν αἰτίαν αὐτῶν παρειληφότα πᾶσαν αὐτῶν παράγει τὴν σύγχυσιν, ποῖα δὲ μιμούμενα τὰς ὄντως αἰτίας τῶν εἰδῶν κατηγορεῖσθαι μόνον κατ' αὐτῶν πέφυκεν. ἀλλὰ καὶ ἂν καθεὶς εἰς τὴν περὶ τούτων σκέψιν ὁ Ἀλέξανδρος δοκεῖ θεραπείαν ἐπινενοηκέναι τῷ δόγματι, πασῶν ἐστιν ὡς οἶμαι δοξῶν ἀλλοκοτωτάτη. φησὶ δὲ τῶν μὲν δένδρων εἰ τύχοι μὴ εἶναι τὰς διαφορὰς ἐν τῷ φυτῷ, μηδὲ τὰς φυτῶν ἐν τῷ ἐμψύχῳ σώματι μηδὲ τὰς τούτων ἐν σώματι, πάσας μέντοι ἐν τῇ οὐσίᾳ εἶναι τὰς τῶν οὐσιῶν, καὶ τὸ μὲν ζῷον μὴ ἔχειν τὰς ἀνθρώπου διαφορὰς μηδὲ τὰς ζῴου τὸ ἔμψυχον σῶμα, τὴν δὲ οὐσίαν πάσας τὰς τῶν ζῴων καὶ τῶν ἐμψύχων σωμάτων. καίτοι εἰ διὰ τοῦτο τὸ ζῷον οὐκ ἔχει τὰς τῶν ὑπ' αὐτὸ εἰδῶν, ἵνα μὴ ἄλογον ἅμα καὶ λογικὸν ἢ καὶ θνητὸν καὶ ἀθάνατον ἐνεργείᾳ, πῶς οὐχὶ περὶ τὴν οὐσίαν πάλιν ταῦτα συμβήσεται; πῶς δὲ διαιρῶν τὴν οὐσίαν οὐχὶ καὶ εἰς τὰς διαφορὰς αὐτὴν διαιρεῖς, ἀλλ' εἰς μόνα τὰ εἴδη; διὰ τί οὐχ ἕξει τὸ ζῷον τοῦτον τὸν λόγον πρὸς ἄνθρωπον, ὃν ἡ οὐσία πρὸς αὐτό; ὥστε εἴπερ ἡ οὐσία κατηγορεῖται τῶν εἰδοποιουσῶν τὸ ζῷον διαφορῶν, καὶ τὸ ζῷον τῶν τοῦ ἀνθρώπου κατηγορηθήσεται. ἔτι δὲ εἰ κατὰ τῶν διαφορῶν ἡ οὐσία, εἴδη αὐτῆς αἱ διαφοραί· ὥστ' ἔξουσι καὶ αὗται διαφοράς, αἷς χωρίζονται τῶν ἄλλων οὐσιῶν. πᾶν γὰρ εἶδος ὑπὸ γένος ταττόμενον ἐξ αὐτοῦ καὶ διαφορῶν ὑφέστηκε, καὶ εἰ μὴ αἱ διαφοραὶ τῶν διαφορῶν ὑπὸ τὴν οὐσίαν, ἐπ' ἄπειρον ὁδεύσομεν· πάλιν γὰρ εἴδη καὶ αὗται οὐσιῶν, καὶ ἔξουσιν ἄλλας διαφοράς· εἰ δὲ μὴ οὐσίαι, πόθεν ἐπεισίασι ταῖς οὐσίαις; οὐ γὰρ δὴ ἀπ' ἄλλης κατηγορίας οὐδ' ἀπὸ ταὐτομάτου. πῶς δὲ τοῦ Ἀριστοτέλους ἐν τούτοις λέγοντος ὅτι τὸ γένος οὐ κατηγορεῖται τῶν διαφορῶν χωρὶς τοῦ εἴδους, τὰς μὴ οὔσας διαφορὰς ἐν τοῖς εἴδεσι τῆς οὐσίας καθ' αὐτὰς ἐν τῇ οὐσίᾳ φαμὲν εἶναι; Καὶ ταῦτα μὲν αὐτοῦ που καταβεβλήσθω, τάχα καὶ πέρα τοῦ μετρίου παρ' ἡμῶν ἐξεταζόντα· τοσοῦτον δὲ πάλιν ἐπειπόντες ὅτι διαρθρωτέον τὸν περὶ τῶν διαφορῶν λόγον ταραχωδέστερον διατεθέντα παρ' αὐτοῖς, μετίωμεν ἐπὶ τὰ ἑξῆς. "ἀλλὰ .... γένη". εἰ μόναι ἀρχαὶ τὰ γένη, 998b
27.
συναγεται ἐν δευτέρῳ σχήματι, πᾶσα ἀρχὴ γένος, τὸ ἓν καὶ τὸ ὄν οὐ γένος, τὸ ἓν καὶ τὸ ὄν οὐκ ἔστιν ἀρχή. εἰ μέντοι μὴ πᾶσα ἀρχὴ γένος, ἀλλὰ τὶς ἀρχὴ γένος, μερικὸν ἔσται καὶ τὸ συμπέρασμα. "ἔτι ... οὐ δοκεῖ". εἰ τὰ πάντα, φησί, κατηγορούμενα 998b
28.
οἷον τὸ ἓν καὶ τὸ ὄν γένη καὶ διὰ τοῦτο ἀρχαί, καὶ πάντα τὰ μεταξὺ αὐτῶν καὶ τῶν ἀτόμων εἰδῶν, ἃ δὴ καὶ ὑπάλληλα καλοῦμεν, δίκαιον γένη καὶ ἀρχὰς προσαγορεύειν· νυνὶ δὲ οὐ πάντα τὰ μεταξὺ γένη καλεῖν ἀξιοῦσι· τὰ μὲν γὰρ ὠνομασμένα γένη προσαγορεύουσιν ὄρνιν ζῷον σῶμα, τὰ δὲ ἀνώνυμα, οἷόν ἐστι τὸ ζῷον πτηνὸν ἢ ζῷον ὑπόπουν, οὐκέτι γένη κεκλήκασιν, ἐπειδὴ διὰ δυοῖν ὀνομάτοιν σημαίνει· πάλιν ὅταν ἀντιφάσει διαιρῶσι τὰ γένη, ἐκ μὲν τῆς καταφάσεως καὶ τοῦ γένους ποιοῦσιν εἶδος, ὅπερ ἐστὶ γένος τῶν μετ' αὐτό, ἐκ δὲ τῆς ἀποφάσεως οὐκέτι· διελόντες γὰρ εἰ τύχοι τὸ ζῷον τῷ ἄποδι καὶ ὑπόποδι, ζῷον μὲν ὑπόπουν ἀναμφισβητήτως ἐποίουν, εἰ δὲ καὶ τὸ ἄπουν οὐδύνατο εἶναι εἰδοποιόν, ἐπεσκέπτοντο· πῶς οὖν οὐχὶ μαχόμενα πρὸς ἑαυτοὺς διατάττονται; ταῦτα δὲ ἐπὶ μὲν τοῦ παρόντος εἴτε σπουδάζων εἴτε λογικῶς ἐπιχειρῶν ὁ Ἀριστοτέλης λέγει, σκοπεῖν ἔξεστι μὲν κοινῶς. ὅτι δὲ καὶ ἐν τῷ πρώτῳ τῆς Περὶ μορίων ζῴων τὰ αὐτὰ ταῦτα τῇ Πλάτωνος ἐγκαλεῖ διαιρετικῇ, σαφές ἐστι τοῖς ἐκείνων μὴ ἐπιλελησμένοις. "πρὸς δὲ .. τιθῇ ὡς ἀρχήν". *τοῦτο* κατὰ τοῦ 998b
30.
τὰ γενικώτατα φάσκοντος ἀρχὰς εἶναι δόγματος. εἰ γὰρ τὰ γένη ἀρχαί, πολλῷ πλέον αἱ διαφοραί· ὕλης μὲν γὰρ λόγον ἔχει τὰ γένη, τοῦ δὲ εἴδους αἱ διαφοραί, μᾶλλον δὲ τῆς ὕλης τὸ εἶδος ἀρχή· εἰ οὖν τὰ γένη, πολλῷ πλέον αἱ διαφοραί· εἰ δὲ καὶ αἱ διαφοραὶ ἀρχαί, κεδὸν ἄπειροι αἱ ἀρχαί· ἐὰν γάρ τις ἐννοήσῃ τὰ ὑπὸ τὴν οὐσίαν εἴδη καὶ ὅτι τῶν εἰδῶν πλείους αἱ διαφοραί, εἴσεται ὅτι πάντως μὲν ἡμῖν ἄγνωστοι διὰ πλῆθος· τίς γὰρ βοτανῶν καὶ λίθων καὶ δένδρων καὶ ζῴων ἁπάντων ἐπεξελθεῖν ταῖς ἐξαλλαγαῖς δυνήσεται; κινδυνεύουσι δὲ καὶ τῇ οἰκείᾳ φύσει πλησίον εἶναι τοῦ ἀπείρου· χρὴ δὲ τὰς ἀρχὰς ἀριθμῷ μὲν ἐλαχίστας εἶναι, δυνάμει δὲ τῶν ὅλων γεννητικάς τε καὶ περιληπτικάς. ταῦτα μὲν ὁ τούτων οὗθλος· εἰ δὲ ἐν ταῖς γενικωτάταις αἰτίαις πάσας ἑνιαίως τὰς διαφορὰς περιέχεσθαι λέγοι τις, φεύξεται καὶ τὸ πλή-

1 χρήζειν *H*. ‖ 3 αὐτὰς om *β*. ‖ 4 περιέχων *H*. ‖ 5 τὰς om *H*. ‖ 6 τὸ τεταγμένον *H*. ‖ 10 *praeassumentia β*: scr. προειληφότα cum Bonitzio. ‖ 11 πᾶσαν αὐτῶν] *παο'* αὐτῶν fuit qui coniceret, sed cf. p. 855 b6. 17. ‖ παράγει *C demonstrant β*: παρὰ *AH*. ‖ 13 Alex. p. 161, 30 sq. ‖ 15 ἀλλοκωτάτην *BH*. ‖ 17 ἀψύχῳ *AH*. ‖ 19 μηδὲ *Cβ*: μὴ *AH*. ‖ 21 ὑπ' αὐτῷ *A*. ‖ 23 fort. πάλιν ταὐτὰ. ‖ 25 μονάδα τὰ *AH*. ‖ 26 πρὸς αὐτό om *β*. ‖ 29 καὶ αὗται om *H* καὶ αὐταὶ *β*. ‖ 30 ὑπὸ γένους *A*. ‖ 31 αἱ om *AH*. ‖ 32 ὁδεύσομεν *Hβ*: ὁδεύσωμεν *B*. ‖ 38 αὐτοῦ *Cβ*: αὐτός *H* αὐτά *A*. ‖ καταβεβλῆσθαι (*A*)*H*.

6 εἰ μέντοι μὴ *C*: οὐ μέντοι μὴ *H* οὐ μέντοι *Aβ*. ‖ 7 ἀλλὰ τὶς ἀ. γ. om *H*. ‖ 13 σῶμα δὲ (om τὰ) *H*. ‖ ἐστι ζῷον *AH*. ‖ 15 ὀνομάτοιν *H*: ὀνομάτων *B*. ‖ 17 οὐκ ἔστι *H*. ‖ 18 καὶ ὑπόποδι om *H*. ‖ 19 τὸ om *H*. ‖ 20 ἐπισκέπτοντο *H*. an ἐνίστατο? ‖ μαχόμεθα (*A*)*H*. ‖ 21 fort. ταῦτα δή. ‖ 22 κοινῶς] an καὶ ὡς? ‖ 23 Ar. π. ζ. μορ. 1 3. ‖ 25 τοῦτο inserui: spatium quinque litterarum uacuum reliquit *C*, *H*. ‖ *Secundum eos qui dicunt generalissima esse principia.* si (γὰρ om) *genera β*. ‖ κατὰ *β*: καὶ *BH*. ‖ τοὺς *β*. ‖ 26 φάσκοντας *Hβ*. ‖ 27 ὕλης μὲν γὰρ .... 29 διαφοραί om *AHβ*. ‖ 30 ἄπειροι ἀρχαί *H*. ‖ 33 ταῖς ἐξαλλαγαῖς: Boisson. ad Marinum p. 118. ‖ 36 fort. τῶν πολλῶν. ‖ γενητικὰς libri. ‖ 38 ἑνιαίας *BH* *singulares β* cf. ad M p. 1076 b11 καὶ διακεκριμένως ὑπάρχειν ταῦτα καὶ ἡνωμένως.

θος τῶν ἀρχῶν τὲ κατ' ἀριθμὸν καὶ οὐδὲν ἀναίτιον ἐρεῖ τῶν ἐν
999a 1. τῷ κόσμῳ γίγνεσθαι. "ἀλλὰ ... ἀνθρώπων". ὁ λόγος τὲ
εἶδος τὲ ἄτομον ὡς ἀδιαίρετον ὂν καὶ μᾶλλον ἓν βούλεται λέγειν
ἀρχὴν ἤπερ τὲ γένος· διαιρετὲν γάρ φησι τοῦτο καὶ οὐ μᾶλλον ἓν
ἢ πολλά· διχῶς γὰρ γιγνομένης τῆς διαιρέσεως καὶ προτέρας γε 5
τῆς κατ' εἴδη (καὶ γὰρ τῶν πάντῃ ἀσωμάτων αὕτη οὐσιῶν καὶ τῶν
δέκα κατηγοριῶν, ἡ δὲ λοιπὴ ποσῶν μόνον), καθ' ἑκατέραν μὲν
τὲ διαιρούμενον ἧττόν ἐςιν ἓν τοῦ διαιρετοῦ, μάλιςα δὲ τὰ κατ'
εἴδος τεμνόμενα· πολλὰ γὰρ ὅλα ποιεῖ. τὰ μὲν οὖν γένη εἰς εἴδη
διαιρούμενα πλῆθος ἐν ἑαυτοῖς ἔχει, τὲ δὲ εἰδικώτατον οὐχ ὡς 10
γένος τῶν καθ' ἕκαςα κατηγορεῖται· διὸ μηδὲ τέμνεται εἰς
αὐτά, ἀλλ' ὡς εἶδος αὐτῶν ἄτομον συντίθησιν. ὅτως τὲ εἰδι-
κώτατον τοῦ γένους μᾶλλον ἕν, τὲ μᾶλλον ἓν μᾶλλον ἀρχή, τὲ
εἰδικώτατον τοῦ γένους μᾶλλον ἀρχή. παραλογίζεται δὲ ὁ λόγος
κατὰ τὴν ἐλάττονα πρότασιν· οὐ γὰρ δύναται τὲ πλησίον τῶν ἀπείρων 15
μᾶλλον ἓν εἶναι τοῦ πορρωτέρω αὐτῶν ἱδρυμένου· ὅλως δὲ οὐδ'
ὅτως διαιρεῖται τὲ γένος εἰς εἴδη ὡς δαπανηθῆναι εἰς τὴν τούτων
ὑπόςασιν, ἀλλὰ μένον ὃ ἔςι τὲ ἀληθὲς γένος ὑφίςησι τὰ εἴδη.
δυνάμει μὲν οὖν περιληπτικώτερον αὐτῶν ἐςι τὲ γένος, ἀριθμῷ δὲ
999a 6. ἐνικώτερον· τοῦτο δέ φαμεν προσήκειν ταῖς ἀρχαῖς. "ἔτι ... 20
ὕςερον". τὲ ἐπιχείρημα δοκεῖ μὲν ἀναιρεῖν τὴν ὑπόςασιν τῶν
γενῶν, ἵνα δὴ μόνα τὰ ἄτομα εἴδη καὶ ᾗ καὶ εἰς ἀρχῆς λόγον
παραλαμβάνηται. ὅτε μέντοι δρᾷ τοῦτο, καὶ εἴπερ οἷόν τε ἦν,
συνανῄρητο ἂν εὐθὺς ἔτι καὶ τὰ εἴδη τοῖς γένεσι· προσάλληλα
γὰρ ταῦτά ἐςί τε καὶ λέγεται. πῇ οὖν κατορθοῖ καὶ πῇ παραλογίζεται.
ὅτι μὲν ἐπὶ τῶν ὁμογενῶν εἰδῶν ἔςιν ἰδεῖν τό τε πρότερον καὶ τὲ
ὕςερον καὶ τὲ βέλτιον καὶ τὲ χεῖρον, κεδὸν ὁμολογούμενον ἂν εἴη καὶ
πρὸς ἡμῶν· καὶ ἵνα μὴ νῦν τὰ οὐράνια καὶ θεῖα καὶ ἀθάνατα καὶ
νοερὰ ζῷα τοῖς χερσαίοις καὶ ἐπικήροις καὶ φθαρτοῖς καὶ ἀλογω-
τάτοις παραβάλλων ὄχλον συνεισφέρω τῷ σκέμματι, περὶ
πάντων ἐκείνων ἀξιῶ σκοπεῖσθαι τὲν λόγον. εἴπερ αἱ διαφοραὶ
καθ' ἃς τὰς δυνάμεις διακρίνομεν τῶν εἰδῶν πρὸς τὴν τῶν
γενῶν ὑπόςασιν ὅτε ἰσότιμοί εἰσι καὶ τὰ πολλὰ τοῦ εἴδους καὶ σε-
ρήσεως ἔχουσι τάξιν πρὸς ἑαυτάς, πᾶσα ἀνάγκη καὶ τὰ εἴδη
διαφέρειν ἀλλήλων τῷ βελτίονι καὶ χείρονι καὶ τῷ προτέρῳ καὶ
ὑςέρῳ. τιμιώτερος γοῦν παρὰ τοῖς Πυθαγορείοις ὁ περιττὸς τοῦ
ἀρτίου καὶ ὁ κύκλος τῶν εὐθυγράμμων, ἔτι δὲ τὲ κυκλοφορούμενον σῶμα τοῦ εὐθυφορουμένου, καὶ τὰ ἄλλα πάντα κεδὸν ὅτως· οὐ μὴν διὰ τοῦτο τὰ εἴδη ταῦτα οὐ τάττεται ὑφ' ἓν γένος· εἴτε γὰρ μὴ ἐν τῷ γένει αἱ διαφοραὶ ἀλλ' ἔξωθεν ἐπεισίασι τοῖς εἴδεσι, δύναται τὰ εἴδη τὲ μὲν ταὐτὲν καὶ ὅμοιον ἔχειν ἐκ τοῦ γένους, τὲ δὲ πρότερον καὶ ὕςερον καὶ βέλτιον καὶ χεῖρον ἐκ τῶν διαφορῶν· εἴτε τὲ γένος καὶ τὰς διαφορὰς πάσας τῶν ἐν ἑαυτῷ περιέχοι, παράγει μὲν πολλὰ εἴδη τὰ μὲν ἑαυτῷ προσεχέςερα, τὰ δὲ μέσην ἔχοντα τάξιν ἐν τοῖς προϊοῦσιν ἀπ' αὐτοῦ, τὰ δὲ καὶ πρὸς τῇ τελευτῇ τῶν παρ' αὐτοῦ γεννωμένων διακοσμήσεων ἀναφαινόμενα, πᾶσί γε μὴν ἴνδαλμα ἑαυτοῦ ἐντίθησι καὶ χαρακτῆρα καὶ ἔμφασιν, δι' ἧς ἐπὶ τὴν μίαν αὐτῶν καὶ γενικωτάτην ἀρχὴν ἀναπέμπεσθαι δύναται. κατὰ δὴ τὴν μίαν ταύτην ἔμφασιν καὶ συνώνυμα εἶναι ἀλλήλοις οὐ κωλύει, καίτοι κατ' ἄλλας αἰτίας πολλὴν ἔχοντα πρὸς ἑαυτὰ διαφορὰν καὶ ἑτερότητα. κεδὸν οὖν εἰς τοὐναντίον ὁ λόγος περιέςη τοῖς ἐπιχειρήμασι σπουδάσασιν ἀνελεῖν τὴν τῶν γενῶν ὑπόςασιν· τὰ μὲν γὰρ δέδεικται διὰ ὑπερβάλλουσαν δύναμιν γονιμωτάτην τε αἰτίαν καὶ πρῶτα καὶ μέσα καὶ τελευταῖα παράγοντα τῶν εἰδῶν· τὰ δὲ κατὰ τῶν ἀτόμων εἴδη λεγόμενα μικροῦ καὶ αὐτὰ ἄτομα γεγενῆσθαι διὰ τὲ μὴ πόρρω τῆς ὕλης τετάχθαι, φύσει οὔσης ἀγόνου καὶ τὰ πλησιάσαντα αὐτῇ ςενοχωρούσης καὶ ἐπὶ πλῆθος εἰδητικῶν δυνάμεων οὐ συγχωρούσης ἐκτείνεσθαι· διόπερ οὐδὲ ἐπὶ προτέρων καὶ ὑςέρων οὐδὲ βελτιόνων καὶ χειρόνων τὲ ἄτομον εἶδος κατηγορεῖσθαι δεδύνηται διὰ σμικρότητα φύσεως καὶ περιγραφὴν ἰδιότητος. "πάλιν ... εἰπεῖν". 999a 16.
βούλεται μὲν πάλιν τῷ ἀντικειμένῳ συνηγορῆσαι καὶ δεῖξαι ὅτι οὐ τὰ ἄτομα εἴδη ἀρχαὶ ἀλλὰ τὰ γενικώτατα. κατασκευάζει δὲ ὅτως· ἡ ἀρχὴ τῶν ὄντων καὶ ἡ ἀληθεία αἰτία χωριςὴ τῶν ὄντων ὀφείλει εἶναι· διὰ τί οὖν τὲ ἄτομον εἶδος χωριςὸν τῶν καθ' ἕκαςον; ἢ ὅτι καθόλου τί ἐςι καὶ κατὰ πάντων λέγεται; ἀλλ' εἰ τοῦτο, τὰ γένη, ἐπεὶ καθολικώτερά τέ ἐςι καὶ κατὰ πάντων κατηγορεῖται, ἐπὶ πλέον κεχώριςαι τῶν αἰσθητῶν· ὥςε μᾶλλον ἀρχαὶ τὰ γένη. καὶ ἔςι τοι τὲ ἀξίωμα πανάληθες ὅτι χωριςὰ εἶναι ὀφείλει τὰ αἴτια, καὶ ἡ πᾶσα πρόοδος ὑγιὴς τοῦ λόγου, καὶ ἀποδέδεικται μέν, ἐξ ὑποθέσεως δὲ ἀποδέδεικται· καὶ γὰρ τὰ ἄτομα εἴδη ἀρχαί, μᾶλλον δὲ ἀρχαὶ τὰ γένη· ὅλως γὰρ ὁ ὁτιοῦν ἀξίωμα τοῖς εἴδεσι περιτιθεὶς μειζόνως τὰ γένη σεμνύνειν ἀναγκασθήσεται, ὥσπερ ὁ ἀνοῦσια λέγων εἶναι τὰ εἴδη καὶ ὑςερογενῆ μετ' ἐπιτάσεως ταὐτὰ περὶ τῶν γενῶν ἐρεῖ. διὸ καὶ ἐν Κατηγορίαις ἀνοῦσια μὲν ἀμφότερα, μᾶλλον δὲ τοῦ εἴδους τὲ γένος.

"Ἔςι δ' ... διηπορήσαμεν". καὶ τοῦδε ἡ τάξις τοῦ 999a 24.

3 *et magis unum magis, quam genus, significat principium* β. ‖ 7 μόνων **CH**. ‖ 8 τὰ om **AH**. ‖ 10 πλῆθος **C**: om **AH**β. *species ipsas* β ex manifesta coniectura. fort. πλῆθος εἰδῶν. ‖ 11 γένος inserui cl. Arist. p. 999 a5 cum Bonitzio. ‖ τῶν] τὸν **H**. ‖ 12 αὐτῶν] fort. αὐτὰ. sed dubito de uerbo συντίθησιν. ‖ 13 μᾶλλον ἓν ἀρχή **AH**β. ‖ 14 τοῦ γένους om β. ‖ 16 μᾶλλον ἓν] necessario scribendum μᾶλλον ἓν μᾶλλον ἀρχή. ‖ ἱδρυμένων **H**. ‖ 20 τοῦτο] τοῦ **H**. ‖ 21 ἀναιρεῖν καὶ τὴν **C**. ‖ 22 μόνα ἄτομα **H**. ‖ 23 οὔτε γάρ τοι **Aβ**. ‖ 24 ἔτι] ἔςι **BH** om β. ‖ 25 ποῖ ... ποῖ **H**. ‖ καὶ πῇ δὲ παρ. **A**. ‖ 31 εἴπερ] fort. εἰ γάρ. ‖ 36 γοῦν] οὖν **H**. ‖ 37 εὐθυγραμμῶν **B**.

2 γένει διαφοραὶ ἀλλ' **H**. ‖ ἀλλὰ **B**. ‖ 3 τὸ μὲν **Hβ**: τὰ μὲν **B**. ‖ ἔχειν om **A**. ‖ 4 sq. καὶ βέλτιον καὶ χεῖρον om β. ‖ 6 παράγει **CH**: περιάγει **Aβ**. ‖ 7 προσιοῦσιν **AH**. ‖ 8 γενομένων **H**. ‖ 9 πᾶσί γε .... ἔμφασιν om **A**. ‖ 10 δι' ἧν **Aβ**. ‖ 11 κατὰ δὲ β. ‖ 12 καίτοι καὶ τ' ἄλλας **H**. ‖ 14 ὁ λόγος om **A**. ‖ *ratio circumstat* β: περίεςι **BH**. ‖ fort. τοῖς add. ante σπουδάσασιν. ‖ 16 τε inserui. ‖ 19 αὐτῇ] αὐτῆς **BH**, sed *sibi propinquantia* β. ‖ 25 τὰ post ἀλλὰ interposui. ‖ 26 ἀληθεια **BH**. ‖ 29 ἐπεὶ] καὶ **BH**β. ‖ τε om **A**. ‖ ἔςι] εἰσι ἔςι **H**. ‖ κατηγορεῖται· καὶ ἐπὶ **H**. ‖ 30 τοι] καὶ **C**: om **AH**β. ‖ 32 τοῦ λόγου ὑγιὴς **AH**. ‖ μέν ... ἀποδέδεικται om **Aβ**. ‖ 35 ἀνοῦσια **H**. ‖ 36 ταὐτὰ] ταῦτα **BH**β. ‖ Κατηγ. c. 5 cf. Waitzius p. 284 sq. ‖ 38 καὶ τοῦτο τῇ τάξει τοῦ **AH**β.

σκέμματος μετατέθειϑ· δέκατον μ̄ γάρ ἐςιν ἐν τοῖς προβλήμασιν, ὄγδοον δὲ ἐν ταῖς τῶν λόγων γυμνασίαις παραλαμβάνεϑ. ζητεῖ δὲ εἴτε ἔςι παρὰ τὰ αἰϑητὰ τὰ καθόλυ λεγόμενα εἴτε ὄ· εἰ μ̄ γ̄ μὴ εἴη, φησίν, οἴχεϑ ἡ ἐπιςήμη τῶν ὄντων· πῶς γ̄ τὰ ἐν τῷ ἀπείρῳ χρόνῳ ἀπειράκις γιγνόμενα μάϑωμεν, ὐκ ἔςαι· νυνὶ μ̄ γ̄ διὰ τῶν καθόλυ περιλαμβάνειν αὐτὰ νομίζομεν· εἰ δὲ ταῦτα εἴη ἀνυπόςατα, ϗ ὁριςικὴ ϗ ἀποδεικτικὴ ϗ διαιρετικὴ πᾶσα φιλοσοφία διακενῆς ὀνειροπεπολημέναι φρῆϑοι γενήσονϑ. εἰ δὲ εἴη, φησί, τὰ καθόλυ, πάλιν ἔςαι τὰ γένη ϗ τὰ εἴδη, περὶ ὧν πεπαύμεϑα λέγοντες ὅτι ὐκ ἔςι ϗ φαίνεϑ. δι' ἣν αἰτίαν συνῆψε τῦτο τῷ ἑβδόμῳ προβλήματι, ἵνα ἐκ τῦ σύνεγγυς ἡμᾶς ὑπομνήσῃ τῶν ἐν αὐτῷ ῥηϑέντων. εἴπωμεν ὅν ϗ ἡμεῖς ὅτι ὐδὲ ἐν τῷ πρὸ τύτυ κεφαλαίῳ δέδειϰϑ μὴ ὄντα τὰ γένη ϗ τὰ εἴδη· πῶς γ̄ τὸ ψεῦδος ἀποδειχϑείη ποτ' ἄν; εἰ μέντοι μὴ εἴη τὰ καθόλυ, οἴχεϑ μ̄ ἐκ τῶν πραγμάτων ἐπιςήμη· ϗ γ̄ εὖ τῦτο λέγεις· πρόϑες δ' ὅτι ὐδ' ὑποςῆναι δύναϑ τὰ ἄπειρα μὴ ὄντος ἑνὸς ἀπειροδυνάμυ αἰτίυ, εἰ μὴ ἄρα ἐκ ταὐτομάτυ· πῶς δὲ τὰ φύσει ἐκ ταὐτομάτυ; ὥςε εἰ ὕτως ἔχοι, ἄπειροι δὲ ϗ ἄνϑρωποι ϗ ἵπποι ϗ πολλὰ τῶν συνωνύμων τῷ ἀπείρῳ γίγνεϑ χρόνῳ, καϑ' ἕκαςα τύτων ἐςὶν ἑνὰς ἀπειροδύναμος, καϑ' ἣν ταῦτα ὡρισμένως ἐπ' ἄπειρον γίγνεϑ μ̄ ἐν τῷ παντί, γνωρίζεϑ δὲ αὐτοῖς, ἐχόντων τὴν τῆς τὰ ἄπειρα ποιύσης αἰτίαν· ἔτι πάντα τὰ ἐν γενέσει ζῷα ἐκ τῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλει· εἰ δὲ τῦτο, δεῖ τι ἐν τῷ παντὶ ἐνεργείᾳ εἶναι ζῷον ὃ τὰ δυνάμει εἰς ἐνέργειαν ἄγει· ἔςι δὲ τῦτο ὐϑ' ἥλιος ὔτε σελήνη ὔτ' ἄλλο τι τῶν ἤδη διωρισμένων ζῴων (συμβάλλεϑ μ̄ γ̄ ϗ τὰ θεῖα ζῷα πρὸς ὑπόςασιν ϗ τελεσιυργίαν τῶν γενητῶν), ἀλλ' ὑφ' ὗ κυρίως ϗ πρὸς ὃ γίγνεϑ τὰ τῇδε, ζῷον ἔςαι μόνον ἐνεργείᾳ ϗ ὐδὲν ἄλλο, τυτέςιν αἰτία τῶν ἐν τοῖς ἀτόμοις κατατεταγμένων ζῴων. ὕτω δή μοι ϗ περὶ ἀνϑρώπυ ϗ περὶ ἑκάςυ τῶν ἄλλων σκόπει, ϗ ὄψει τὰ ἀληϑῆ γένη γεννητικὰ ὄντα ϰϗ φύσιν ϗ τὰ ἀληϑῆ εἴδη μορφωτικὰ τῶν ἀπείρων ὄντα·

999a 33. "ἔτι ... ὐϑέν". σύνολον μ̄ τὰ καϑ' ἕκαςα λέγει, οἷον τὸ εἰδοπεποιημένον ϗ ἔχον εἶδος ἐν ὑποκειμένῳ, ὅ φησι κατηγορεῖϑ τῆς ὕλης· ἔϑος γ̄ αὐτῷ τὸ ἐν ὑποκειμένῳ καϑ' ὑποκειμένυ καλεῖν. διαιρεῖ δὲ τελείως· ἢ γ̄ παρὰ πάντα τὰ αἰϑητά ἐςι τὰ καθόλυ ἢ παρ' ἔνια ἢ παρ' ὐδέν. ἐπειδὴ δὲ ἐξ ὑποθέσεως προάγει τὴν διαίρεσιν (εἰ γάρ ἐςι φησὶ τὰ καθόλυ), γίγνεϑ τὸ τρίτον ἀναιρετικὸν τῆς ὑποθέσεως, καθὰ πρὸ ἡμῶν ϗ ὁ Ἀλέξανδρος ἐπεσημήνατο. μή ποτε ὅν ὕτω χρὴ ἀκύειν τῆς ὑποθέσεως· εἰ δεῖ ὅλως θεωρεῖν ἡμᾶς εἴπερ ἔςι τὰ καθόλυ, ἢ ἐπὶ πάντων αὐτὰ εἶναι φήσομεν ἢ ἐπ' ἐνίων ἢ ἐπ' ὐδένων. εἶτα δείκνυσιν ὅτι τὸ πάντῃ αὐτὰ ἀναιρεῖν τῶν ὅλων ἐςὶν ἀνατρεπτικώτατον. "εἰ μ̄ ..... ἐπιςήμην". ταχὺ ταύτῃ τῇ 999b 1.
ὑποθέσει τὰ θειότατα τῶν ὄντων ἀνάςατα γέγονε ϗ ἡμεῖς ὡς ἔοικε μάτην παρὰ τῦ θεῦ τὸν νῦν εἰλήφαμεν, ἐπιςήμη τε ὐκ ἔςιν ὔτε παρ' ἡμῖν ὔτε παρὰ τοῖς θεοῖς, εἰ μή τις ϰϗ τὸν Θεαίτητον ἢ ϰϗ τὸν Πρωταγόραν τὴν αἴϑησιν ἐπιςήμην ὀνομάζειν ἐπιθυμεῖ· τῦτο δὲ σκῶμμά πυ ἂν εἴη ϗ ὐ σπύδασμα. "ἔτι ...κινήσει ἐςίν". ὁ ἀναιρῶν τὰ νοητὰ ϗ διανοίᾳ θεωρητὰ 999b 3.
ὐ μόνον νῦν ϗ νοητὸν ϗ ἐπιςήμην ἀναιρεῖ ἀλλὰ ϗ πᾶν ἀίδιον. τί δέ, ὐρανὸς ὐκ ἀίδιος; ἢ ἀίδιος τῷ εἶναί τι νοητὸν ἀκίνητον αἴτιον αὐτῷ τῆς ἀεικινησίας; ὃ εἰ μὴ εἴη. τί λείπεϑ ἢ πάντα τε ὐρανὸν πᾶσάν τε γένεσιν συμπεσῦσαν ςῆναι ϗ μή ποτ' ἔχειν αὖϑις ὅϑεν κινηϑέντα γενήσεϑ; ἀμέλει ϗ ἀλλαχῦ μ̄ τῦτο κατεσκεύασεν ὅτι πᾶν μ̄ σῶμα ὥριςαι· ϗ νῦν οὲ σαφῶς ἡμῖν ἐπιδείξει ὅτι εἰ μή τι εἴη τῇ ἑαυτῦ φύσει ἀίδιον, ὐδ' ἡ γένεσις ὑποςήσεϑ. "ἀλλὰ .... δυνατόν". διὰ τί ϗ διὰ ποίαν ἀνάγκην, 999b 5.
ἀκύσωμεν αὐτῦ γενναίως ἐπιδεικνύντος· "ἀνάγκη ... ἀγένητον". εἰ ἔςι γένεσις, ἔςαι μέν ποτε τὸ γιγνόμενον· ὐ γ̄ ἀτελεύτητος ἡ ϰϗ τὴν γένεσιν μεταβολή· ἔςαι δὲ ϗ τὸ ὑλικὸν αἴτιον, ὃ ϰϗ μ̄ τὸ προσεχὲς θεωρύμενον ὐ κωλύεϑ εἶναι γενητὸν (ϗ γ̄ τῦ ἡμετέρυ σώματος ἡ προσεχὴς ὕλη γενητή), ἀναλυόμενον δὲ εἰς ἔσχατον ϗ εἰς τὴν πρώτην ὕλην ἀναπεμπόμενον ἀγένητον εἶναι ἀνάγκη· διὰ τί; ὅτι μήτε ἐπ' ἄπειρον ἡ ὑλικὴ αἰτία πέφυκεν ἀναλύεϑ, μήτ' ἐκ τῦ μὴ ὄντος γένοιτο ἄν τι. ϗ ταῦτα δηλοῖ διὰ τῶν "εἴπερ ἴςαϑ ϗ ἐκ μὴ ὄντος γενέϑ ἀδύνατον". ὅτι μ̄ ὖν ἵςαται ϗ ὐκ ἐπ' ἄπειρον ἡ ἀνάλυσις, ἔδειξεν ἐν τῷ ἐλάττονι τῶν ᾱ, λαβὼν ὅτι ὐδ' ἂν αἴτιον εἴη, εἰ μὴ πρῶτον εἴη αἴτιον· εἰ δὲ πρῶτον εἴη, ἔςι ϗ ἐπὶ τὸ ἄνω ςάσις ϗ ὐκ ἐπ' ἄπειρον ἡ τῶν αἰτίων ἀνάλυσις. ὅτι δὲ τῶν φυσικῶν ὐδὲν ἐκ τῦ μὴ ὄντος, κοινὸν ἀξίωμα τῶν περὶ φύσεως δεινῶν. "ἔτι δὲ ... γέγονεν". πάσης γενέσεως 999b 8.
ἀνάγκη πέρας εἶναι· ὐ γ̄ ἄσκοπος ἡ τῆς φύσεως κίνησις, ὐδὲ ἀτελεύτητος ἡ παρ' αὐτῇ ἀποτελυμένη γένεσις. εἰ δὲ πᾶσα πέρας ἔχει, πᾶν δὲ τὸ ἔχον πέρας ἔχει ϗ ἀρχήν (τῦτο γ̄ δεῖ προσυπακῦσαι), πάσης γενέσεως ϗ κινήσεώς ἐςιν ἀρχὴ ϗ πέ-

3 ἔςι om *A*. ‖ 4 *abibit ex entibus* β cf. l. 16. ‖ 9 φρύροι *H*. ‖ 11 ἔςι om (*A*)β. ‖ *quod et non uidentur esse* β. ‖ φαίνεται] an ὑφῄρηται? ‖ συνῆ τε τῦτο *H*. ‖ 14 δέδειϰται] *confusa sunt* β. ‖ 16 λέγει (*A*)β. ‖ 17 δὲ ὅτι *B*. ‖ 19 δὲ om *H*. ‖ 22 sq. *cognoscuntur uero in iis quae habent causam eorum quae infinita facit* β. ‖ 23 αὐτοῖς] corrige ὕτως. conicias ἀν'ois, sed uiolentius agi oporteret. ‖ ποιύσης *CH*β: ἐχύσης *A*. fort. add. ἑνάδος. ‖ 27 ἤδη *CH*: εἰς εἴδη *A* om β. ‖ 28 τελεσιυργία *H*. ‖ 29 κυρίως] γίνεται *H*. ‖ 30 αἴτια *H*. ‖ 31 ὕτω] ὔτε (*A*)*H*β. ‖ ὕτω ... ὄψει] *neque torpeas et de homine ... considerans et respiciens* β. ‖ 32 σκοπεῖ *C* σκο̅ *H* σκοπεῖν *A*. ‖ γενητικὰ libri. ‖ 35 εἶδος πεποιημένον *BH* εἶδος πεποιωμένον (*speciem qualificatam*) β: em. Bonitzius. ‖ 36 αὐτῷ τῷ ἐν *H*. ‖ 37 παρὰ] περὶ *H*.

1 καὶ ἀλέξανδρος *H*. Al. p. 167, 6. ‖ 2 ὖν ὔτε χρὴ (*A*)*H*β. ‖ 3 εἴ πέρ ἐςι *H*. ‖ 4 φήσομεν *CH*: φησὶ μὲν *A*β. ‖ 7 ἀνυπόςατα β. ‖ 10 κατὰ om *A*. ‖ 11 σκῶμα *B*. ‖ 14 δὲ *CH*: δὲ ὁ *A*. ‖ 15 ἀκινησίας *H*. ‖ 21 αὐτὸ *CH*. ‖ 23 ἡ μετὰ τὴν *H*. ‖ καὶ om *H*. ‖ 26 εἰς ἔσχατον om *H*. ‖ 31 ἐλάττονι ἄλφα *H* ἐλάττονι ᾱ *A*. ‖ met. α 2. ‖ 33 ἐπὶ τὸ *H*β: ἡ ἐπὶ τῷ *B*. ‖ 34 κοινῶν *H*. ‖ 36 fort. ἄκοπος. ‖ 37 *si autem* β: ἡ δὲ *BH*. ‖ 38 ἔχον *CH*: ἔσχατον *A*β.

ρας. ἆρ' ὧν καὶ τῆς οὐρανίας; δῆλον ὅτι καὶ ταύτης. ἀπειράκις δὲ γινομένης τῆς αὐτῆς καὶ τελευτῇ ἀρχὴν συναπτούσης, διὰ τὴν τοῦ κινητικοῦ δύναμιν μένει ἀεικίνητος ὁ οὐρανός. ὅτι δὲ πᾶν τὸ γιγνόμενον πέρας ἔχει ** καὶ τοῦ ἀρχὴν ἔχοντος, εἴ γε τοῦ πέρας ἔχοντος. καὶ οὕτω κατασκευάζει· τὸ δυνατὸν γίγνεσθαι γίγνεται. πᾶσα ἄρα γένεσις καὶ κίνησις ἀρχὴν ἔχοντός ἐστι καὶ πέρας· τοῦ δὲ ἀιδίου πέρας οὐκ ἔχει οὐδὲ ἀρχή· ἀδεμία ἄρα κίνησις οὐδὲ γένεσις τοῦ ἀιδίου ἐστίν. εἴ τι ἄρα ἐστὶν ἀίδιον, ἀγένητον αὐτὸ καὶ ἀκίνητον εἶναι δεῖ· νοητὸν ἄρα αὐτὸ ἢ διανοητὸν εἶναι χρή· ταῦτα γὰρ ἀγένητά τε καὶ ἀκίνητα· ἔστιν ἄρα τὰ νοητὰ καὶ τὰ διανοητά· τοῦτο δὲ ἦν τὸ ἐξ ἀρχῆς αὐτῷ προκείμενον. συνθετέον οὖν πάντα· εἰ γένεσίς ἐστιν (ἀνάγκη δὲ εἶναι), ἔστιν ἀίδιον· εἰ ἀίδιόν ἐστιν, ἔστιν ἀγένητόν τι καὶ ἀκίνητον· εἰ τοῦτο, ἔστι νοητόν· εἰ τοῦτο, οὐ μόνα τὰ αἰσθητὰ ὄντα. "ἔτι ... εἶδος". ἔνατον τοῦτο ἐν τοῖς προ-
9996 12. βλήμασιν, ὥσπερ κἀνταῦθα, καὶ φαίνεται λαμπρῶς ἡ αἰτία τῆς μεταθέσεως· ἐπεὶ γὰρ ἔδειξεν ἐν τῷ δεκάτῳ μὲν ἐκεῖ, ὀγδόῳ δὲ ἐν τούτοις, ὅτι ἐστὶν ἀγένητος ὕλη, συνῆψεν εὐθέως τὸν περὶ τοῦ χωρισοῦ εἴδους λόγον· εἰ γάρ ἐστιν ἀεὶ ὕλη διὰ τὸ πρὸ πάσης ἐπινοεῖσθαι γενέσεως, πολὺ εὐλογώτερον ἀγένητον εἶδος προσεπινοεῖν, ὃ καὶ τὴν ὕλην δυνάμει καὶ ἀτελῆ καὶ σὺν φερήσει πάντων ἔχουσαν τὸ εἶναι εἰς ἐνέργειαν ἄξει καὶ εἰς τελείωσιν καὶ ἐπὶ τὴν διὰ τῶν εἰδῶν ἐπικόσμησιν. ὁ λόγος οὖν τοιοῦτος· εἰ ἔστιν ὕλη ἀγένητος, πολλῷ πλέον ἐστὶν εἶδος χωριστὸν καὶ ἀίδιον· οὐ γὰρ δὴ ἡ ὕλη ἑαυτὴν εἰδοποιήσει, καθάπερ ᾤοντό τινες τῶν πάλαι φυσιολόγων· εἰ δὲ ἵνα μὴ ἀναγκάζηταί τις θεῖναι ἀγένητον εἶδος, ἀρνεῖται καὶ ὕλην εἶναι ἀγένητον, ἀκούσεται ὅτι μηδετέρου ὄντος ἀγενήτου οὐδὲν ἔσται· δεδείκται γὰρ ὅτι χρή τι εἶναι ἀίδιον, εἰ γένεσις εἶναι μέλλοι· εἰ δὲ ἀδύνατον μηδὲν εἶναι (τί γὰρ τούτου ἀδυνατώτερον;), δεῖ τι εἶναι ἀίδιον· τοῦτο δὲ εἰ μὴ εἶδος εἴη, ἔχω τὸ ζητούμενον· εἰ δὲ ὕλη, πάλιν ἐρῶ ὅτι πολὺ εὐλογώτερον ὕλης ὕσης ἀγενήτου καὶ εἶδος εἶναι ἀίδιον· ὥστε ἐπειδὴ ἄμφω μὴ ἀδύνατον μὴ εἶναι, ὕλης δὲ ὕσης ἀγενήτου ἀνάγκη καὶ εἶδος εἶναι, ἄμφω ἀνάγκη εἶναι. ὅτι δὲ περὶ χωριστοῦ εἴδους ὁ λόγος, σαφῶς ἐδήλωσεν
9996 16. ἐπάγων "ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον τὴν μορφὴν καὶ τὸ εἶδος. εἰ δὲ αὖ τις τοῦτο θήσει, ἀπορία ἐπὶ τίνων τε θήσει τοῦτο καὶ ἐπὶ τίνων οὔ· ὅτι μὲν γὰρ ἐπὶ πάντων οὐχ' οἷόν τε, φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ τὰς τινὰς οἰκίας". ὅπερ εἰώθει παρὰ τοῖς ἀμφὶ τὸν Παρμενίδην ἀπορεῖσθαι, τοῦτο καὶ αὐτὸς ζητεῖ, τίνων ἦν ἰδέα καὶ τίνων οὔ. δι' ἀκριβείας μὲν οὖν ἐν τοῖς εἰς τὸν Παρμενίδην ὑπομνήμασιν Ἰαμβλίχῳ τῷ θείῳ περὶ τούτων εἴρηται· κεῖται δὲ καὶ παρὰ Πλωτίνῳ ἐν τῷ περὶ νοῦ καὶ ἰδεῶν καὶ τοῦ ὄντος σκέμματι. ὡς δὲ δι' ἐλαχίστων εἰπεῖν ἐν τῷ παρόντι, οὔτε τῶν τεχνητῶν ἰδέας ὑποθετέον (καὶ ὀρθῶς ἀπογιγνώσκει νῦν Ἀριστοτέλης εἶναί τινα οἰκίαν παρὰ τὰς πολλὰς οἰκίας), οὔτε τῶν παρὰ φύσιν οὔτε τῶν κακῶν ἢ αἰσχρῶν οὔτε τῶν καθ' ἕκαστα γενητῶν· τῶν δ' ἐνύλων εἰδῶν τῆς γενέσεως καὶ τῶν ἐν τῷ παντὶ κόσμῳ καὶ τῶν αὐλῶν τῆς ψυχῆς λόγων προεσάναι φαμὲν ἀίδια παραδείγματα νοερὰ γεννητικὰ καὶ προνοητικά. "πρὸς δὲ ... 9996
ἄλογον". καὶ τοῦτο δέ τις ἂν ἀπορήσειε πρὸς τοὺς εἰσάγοντας τὰ εἴδη, πότερον ἓν εἴδος ἐστι πάντων ἀνθρώπων, ὃ δηλοῦσιν αὐτοάνθρωπον· ἀλλ' ἄτοπόν φησιν· ἔδει γὰρ καὶ τοὺς ἐνταῦθα πάντας ἀνθρώπους ἓν εἶναι, ἅτε πρὸς ἓν εἶναι· "ἓν γὰρ πάντα ὧν ἡ οὐσία μία". ποία οὐσία, ἐρωτήσομεν, ἡ κεχωρισμένη τὸ ἀχώριστον εἶδος ἢ ἡ κεχωρισμένη τὸ χωριστόν; εἰ *μὲν γὰρ ἡ* κεχωρισμένη τὸ ἀχώριστον, ἀληθῆ μὲν τὴν ἐπιτίμησιν εἶναί φαμεν· οὐκ ἦν δὲ ὁ λόγος ὁ νῦν περὶ τοῦ ἀχωρίστου εἴδους· εἰ δὲ ἡ κεχωρισμένη τὸ χωριστόν, οὐδὲν ἄτοπον εἶναι φήσομεν ἐξ ἑνὸς αἰτίου πολλὰ καὶ ἄπειρα γεννᾶσθαι ὁμοειδῆ μέντοι ἀλλήλοις, εἰ κατ' ἐκεῖνο γίγνοιτο· ὥστε εἴθ' οὕτως ἔχει ἡ γραφή, οὐδὲν ἄτοπον ἕπεται· εἴτε γράφειν αἱροῖτό τις "ἀλλ' ἄτοπον· οὐ γὰρ πάντων ἡ οὐσία μία", τὰ αὐτὰ πάλιν ἐρῶμεν, ὅτι ἡ μὲν χωριστὴ οὐσία αὐτῶν καὶ αἰτία οὐ κωλύει εἶναι μία, ἡ δὲ ἀχώριστος εἴδει μὲν μία, πολλὴ δὲ καὶ ἄπειρος τῷ ἀριθμῷ. τὸ δὲ πολλὰ τοῦ αὐτοῦ τὰ χωριστὰ καὶ διάφορα ὑποτίθεσθαι, πῇ μὲν ἄλογον πῇ δὲ ἀναγκαῖον· ἐν τῷ δημιουργικῷ μὲν γὰρ ἓν ἀρκεῖ τῶν ἀνθρώπων εἶναι παράδειγμα καὶ ἄτοπον ὑποτίθεσθαι πλείω, ἀρκοῦντος τοῦ ἑνὸς πάντας ἀνθρώπους γεννᾶν· ἐπεὶ καὶ τί νῦν διοίσει ἀλλήλων ἐν ταὐτῷ ὄντα; δεῖ δὲ καὶ ἐν τῇ ψυχῇ εἶναι τοῦ παντὸς τῶν τῇδε ἀνθρώπων αἰτίαν καὶ ἐν τῇ φύσει τῶν ὅλων καὶ ὅλως καθ' ἑκάστην τάξιν τῶν ὄντων τὰ εἴδη, ὡς ἐν ἄλλοις δέδεικται. ὅλη δὲ ἡ ζήτησις αὕτη παρ' ἐκεῖνο τὸ πρόβλημα γέγονε, πότερόν ἐστι καὶ τῶν καθ' ἕκαστα εἴδη ἢ οὐδενὸς τῶν ἀτόμων γενητῶν; "ἅμα ... ταῦτα". τῷ ὄντι ἂν ἄπορος ὁ τρόπος τῆς τῶν 9996
εἰδῶν μίξεως καὶ τοῦτο καὶ αὐτὸς ὁ θεῖος Πλάτων ἔν τε τῷ Τιμαίῳ φησὶ καὶ ἐν τῷ Παρμενίδῃ δείκνυσιν· ἆρα γὰρ μέρος

1 ὅτι om *A*. ‖ 2 τελευτὴν ἀρχῇ *C*. ‖ 3 sq. *Quod autem omne, quod fit, finem habet, cum et principium habeat, manifestum est, (hoc enim est finem habentium) β.* ‖ 4 intercidit apodoseos initium. ceterum cf. *H* ad l. 5. ‖ καὶ τὴν ἀρχὴν *AHβ*. ‖ εἴ γε] εἰ δὲ *B* οἱ δὲ *H*. ‖ 5 γίνεται· πᾶσα ἄρα γένεσις τοῦ πέρας ἔχοντος· πᾶσα ἄρα γένεσις καὶ κίνησις ἀρχὴν ἔχοντός ἐστι καὶ πέρας *H*. ‖ 8 αὐτὸ καὶ ἀκίνητον *C* αὐτοαεικίνητον *H* αὐτοκίνητον *Aβ*. ‖ 11 ὧν] δὲ *H*. ‖ 12 εἰ] ἡ *H*. ‖ εἰ ante ἀίδιον om *H*. ‖ 15 τῆς μαθήσεως *H*. ‖ 17 εὐθέως τοῦ περιχωρισοῦ (*A*)*H*. fort. scribendum τὸν περὶ χωριστοῦ cf. infra l. 33. ‖ 21 εἰς τελείωσιν *Hβ*: εἰς om *B*. ‖ καὶ εἰς τὴν *A*. ‖ 22 fort. διακόσμησιν. ‖ 24 *pridem philosophantium β.* ‖ 25 θέσθαι *A*. ‖ ἀρνῆται *A negabit β.* ‖ 26 ὅτι *C*: om *AHβ*. ‖ 27 ἔσεσθαι *A*(*β*). ‖ τι om *AH*. ‖ 31 μὴ om *H*. ‖ 32 καὶ om *AHβ*. ‖ ἄμφω ἀν. εἶναι om *H*. ‖ 35 αὖθις τοῦτο *H*. ‖ 37 θείημεν *Hβ*: θείη μὲν *B*.

2 τίνων ἦν *C*: ἐπὶ τίνων ἦν *AHβ*. ‖ 4 Plotinus enn. III 9 (qu. 8 Kirchh.). ‖ 4 εἰδῶν *AHβ*. ‖ 9 τῶν δ' ἐνύλων] τῶν δὲ ὅλων *BHβ*. uitium ortum ex interaspiratione cf. ad p. 863 a27. ‖ εἰδῶν om *AHβ*. ‖ καὶ τὸν ἓν *H*. ‖ παντὶ om *β*. ‖ 11 γενητικὰ libri. ‖ 12 ἂν inserui. ‖ 13 τὰ ante εἴδη om *H*. ‖ 15 πρὸς ἓν ὄντας (*tanquam ad unum sint*) *β*. fort. εἶδος. ‖ 17 ἡ post ἢ om *CH*. ‖ 17 εἰ .. ἀχώριστον om *CH*. ‖ εἰ μὲν γὰρ ἡ] εἰ *Aβ*. suppleui. ‖ 18 οὐκοῦν δὲ *Aβ*. ‖ 21 οὕτως om *β*. ‖ 24 εἶναι om *H*. ‖ 25 τὸ δὲ *β*: τὸ *BH*. ‖ 27 ἀνάγκη *A*. ‖ 28 ἀρκοῦντως *H*. ‖ 31 αἰτίαν *CHβ*: ἀρτίως *A*. ‖ 34 ἀτόμων om *β*. ‖ 35 *dubius est modus β.* ‖ ἂν uitiosum. fort. intercidit δόξειεν. ‖ 37 Plato Tim. p. 48 sq. Parmen. p. 131 sq.

ἕκαςον τῶν τῇδε μεταλαμβάνει; καὶ πῶς ἢ ἐκεῖνο μερίζεται ἢ ταῦτα ἀλλήλοις ἐςὶν ὁμοειδῆ κατ' ἄλλα καὶ ἄλλα μέρη τὴν ὑπόςασιν ἔχοντα; ἀλλ' ὅλον ἑκάςῳ πάρεςι; καὶ πῶς πολλὰ μὴ τὲ ἓν γίγνεται, αὐτὲ δὲ ἑαυτῷ χωριζόμενον ἀποδείκνυται; καὶ ὅλως ὅσα ὁ μέγας Παρμενίδης γυμνάζων τὸν Σωκράτην περὶ τὴν τῶν εἰδῶν θεωρίαν προτείνων πεποίηται. χεδὸν ὧν ταὐτά ἐςιν ἃ ἠπόρησεν ἐν τούτῳ τῷ κεφαλαίῳ, ἃ καὶ οἱ τῶν εἰδῶν φίλοι ζητεῖν εἰώθασιν, εἰ ἔςιν εἴδη, τίνων ἐςὶν εἴδη, πῶς αὐτῶν ἡ ὕλη μετέχει κράσει συνθέσει ἀλλοιώσει διαπλοκῇ, καὶ τί τὲ ἑνοποιῶν αὐτὴν καὶ τὲ εἶδος· ταῦτα γὰρ εἰώθειν ἀποροῦντες. λέγει δὲ αὐτὲς ἐν ταύτῃ τῇ πραγματείᾳ ὅτι τὲ δυνάμει τελειούμενον καὶ εἰς ὃ πέφυκεν ἐρχόμενον οὐ δεῖται τοῦ συνδήσοντος αὐτὲ τῇ
999b 24. αὐτοῦ τελειότητι καὶ ἐνεργείᾳ. "ἔτι δὲ ... πάντων". ἔςι μὲν τοῦτο ἑνδέκατον ἐν τῇ τῶν προβλημάτων ἐκθέσει, δέκατον δὲ νῦν γυμνάζεται διὰ τὲ παραλελεῖφθαι τελέως τὲ ἐν ἐκείνοις ἕκτον. ζητεῖ δὲ δι' αὐτοῦ πότερον εἴδει αἱ ἀρχαί εἰσιν ὡρισμέναι ἢ ἀριθμῷ· εἰ μὲν γὰρ εἴδει, φησίν, οὐδὲν τῶν τῇδε ἀριθμῷ ἓν ἀλλ' εἴδει, ἐπειδὴ κατ' ἐκείνας τὰ τῇδε πάντα γέγονεν. ἔτι δὲ οὐδ' ἐπιςήμη τῶν πραγμάτων ἔςαι· δεῖ γὰρ ἓν εἶναι ἀριθμῷ τὲ καὶ πολλῶν ὁμοειδῶν θεωρούμενον, εἰ μέλλοι τις ἐπιςήμην ἀναλήψεσθαι, τά τε πολλὰ τοιαῦτα εἶναι ὥςε ἕκαςον αὐτῶν ἓν εἶναι τῷ ἀριθμῷ, ἵνα καὶ ὁμοειδῆ ἀλλήλοις ᾖ· οὐδὲν δὲ τούτων ἔςαι, εἰ αἱ ἀρχαὶ μὴ ἀριθμῷ ἓν ἀλλ' εἴδει εἰσὶν ὡρισμέναι. πᾶσα οὖν ἡ ἀκολουθία τοῦ λόγου τοιαύτη· εἰ μὴ αἱ ἀρχαὶ ἀριθμῷ ἕν, οὐδὲ τὰ ἀπ' αὐτῶν· εἰ μηδὲν ἀριθμῷ ἕν, οὐδὲ τὲ ἐπὶ πᾶσι τοῖς ὁμοειδέσιν ἓν ἔςι λαβεῖν (τοῦτο γὰρ ἀριθμῷ ἕν), ἵνα μὴ καὶ τούτου ἄλλο ἐπαναβεβηκὸς ἓν ζητῶμεν, καὶ τοῦτο ἐπ' ἄπειρον· εἰ δὲ ἐπὶ πᾶσι τοῖς ὁμοειδέσιν ἓν μὴ ἔςι λαβεῖν, οὐδ' ἂν ἐπιςήμη εἴη.
999b 27. "ἀλλὰ μὴν εἰ ἀριθμῷ ἓν καὶ μία ἑκάςη τῶν ἀρχῶν" ἕως τοῦ "μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλείονων". εἰ δὲ μὴ τοῖς εἴδεσιν ἀλλ' ἀριθμῷ, φησίν, αἱ ἀρχαὶ τὲ ἓν ἔχουσι, τοσαῦτα ἔςαι τὰ ἐξ αὐτῶν ὅσαι καὶ αὐταί· ὥσπερ γὰρ τὰ κδ̄ ςοιχεῖα τῆς ἐγγραμματοῦ φωνῆς εἰ μὴ εἴδει τοσαῦτα ἦν ἀλλ' ἀριθμῷ, τοσαῦτα ἂν ἐποίησε τὰ λεγόμενα ὅσα αὐτά ἐςιν (ἅπαξ γὰρ αὐτὰ παραλαμβάνεται ἦν ἀνάγκη), καὶ ὥσπερ οἱ λίθοι εἰ τῷ ἀριθμῷ ἦσαν ὡρισμένοι, ἀναγκαῖον ἦν τὰ ἐξ αὐτῶν οἰκοδομήματα τοσαῦτα εἶναι ὅσοι καὶ οὗτοι· οὕτω καὶ τῶν ὄντων αἱ ἀρχαὶ εἴπερ ἀριθμῷ εἰσιν ὡρισμέναι, τοσαῦτα ποιήσουσιν ὅσαι αὐταί εἰσιν· εἴπερ ὡς ςοιχεῖα, φαίης ἄν, ἀρχαὶ εἶεν ἀλλὰ μὴ ὡς γεννητικὰ καὶ ποιητικαί· εἰ γὰρ οὕτως, οὐ κωλύουσι καίπερ ὡρισμέναι τῷ ἀριθμῷ γεννᾶν ἄπειρα. ἀλλ' οὐδὲ ὁ πρὸς τὰς εἴδει ὡρισμένως ἐχούσας ἀρχὰς ἠρωτημένος λόγος ὑγιῶς πάντῃ προελήλυθεν· οὐ γὰρ εἰ αἱ ἀρχαὶ τοιαῦται, καὶ τὰ ἀπ' αὐτῶν· ἀποτεμαχίζει γὰρ ἡ ὕλη καὶ ἀπομερίζει τὴν τῶν ἀύλων καὶ νοερῶν εἰδῶν ἰδιότητα· εἴρηται δὲ περὶ τούτων ἐν τοῖς προτέροις, καὶ ὅπως αἱ μὲν νοεραὶ καὶ εἴδει καὶ ἀριθμῷ εἰσιν ὡρισμέναι, αἱ δὲ τούτων ὑπέρτεραι κρείττους ἢ κεῖνοι τοῦτο τὲ συναμφότερον.

"Οὐδενὸς ... ἕτεραι". δωδέκατόν ἐςι τοῦτο κεῖνο τὴν 1000a 5.
ἔκθεσιν τῶν προβλημάτων· ἀποροῦσι γὰρ ἐν αὐτῷ πότερον αἱ αὐταὶ τῶν ἀιδίων εἰσὶ καὶ τῶν φθαρτῶν αἰτίαι, ἢ ἕτεραι μὲν τούτων ἕτεραι δὲ ἐκείνων· εἰ μὲν γὰρ αἱ αὐταί, πῶς τὰ μὲν ἀίδια ποιοῦσι τὰ δὲ φθαρτά; εἰ δὲ ἕτεραι, ὅτι μὲν αἱ τῶν ἀιδίων ἄφθαρτοι, πρόδηλον· εἰ δὲ καὶ αἱ τῶν φθαρτῶν ἄφθαρτοι, λόγου δεῖται· εἴτε γὰρ ἄφθαρτοι, ἄφθαρτα ποιοῦσιν, ἀλλ' οὐχ ὁμοίως ταῖς πρὸ αὐτῶν αἰτίαις· εἰ δὲ φθαρταί, πῶς ἀρχῶν ἀπολομένων οὐ πᾶσα ἡ γένεσις πεσοῦσα σήσει; ἔχει μὲν οὖν ὁ λόγος σκέψιν φιλόσοφον· διὰ τί δὲ καταλελεῖφθαί φησι τοῦτο πᾶσι τοῖς πρὸ αὐτοῦ ἀδιερεύνητον, ὃ σαφῶς ὁ Πλάτων μετὰ τὴν τῶν ἀιδίων δημιουργίαν πρὸς τοὺς ἐγκοσμίους θεοὺς παραδίδωσι τὸν δημιουργὸν λέγοντα; "θνητὰ ἔτι τρία λοιπὰ γένη ἀγένητα. τούτων δὲ μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔςαι· τὰ γὰρ πάντα ἐν ἑαυτῷ γένη ζῴων οὐχ ἕξει· δεῖ δέ, εἰ μέλλει τέλεος ὄντως εἶναι. δι' ἐμοῦ δὲ γενόμενα ταῦτα καὶ βίου μεταλαχόντα θεοῖς ἰσάζοιτο ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κεῖνοι φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζῴων δημιουργίαν" καὶ τὰ ἑξῆς περί τε γενέσεως τῶν ζῴων καὶ τροφῆς καὶ αὐξήσεως καὶ φθίσεως ἀναδιδάσκοντα. σαφῶς οὖν εἶπεν ὁ Πλάτων ὅτι καὶ τὰ πρώτιςα τῶν πάντων ἐςὶν αἴτια, καὶ οἱ κατ' οὐρανὸν τὴν γένεσιν ἐπιτροπεύουσιν, καὶ ὅτι τὰ θνητὰ εἰ μὴ εἶχε προσεχῆ αἴτια καὶ φθαρτὰ καὶ μεταβάλλοντα, οὐκ ἂν ἦν θνητά, νοητὴν μόνην ἀρχὴν ἔχοντα, ὡς τὰ τῶν πραγμάτων ἀίδια. "οἱ μὲν ... αὐτοῖς". τί γὰρ ἂν ἄλλο τις τὰς ἀρχὰς 1000a 9.
ἢ θεοὺς εἶναι νομίσειεν; οὔτε γὰρ ἀρχῆς πρεσβύτερον οὐδὲν οὔτε θεοῦ καὶ θεῶν. ὥςε τοῦτο μὲν ἀνάγκη λέγειν τοῖς θεολόγοις καὶ ἐκ θεῶν πάντα γεννᾶν νοῦς ψυχὰς φύσεις τῶν σωμάτων, τά τε

1 διαλαμβάνει *H*. ‖ distinguebatur μεταλαμβάνει καὶ πῶς; ἢ ... μερίζεται; ἢ ταῦτα ... ἔχοντα, ἀλλ' .. πάρεςι; ‖ ἐκείνῳ *H*. ‖ 2 καὶ ὅλλα om *H*. ‖ 3 ἑκάςῳ *H*: ἕκαςον *Bβ*. ‖ 6 προτείνων om *A*. ‖ ταῦτα *AHβ*. ‖ 8 *ideae* utrubique *β*. ‖ 9 συνθέσει καὶ ἀλλ. *Aβ*. ‖ 10 Ar. met. H 6. ‖ 13 ἑαυτοῦ *A*. ‖ 14 ἑνδέκατον *BH*. ‖ 16 εἴδη καὶ ἀρχαὶ pr *C*. ‖ 20 ἐπιςήμη (*A*)*Hβ*. ‖ 22 δὲ om *AHβ*. ‖ 26 *et huic aliud superueniens β*: τοῦτο *BH*. cf. p. 864 b23. ‖ 27 ἄλλο *Cβ* ἄλλος *H* ἃ *A*. ‖ καὶ τούτοις *AHβ*. ‖ 28 μὴ om *H*. ‖ 32 αὗται sic *H* αὕται *Bβ*. ‖ γὰρ om *AH et β*. ‖ 33 εἴδει] ἤδη *H*. ‖ 35 γὰρ αὐτοῦ *H*. ‖ καὶ om *β*. ‖ 36 τῶν ἀριθμῶν *H*. ‖ 37 fort. καὶ αὐτοί.

2 εἴπερ] immo εἰ ἄρα. ‖ ἀρχὰς εἶεν *H* ἀρχὰς εἶναι *Aβ*. ‖ 3 γεντικαὶ *B* γενιτικαὶ *H*. ‖ 4 ἀλλ' οὐ πρὸς *H*. ‖ 5 ὡρισμένον *CH*. *determinationem habentia β*. ‖ 6 πάντα *H* πάντως *A*. ‖ 7 ἀποτεμμαχίζει *BH*. ‖ ἀπομερίζει] *resecat β*. ‖ 8 supra p. 841 b17 sqq. ‖ 10 τὸ ἀμφότερον *A*. ‖ 13 τῶν ἰδίων *H*. ‖ αἰτία *H*. ‖ ἕτερα ... ἕτερα *H*. ‖ 14 γὰρ ἑαυταὶ *H*. ‖ 15 μὲν τῶν *Aβ*. ‖ 17 γὰρ] γὰρ αἱ libri. ‖ 18 αἰτίαις em. Bonitzius: ἀίδιαι *BHβ*. ‖ ἀπολλομένων *B* ἀπολλυμένων *H*, sed cf. p. 861 b 28. 860 a32 φθαρεισῶν. ‖ 20 *relictum hoc esse dicit β*: κ. φ. τούτοις *BH*. ‖ ἀδιαιρεύνητον *A*. ‖ 21 Plato Tim. p. 41 B. C. ‖ 25 ὅτος εἶναι *Hβ* ἱκανῶς εἶναι Pl. ‖ 26 θνητόν τε καὶ ἀθάνατον δὲ ὄντως (sic *C*, δὲ ὅτως *H* δεόντως *Aβ*) ἅπαν ᾖ *BHβ*: correxi ex Pl. ‖ 27 *uertimini β*: τρέπεσθαι *BH*. ‖ 33 ὡς τὰ τ. πρ. ἀίδια om *A*. fort. ὡς τάπὸ τῶν πρώτων ἀ. ‖ 34 ἄλλο τις ἂν *AH*. ‖ 36 καὶ ante θεῶν om *A aut β*. ‖ 37 νῶν coni. Brandisius. ‖ *animam β*. ‖ τά τε ἄδηλα *A*.

ἀίδια καὶ τὰ φθαρτά. ἐπεὶ οὖν τὰ μὲν αὐτοῖς ἤνωθ' τοῖς θεοῖς *τῶν* ἀπογεννωμένων, τὰ δὲ οὐδέποτε αὐτοῖς ἀμέσως συνάπτεται πέφυκε, τὰ δὲ ποτὲ μὲν οὕτω ποτὲ δ' ἐκείνως, ἐν οἷς καὶ τὸ ἡμέτερον τέτακται, τὰ μὲν ἀεὶ πρὸς θεοὺς ὁρῶντα τρέφεσθαί φασιν ἐκεῖθεν ἀμβροσίᾳ καὶ νέκταρι· παρέχει δὲ αὐτοῖς ἡ μὲν ἀμβροσία τὸ χωριζὸν ἀπὸ τῆς γενέσεως, ἐν ᾗ ὁ βρότος καὶ ἡ αἱματώδης ἀκαθαρσία, τὸ δὲ νέκταρ τὸ μὴ θέλγεσθαι κατὰ τὴν τῶν τελευταίων προμήθειαν, ἀλλὰ ἀμειλίκτως καὶ ἀτρέπτως τῶν ὅλων προνοεῖν· τὰ δὲ ποτὲ μὲν πρὸς αὐτοὺς ἀνατεινόμενα πεφυκότα δὲ ἐκεῖθεν καὶ ἀφίσασθαι ἀληθεύοντα μὲν καὶ εὐορκοῦντά φασι τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος μεταλαμβάνειν, τοῦτ' ἔστι πρὸς τὸ ὄντως ὂν τεταμένα καὶ τὸ θεῖον σεβόμενα, ψευδόμενα δὲ καὶ ἐπιορκοῦντα, τοῦτ' ἔστιν ἐπὶ τὸ μὴ ὂν καὶ τὴν γένεσιν ἀποκλίναντα καὶ τοῦ θείου καταφρονητικῶς ἔχοντα χερίσκεσθαι τῶν ἐκ τοῦ νοητοῦ τροφῶν· τὰ δὲ θνητὰ καὶ ἐπίκηρα μηδὲ μεταλαμβάνειν αὐτῶν ποτέ. τίς ἂν οὖν γένοιτο ταύτης ἀληθεστέρα διάταξις ἢ περὶ ἀρχῶν ἢ περὶ τῶν ἀπ' αὐτῶν ὑποστάντων, ἐγὼ μὲν οὐδ' εἰς ἐπίνοιαν ἐλθεῖν δυνήσομαι· εἰ δὲ μὴ πᾶσι δῆλα τὰ παρ' αὐτῶν λεγόμενα, ἴσως μὲν καὶ κατ' ἐπιτήδευσιν ἡ ἀσάφεια παρ' αὐτοῖς διὰ τὴν τῶν πολλῶν πρὸς τὰ θεῖα τῶν δογμάτων ἀλλοτριότητα, ἴσως δὲ καὶ τὸ ἐνθεαστικὸν γένος οὕτω πέφυκε λέγειν αἰνιττόμενον
1000a 14. μᾶλλον ἢ διεξοδικώτερον ἀναδιδάσκον. "καίτοι ... τροφῆς". φορτικῶς μὲν ἠρώτηται ταῦτα· ῥητέον δὲ πρὸς αὐτά, ὅτι τροφαὶ μὲν αἱ παρὰ τῶν ὑποκειμένων αἰτίων ἐλλάμψεις καὶ χορηγίαι τῶν ἀγαθῶν λέγονται, αὗται δὲ καὶ ἀγαθύνουσι μειζόνως τὰ καὶ ἀπὸ τῆς ἑαυτῶν συγάσεως τὸ ἀγαθὸν ἔχοντα, καὶ τελειοτέρας ἀιδιότητος μεταδιδόασι τοῖς κατὰ τὴν ἑαυτῶν οὐσίαν ἀιδίοις ὑπάρχουσιν·
1000a 18. ὥστε καὶ εὐφροσύνης ἕνεκα καὶ τοῦ εἶναι τούτων μετέχουσιν. "ἀλλὰ ... σκοπεῖν". οὐ ταῦτα Πλάτωνος περὶ αὐτῶν ἠκούσαμεν λέγοντος, ἀλλὰ δοκιμάζοντος αὐτοῖς ἐν τοῖς περὶ θεῶν ἔπεσθαι λόγοις, καίπερ ἄνευ τε εἰκότων καὶ ἀποδείξεων λέγουσιν, ὡς συγγένειαν ἔχουσι πρὸς τὸ θεῖον περιττοτέραν ἢ κατὰ τοὺς ἀνθρώπους,
1000a 19. ὅθεν καὶ θεῖοι καὶ θειοτάτοις αὐτοὺς εἴωθε προσαγορεύειν. "παρὰ δὲ ... ὄντων". εἴρηται μὲν ὅτι καὶ αὐτὸ τοῦτο τῆς περιουσίας ἐστὶ τῶν ἀρχῶν ἔργον τὸ μὴ πρότερον λῆξαι τῆς ἀπογεννήσεως πρὶν ἂν πρὸς τοῖς ἀιδίοις καὶ τὰ θνητὰ συνυποστήσωσιν. εἴρηται δὲ καὶ ὅτι τὸ πᾶν οὐκ ἠδύνατο τέλειον εἶναι μὴ πάντα ἐν ἑαυτῷ ζῷα περιέχον, καὶ μὴν ὅτι καὶ οἱ κατ' οὐρανὸν τῷ ἑνὶ δημιουργῷ τὰ γενητὰ ζῷα συναπογεννῶντες ἀναγκαίως αὐτὰ θνητὰ ἐποίουν· τὰ γὰρ ἀπὸ κινουμένων αἰτίων γιγνόμενα διὰ παντὸς μένειν οὐ δύναται. ἐπὶ τούτοις τὸν Ἐμπεδοκλέα τῶν ἄλλων ἐν τούτῳ προθεὶς τῷ σκέμματι ὡς ἑαυτοῦ κατά γε τοσοῦτον μὴ διαφερόμενον ὅτι τὰς αὐτὰς τῶν ὅλων ἀρχὰς ὑποστησάμενος πάντα φθαρτὰ ποιεῖ καὶ οὐ τὰ μὲν ἀίδια τὰ δὲ φθαρτά, πάλιν αὐτὸν αἰτιᾶται ὡς ταῖς ἑαυτοῦ διαμαχόμενον ὑποθέσεσιν· αἰτίοις γὰρ δύο, φησί, χρώμενος ἑνὶ μὲν ποιητικῷ τῇ φιλίᾳ, τῷ λοιπῷ δὲ φθαρτικῷ τῷ νείκει, πολλὰ μὲν φθείρει διὰ τῆς φιλίας, πολλὰ δὲ γεννᾷ διὰ τοῦ νείκους· ἔτι δὲ κρατεῖν αὐτὰ παρὰ μέρος λέγων, τὴν αἰτίαν οὐ λέγει τῆς μεταβολῆς τῶν ἀρχῶν. ἀλλ' ὅτε πάντα φθείρειν φήσομεν Ἐμπεδοκλέα (οὐ γὰρ δεῖται τῆς τοιαύτης πρὸς ἑαυτὸν συμφωνίας), ἀλλ' ὥσπερ τοὺς ἄλλους Πυθαγορείους οὕτω καὶ αὐτὸν εἰδέναι τὰς μὲν νοητὰς οὐσίας τὰς δὲ αἰσθητάς, ὅτε φθαρτικὴν μὲν ὑποτίθεται τὸ νεῖκος ἀρχήν, μόνην δὲ τὴν φιλίαν ποιητικήν, οὐ τὴν αἰτίαν τῆς δοκούσης αὐτῶν εἶναι παρὰ μέρος ἐπικρατείας ἀποσεσιωπηκέναι, ἀλλὰ γὰρ Πυθαγόρειον ὄντα καὶ Ὀρφικὸν ὑποθέσθαι μὲν μίαν τῶν ὅλων ἀρχήν, περὶ ἧς οὔτ' αὐτὸς οὔτε Παρμενίδης οὔτε Πυθαγόρας ἐπέτρεπον ἑαυτοῖς λόγους καταβαλέσθαι πλείονας, τὰς δύο ταύτας ἀρχάς, φιλίαν καὶ νεῖκος, ἃς οἱ Πυθαγόρειοι μονάδα καὶ δυάδα κατωνόμαζον, ἀόριστον αὐτὴν καλοῦντες διὰ τὴν ἐπὶ πᾶν ὑποφθάνουσαν δύναμιν· ἐκ δὲ τούτων τῶν ἀρχῶν τόν τε νοητὸν κόσμον ἀναφαίνεσθαι καὶ τὸν αἰσθητόν· ἐν μὲν οὖν τῷ νοητῷ σφαίρῳ προσαγορευομένῳ κατὰ τὴν ποίησιν ἐπικρατεῖν τὴν φιλίαν διὰ τὴν ἕνωσιν τῶν αὐλῶν καὶ θείων οὐσιῶν, ὡς αὐτῆς εἶναι δοκεῖν τὸ πᾶν γέννημα, ἐν δὲ τῷ αἰσθητῷ τὸ νεῖκος. τοῦ δὲ κρατεῖν ἑκατέραν τῶν ἀρχῶν ἐν ἑκατέρῳ, καίπερ ἀμφοτέρων οὐσῶν πανταχοῦ, ἡ ἐκ τοῦ ἑνὸς τοῦ ἀμφοῖν ἐξηρημένου καθήκουσα τελειότης εἰς αὐτὰ αἰτία, ἣν τελειότητα χρόνου καλεῖ, τελείωσιν ἀπὸ τοῦ φρουροῦντος τὰ ὅλα καὶ συνέχοντος προϊοῦσαν· χρόνον δὲ καὶ Ὀρφεὺς τὸν πρῶτον ἐκάλει· ὁ δὲ ὅρκον μὲν τὸν πρῶτον ὡς ἔρκος καὶ φρουρὰν τῶν ἄλλων, τὴν δὲ ἀπ' αὐτοῦ προϊοῦσαν εἰς τὰς δύο τῶν ὅλων ἀρχὰς τελειότητα τὴν μετροῦσαν αὐτῶν τὰς δυνάμεις καὶ τὰς ἐπικρατείας τελείωσιν ὠνόμασε χρόνου, ὡς εἰ ἔλεγε τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν. "ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν
1000b 14. ἐθρέφθη." μέγα μὲν αὐτὸ προσειπὼν ὥσπερ ὁ Ὀρφεὺς τὸν χάος "καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα," καὶ ὁ Πυθαγόρας

1 καὶ φθαρτὰ libri: τὰ inserui. ‖ 2 τῶν addidi. ‖ ἀπὸ γεννωμένων B. ‖ 3 ὅτα *H*. ‖ 5 καὶ .... 6 ἀμβροσία om *A*. ‖ *ambrosia quidem ab ipsa generationes, operationem, in qua est tabes β.* ‖ 6 βρῶτος (*A*) βρωτὸς *H*. ‖ 8 ἀλλὰ καὶ ἀμειλίκτως *H*. ‖ 10 εὐορβοῦντα *H*. ‖ 12 ὄντως om *H* ὕτως (*A*). ‖ τὸ θεῖον σέβασμα *H*. ‖ 15 τὰ δὲ] ὡς τά γε libri cum *β*. correxi cl. l. a2. ‖ μηδὲ] μὴ *H*. ‖ 16 διάταξις (*disputatio* uitiose pro *dispositio*) ἡ π. *β*. ‖ 17 εἰς] εἰ *H*. ‖ 22 ἀναδιδάσκων *H*. ‖ 24 ἐλάμψεις *H*. ‖ 25 δὲ καὶ *CH* et (*haec uero à maioribus bonis afficiunt*: scr. '&' pro ἀ) *β*: δὲ *A*. ‖ 29 Plato Tim. p. 40 D. E. ‖ 35 ἀπογενήσεως libri. ‖ 38 καὶ μὴν καὶ ὅτι καὶ οἱ *A*.

3 δύνανται *BH*. ‖ προσθεὶς *β*. ‖ 9 πολλὰ ... πολλὰ] suspiceris Syrianum ap. Arist. p. 1000 a28 et b12 τὰ πολλὰ legisse non τἆλλα. ‖ 17 γὰρ *C quidem β* om *AH*. fort. ἀλλ' ἄρα. ‖ 19 ὅτε αὐτὸς *B*. ‖ 20 καταβάλλεσθαι *H*. ‖ καὶ *CH*: τε καὶ *A*. ‖ 26 ὡς αὐτῆς *CH* ὡσαύτως *Aβ*. ‖ δοκεῖ *Aβ*. ‖ γένημα (*A*)*H*. ‖ 27 ἑκατέραν *β*: ἑκατέρα libri, ἑκάτερα Brandisius edidit. ‖ 28 καίπερ *Cβ* κραίπερ *H* καὶ παρ' *A*. ‖ 29 corrigas ἦν "τελειομένοιο χρόνοιο" cl. Empedocl. u. 140 Steinii. ‖ 30 φρουοῦντος *H*: φρονοῦντος *B ab intellectione β*. ‖ καὶ om *β*. ‖ 31 δὲ καὶ *C*: δὲ *AH* δὲ καὶ om *β*. ‖ Ὀρφεύς: cf. Lobeckius Aglaoph. p. 470. ‖ 32 ὁ δὲ] τὸ δὲ libri cum *β*. cf. Emped. 141. ‖ 35 χρόνον· ὡς ἔλεγε *H*. ‖ 36 μελέεσιν *H*. ‖ 37 αὐτῷ *A*. ‖ προσειπὼν *H*: προειπὼν *Bβ*. ‖ ὁ om *H*. ‖ χάος] χάσμα· *H*. ‖ cf. Lob. Agl. p. 472 sq.

ἀόρίςον τὴν δυάδα· μέλη δὲ αὐτῷ δὺς ϗ αὔξησιν, ἐπειδὴ
προόδυ ϗ γενέσεως ϗ πλήθυς ϗ πολλαπλασιασμοῦ ϗ πάσης
1000b 14. αὐξήσεως τοῖς ὅλοις αἴτιον γίνεται. "ἐπὶ τιμάς τ' ἀνόρυσε
τελειομένοιο χρόνοιο." τιμῶν τε ϗ βασιλειῶν ἀνελάβετο
κῆ τὴν τελείωσιν, ἣν ὁ χρόνος ἐπέφερεν αὐτῷ· μετρεῖ γὰρ τὸ
1000b 15. πρώτιςον ϗ τὴν ἄπειρον δύναμιν τῶν δύο τούτων ἀρχῶν. "ὅς
σφιν ἀμοιβαῖος πλατέος παρελήλαθ' ὅρκυ." ἥτις αὐταῖς
τελειότης ἀπὸ τῆς φρυρᾶς τῶν ὅλων ϗ τῆς πρωτίςης τῶν
ἁπάντων ἀρχῆς ἐνδίδοθ, ἣν πλατεῖαν ὡς ἀπερίληπτον τοῖς πᾶσι
ϗ ὡς πάντα περιλαβοῦσαν ϗ μετρήσασαν κέκληκεν· "ἀμοι-
βαῖος" δὲ οὐχ ὅτι ποτὲ μὴ τούτῳ ποτὲ δὲ ἐκείνῳ τὴν τελείωσιν
ἐπιφέρει τὸ ἐξῃρημένον αὐτῶν ἕν, ἀλλ' ὅτι ἰδίαν ἑκατέρῳ ϗ τὴν
πρέπουσαν ἀμφοτέροις. εἰ δὲ ϗ "ἀμοιβαῖος" ὁ ἑπόμενός ἐςι ϗ
ἀεὶ συνὼν αὐτοῖς ϗ οὐδ' ὁπωςιοῦν ἀπολιμπανόμενος οὐδενὸς τῶν
ὄντων, μήτοι γε τῶν μετ' αὐτὸν δυοῖν ἀρχῶν, ὀρθῶς ἂν ϗ
οὕτως εἰρῆθθ δόξειε· πᾶσι γὰρ πάρεςι τὰ ἐκ τῆς πρωτίςης τῶν
ὅλων αἰτίας ἀγαθὰ χορηγούμενα. πῶς δὲ ϗ τὸν νοητὸν θεὸν
ἀφρονέςατον Ἐμπεδοκλῆς ποιεῖ, παρ' ᾧ ἡ αὐτοαλήθεια; ὅτι,
φησί, τὸ νεῖκος οὐκ ἔςιν ἐν αὐτῷ, τῷ ὁμοίῳ δὲ κατ' αὐτὸν τὸ
ὅμοιον γνωρίζομεν. ἀλλ' ἔςι μὴ ϗ παρ' αὐτῷ τὸ νεῖκος διὰ τὴν
ἕνωσιν τὴν ἐν αὐτῷ ϗ τὴν ταὐτότητα, δι' ἃ ϗ Παρμενίδης
ἓν εἶναι τὸ ὂν ἔλεγεν. ἔπειτα εἰ ἡμεῖς "γαίῃ γαῖαν ὀπώπαμεν,"
διὰ τί ϗ τὰ θεῖα οὕτω; πῶς δὲ αὐτῷ ἁρμόζει λέγειν ὅτι τὸ μὴ
πάντα νοοῦντος; οὕτω γὰρ ἂν ϗ ὁ παρ' αὐτῷ πρῶτος θεὸς
ἑαυτὸν μόνον νοῶν ἔλαττον ἂν ἡμῶν ἔχοι τῶν ἐπὶ πάντα τρέ-
πειν τὸ τῆς ψυχῆς ὄμμα δυναμένων. ἀλλὰ περὶ μὴ τούτων ἀρ-
κείτω τὰ λελεγμένα. ἑξῆς δὲ ὁ Ἀριςοτέλης ἀπορεῖ πρὸς τοὺς
ἑτέρας μὴ τῶν ἀιδίων ἑτέρας δὲ τῶν φθαρτῶν ἀρχὰς ὑποτιθε-
μένους εἶναι· εἴτε γάρ, φησί, *φθαρταί*, τὰς τῶν φθαρτῶν ἀρχὰς
φθείρουσιν ἐπ' ἄπειρον· δῆλον γὰρ ὅτι εἰς ταῦτα φθείρονται ἐξ
ὧν ἐγένοντο, ὥςε ἔσονθ τῶν ἀρχῶν ἀρχαί, ϗ τοῦτο εἰς ἄπει-
ρον. ἔτι δὲ πῶς οὐ πᾶσα συμπεσεῖθ γένεσις φθαρεισῶν αὐτῆς
τῶν ἀρχῶν; πάντα ταῦτα εὖ λέγων ϗ Πλατωνικῶς. εἴτε ἄ-
φθαρτοι, διὰ τί μὴ ϗ αὐταὶ ἀίδια ποιοῦσιν ὡς αἱ πρὸ αὐτῶν;
εἴρηθ δὲ ὅτι ϗ ἄφθαρτοι, ἀλλ' οὐκ ἀκίνητοι· ϗ τοῦτον εἶναι
τὸν "πολὺν λόγον" αἰνίττεθ. "ἀποτρώγειν" δὲ ἔφη τοὺς πρὸ
αὐτοῦ τὸ ἄπορον, ὅτι οἷον ἁψάμενοι αὐτοῦ φεύγουσιν ἀπ' αὐτοῦ,
ὥσπερ οἱ μύες ὅταν διὰ λιχνείαν μὴ προσίωσι τοῖς ὄψοις, οὐκ
ἀσφαλῆ δὲ νομίσωσιν εἶναι τὴν περὶ αὐτὰ διατριβήν· κἀκεῖνοι
γὰρ τοῖς ἀποτρώγουσι ϗ τοῖς ἀπογευομένοις ἐοίκασι.

"Πάντων δὲ ... ἔχειν" τοῦτο τρίτον ἐπὶ δέκα ἐςὶν ἐν τῇ 1001a 4.
ἐκθέσει τῶν προβλημάτων, δωδέκατον δὲ ἐνταῦθα διὰ τὸ πα-
ρεῖναθ πάντῃ τὸ ἕκτον, ὡς πολλάκις ἐπεσημηνάμεθα. εἴρηθ δὲ
ἐν τοῖς πρώτοις ὅπως φασὶν οἱ Πυθαγόρειοι ϗ ὁ Πλάτων. ϗ
ὅτι ὁ μὴ Ἐμπεδοκλῆς οὐκ ἔςιν αὐτοῖς διάφωνος ἐν τούτοις, ἴσως
δὲ οἱ ἀπὸ τῆς Ἰωνίας φυσικοὶ τὸ ἓν ϗ τὸ ὂν ὕδωρ ἢ πῦρ ἤ τι
τοιοῦτον εἶναι νομίζοντες· ἐπεὶ ϗ αὐτὸς ὁ Ἀριςοτέλης ϗ τὴν
νοητὴν ϗ ἀκίνητον οὐσίαν πρεσβεύει ϗ κατηγορεῖ τῶν σώματα
μόνα φασκόντων εἶναι· ἀλλ' ὧν τὸ μὴ ἓν ϗ τὸ ὂν δῆλός ἐςι
μὴ διςὰς ἐν τοῖς πράγμασιν, ἀλλὰ ταὐτὸν εἶναι λέγων τῷ
ὑποκειμένῳ, ἐπινοίᾳ δὲ εἰ ἄρα διαφέρειν ἀλλήλων, ἑκάτερον δὲ
τούτων ϗ ἀμφότερα τόδε τι σημαίνειν, οἷον νοῦν ἢ ψυχὴν ἢ
κόσμον ἢ ἥλιον, αὐτὸ δὲ τὸ ἓν εἶναι ἢ τὸ ὂν μηδὲν ἄλλο τῶν
ὄντων ὂν οὐκ ἀνεχόμενος. περὶ ὧν ἴσως ἐξέςαι κῆ καιρὸν ἀπο-
ρῆσαι πρὸς αὐτόν· τέως δὲ [νῦν] τὰς εἰς ἑκάτερον ἐπιχειρήσεις
αὐτοῦ κατανοήσωμεν. "συμβαίνει .... καθ' ἕκαςα." ἔχει μὴ ὁ 1001a 19.
λόγος πολλὴν ἀνάγκην ϗ κῆ τὸ φαινόμενον· εἰ γὰρ ἔςι τὰ καθόλου
πολλῷ πλέον ἔςι τὰ καθολικώτατα· ϗ εἰ ἔςι τὰ καθολικώτατα.
ἔςι τὸ ὂν ϗ τὸ ἓν ἐξῃρημένα τῶν ὅλων· ταῦτα γάρ ἐςι τὰ
καθολικώτατα. εἰ δὲ ταῦτα μὴ ἔςιν, οἴχεθ τὰ καθόλου· ᾧ ἕπεθ
τὸ μήτε ἐπιςήμην εἶναι, μήτε κῆ φύσιν ἀλλήλοις ὁμοειδῆ τὰ
πράγματα εἶναι, κῆ συντυχίαν δὲ ϗ κῆ τὸ ἀςάθμητον ϗ εἰκῆ
τάδε τοῖσδε μὴ εἶναι ὁμοειδῆ, τῶνδε δὲ ἀνομοειδῆ. μὴ γὰρ προϋ-
πάρχοντος ἑνὸς εἴδους, οὗ τὰ μὴ μετέχοντα ὁμοειδῆ, τὰ δὲ μὴ
μετέχοντα μὴ ἔςιν ὁμοειδῆ, οὐχ ὁρῶ τίς ἔςαι τούτων αἰτία
ποιητικὴ ϗ φυσικὴ ϗ ἀναπόδραςος. οὐ μὴν ἀλλ' εἴ τις ἐνα-
τενίσειε τῷ λόγῳ, προσεχῶς μὴ ὄψεθ τά τε εἴδη ϗ τὰ καθόλου
συναναιρούμενα τῇ ὑποθέσει, οὐδὲν δὲ ἧττον ϗ τὰ αἰθητὰ τῶν
ὄντων περιγραφόμενα. εἰ μὴ γὰρ εἴη αὐτοῦν τῶν ἁπάντων ἐξῃ-
ρημένον, οὔτε τῶν καθόλου δύναταί τι εἶναι οὔτε τῶν ἀτόμων·
τὸ μέν, ὅτι ἓν ϗ πλῆθος ἡ φύσις, δεῖ δὲ προτάττειν τὸ μόνως
ἕν· τὸ δέ, ὅτι πολλὰ ἓν ἡ σύςασις, ϗ ἅμα ὅτι τῶν ἐν μεθέξει
εἰ μὴ προθείη τις τὸ ἀμέθεκτον ἕν, οὐκ ἔςαι τι αἴτιον τοῖς οὖσιν
ἑνώσεως, ὥσπερ οὐδὲ τοῦ εἶναι τοῖς ὁπωςοῦν οὖσιν αἰτίαν κα-

1 τὴν om (*A*)*H*. ‖ 3 ἐπὶ *BH*: scr. εἰς. ‖ 4 τειομένοις χρόνοις *H*. ‖ καὶ *C*: om *AHβ*. ‖ βασιλείων *H*. ‖ 6 ἀπειροδύναμιν (*A*)*H*. ‖ τούτων om *β*. ‖ ὅς φιν pr*H*. fort. ὅ σφιν. ‖ 7 ὅρκος *H*. ‖ αὐταῖς (sc. ἀρχαῖς cf. l. 6)] αὐτῆς *BH* αὐτῆς *β*. ‖ 12 αὐτοῦ *β*. ‖ 13 δὲ ἀμοιβαῖος *Aβ*. ‖ ὁ] *ut* (ὡς?) *β*. ‖ 15 μετ' αὐτῶν *Aβ*. ‖ 20 ἀλλ' ἔςι *CH* ἀλλ' ἦν *A sed erat β*. ‖ 22 Emped. 333. ‖ 23 *cur non et diuina sic? β*. ‖ *dicere quod non omnia intelligat β*. subest hiatus, fort. ὅτι τὸ μὴ πάντα νοεῖν ἀφρονοῦντος. ‖ 24 νοῦτος sic *H*. ‖ 27 τὰ λεγόμενα *H*. ‖ 28 ἀρχαὶ *H*. ‖ 29 φθαρταί inserui cf. l. 33. φθαρτὰς addebat Bonitzius. ‖ 32 φθαρτῶν *AHβ*. ‖ αὐτῆς *CHβ* αὐτοῖς *A*.

1 ὥσπερ om *β*. ‖ μῦες *BH*. ‖ καὶ τοῖς ἀπαγορευομένοις *H*. fort. καὶ ταχέως ἀπαγορεύουσιν. ‖ 4 τοῦτον πρῶτον ἐπὶ *H*. ‖ 6 τὸ ᾱ *H*. ‖ 8 ὅτι μὲν (*A*)*H*. ‖ 9 φυσικοὶ] φησὶ κοινοὶ *H*. ‖ 10 adde εἰ ante καὶ τὴν. ‖ καὶ νοητὴν *AH*. ‖ 13 μὴ ἴςὰς *H*. ‖ 14 *subiecto forte intelligibili ab inuicem differre β*. ‖ 16 fort. ἄλλο τι τῶν. ‖ 18 νῦν inclusi. ‖ 19 μὲν *CHβ*: δὲ *A*. ‖ 20 καὶ ante κατὰ om *H*. ‖ εἰ γὰρ ἐςί τι ἓν καθόλου *H*. ‖ 21 καὶ εἰ ἔ. τὰ καθ. om *H*. ‖ 22 ἔςι *CHβ*: ἔςαι *A*. ‖ τὸ ἓν καὶ τὸ ὂν *H*. ‖ γὰρ ἐπὶ τὰ *H*. ‖ 23 ᾧ *C*: ἢ *AHβ*. ‖ 28 μὴ deesse uidit Brandisius cum Bonitzio: hiatum IIII litterarum exhibet *C*, om *AH*. μετ. ἐςὶν ἀνομοειδῆ *β*. ‖ 32 αὐτὸ ἓν *AH* ut saepe. ‖ 33 οὐδὲ τῶν καθ. libri cum *β*. ‖ 34 *hoc quidem quia β* τὸ μὲν οὔτε *BH*. ‖ 35 *illud uero β* τῶν δὲ *BH*. ‖ τῶν ἓν] τῶν *H*. fort. τῶν ἑνῶν. ‖ 36 προθείη] προσθείη libri cum *β*. ‖ τι] τὸ *BHβ*. ‖ 37 τοῖς ὄσιν *H* (*ipsis entibus*) *β* τῆς ὄσιν *B*.

ταλιμπάνουσιν οἱ μὴ τὸ ὂν ἀρχὴν ἁπάντων εἶναι λέγοντες. ὥσπερ γὰρ τῶν ἀγαθῶν τοῖς πᾶσιν ἀρχὴ μία τὸ ἀγαθόν, ὃ ὅτε τινός ἐστιν ἀγαθὸν ὅτ' ἄλλο τι παρὰ τἀγαθόν, καὶ ὥσπερ τοῦ κινεῖσθαι τοῖς πᾶσι τὸ αὐτοκίνητον αἴτιον καὶ τούτῳ δὲ ἡ αὐτοκίνησις, ἥτις οὐ τοῦδέ ἐστι κίνησις οὐδ' ἄλλο τι παρὰ τὴν κίνησιν, ἀλλ' ὅπερ εἴπομεν αὐτοκίνησις, ἔχει δὲ καὶ τὰ γιγνώσκοντα πάντα τὴν αὐτόγνωσιν ἀρχήν· οὕτω τὰ μὴ ὄντα ἢ ὄντα πρόεισιν ἀπὸ τοῦ ὄντος, ὃ οὐ τόδε ἐστὶ τὸ ὂν ἀλλ' αὐτοόν, τὰ δ' ἡνωμένα τὴν
1001a 24. ἕνωσιν ἀπὸ τοῦ ἑνὸς τοῦ ἐξῃρημένου τῶν ὅλων καταδέχεται. "ὅ τι δὲ .. ὄντων." ἕπεται μὴ ἐξ ἀνάγκης μηδ' ἀριθμὸν εἶναι τὸν ὑσιώδη τοῦ ἑνὸς μὴ ὄντος, οὐ μὴν δι' ἣν ἐπιφέρειν μέλλει αἰτίαν· λογικὴ γάρ ἐστιν. αὐτίκα ψευδῶς ἐκ μονάδων λαμβάνει συγκεῖσθαι τὸν εἰδητικὸν ἀριθμὸν καὶ ὑσιώδη· κἂν ἐκ μονάδων δέ τις αὐτὸν εἶναι συγχωρήσῃ, οὐ δήπου ἐξ ὁμοειδῶν τῷ ἑνὶ περὶ οὗ ὁ λόγος· πῇ δὴ ὧν ἀληθὲς τὸ εἰρημένον, ὅτι καθ' ὁμοιότητα τοῦ ἑνὸς ὁ ἀριθμὸς ἁπανταχοῦ πρόεισιν; ἂν μὴ ὧν ἤ τι ἓν ἐξῃρημένον τῶν ὅλων, ἔσται τις καὶ ἀριθμός, ὅθ' ὁ ἐν τοῖς ἀριθμητοῖς ὅθ' ὁ μοναδικός, τελευταῖοι γὰρ ὅτοι καὶ ἄλλῳ ἑνὶ συνυφισάμενοι, ἀλλ' ὁ αὐτοαριθμὸς εἶδος ὢν νοερὸν καὶ ὑσία ἡ πρωτίστη καὶ νοητή· ἐὰν δὲ μὴ ᾖ τὸ αὐτοέν, ἀρχῆς μὴ ὄσης οὐδ' ἂν τὸ ἐκ τῆς ἀρχῆς
1001a 27. ὑποσαίη. "εἰ .... ὄν". καὶ τοῦτο εὖ λέγει· κοινότερον δὲ ἐπὶ τοῦ ἑνὸς τῇ οὐσίᾳ χρῆται, ἐπεὶ μόνον ἓν ὂν δηλονότι καὶ ὑπὲρ οὐσίαν ἐστίν· εἴ γε ἡ μὴ οὐσία δεῖται τοῦ εἶναι ἕν, τὸ δὲ οὐ δεῖται τῆς
1001a 28. οὐσίας, ἵνα μὴ ἀντὶ ἑνὸς ἡνωμένον γένηται. "οὐ ... αὐτά." οὐ γὰρ ἕτερά τινα ὄντα κατηγορεῖται καθόλου τῶν ἄλλων πραγμάτων, ὡς τὰ εἴδη καὶ τὰ γένη (τὰ γὰρ εἴδη ἕτερα ὄντα τῶν ἀτόμων κατηγορεῖται αὐτῶν, ὁμοίως δὲ καὶ τὰ γένη τῶν εἰδῶν καὶ τῶν ἀτόμων ἕτερα ὄντα κατηγορεῖται), ἀλλ' ἡ οὐσία αὐτῶν τὸ αὐτοέν ἐστι καὶ τὸ αὐτοόν. ὡς ὧν τὸν Σωκράτην λέγομεν οὐχ ἕτερον ἑτέρου κατηγορῶντες, ἀλλ' ὅπερ ἐστὶν αὐτὸ λέγοντες, οὕτω καὶ τὸ ἓν καὶ τὸ ὂν οὐκ ἄλλα ὄντα κατ' ἄλλων τάττομεν. ἀλλ' αὐτὰ ταῦτα ἑρμηνεύοντες οὕτως ὀνομάζομεν. καὶ ἔστι μὴ ἀληθὲς τὸ λεγόμενον, προσθεῖναι δὲ χρὴ ὅτι εἰ καὶ μὴ καθ' ἑτέρων λέγεται, ἀλλ' ὧν
1001a 29. πᾶσιν αἴτια τοῦ εἶναι καὶ τοῦ ἡνῶσθαι ταῦτα καθέστηκεν. "ἀλλὰ .... ὄντα." ἄρχεται εἰς τὸ ἀντικείμενον ἐπιχειρεῖν, καί φησιν ἀπορώτατον εἶναι τοῖς αὐτοὸν ὑποτιθεμένοις τὸν περὶ τῆς τῶν ὄντων ὑποστάσεως λόγον. ὅτι μὴ ὧν βαθὺ τὸ σκέμμα, πῶς ἐξ ἑνὸς οὐδεμίαν διπλόην οὐδὲ ἔμφασιν πλήθους ἔχοντος ἐν ἑαυτῷ οὐδὲ ἑτερότητα τὰ πάντα ὑπέστη, δηλοῦσι Πλωτῖνος Πορφύριος Ἰάμβλιχος καὶ πάντες οἱ θεωρητικώτερον περὶ τοῦτο τὸ πρόβλημα διατρίψαντες· οὐ μὴν ἀλλ' αἰτιασάμενοι τὴν ἐν ἁπλότητι γονιμωτάτην αἰτίαν τοῦ ἑνὸς τὰ ὑπ' αὐτοῦ προτεινόμενα λύειν ἐπιχειρήσομεν. "τὸ γὰρ .. τὸ ὄν." ὁ μὴ Παρμενίδης ὅπως ἔλεγεν ἓν 1001a 31.
εἶναι τὸ ὄν, πολλάκις εἴπομεν, ὅτι τὸ πᾶν νοητὸν ἡνῶσθαι καθ' ὑπερβολὴν ἡγούμενος ἕν τε τὸ ὂν ἔλεγεν εἶναι καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν. ὅπερ ἦν τὸ αἰσθητόν, καὶ τὸ οὐκ ὂν οὐδέν, ὅτι μὴ ἰσότιμον ἐκείνῳ μηδ' ἔστι τι ὡς πρὸς ἐκεῖνο, μηδὲ πλέον ἐκεῖνο γίγνεσθαι τούτου ὑποστάντος· ὡς γὰρ ὁ Σωκράτης εἷς μένει κἂν ἔχῃ πολλὰς εἰκόνας, οὕτω τὸ νοητὸν ἓν μένει καὶ τοῦδε ὑποστάντος τοῦ κόσμου, ὃς οὐδέν ἐστι πρὸς ἐκεῖνο, πλὴν ὅτι ἐξήρτηται αὐτοῦ κἀκεῖθεν ἔχει τό τε εἶναι καὶ τὸ τέλειος εἶναι. αὐτῷ δὲ νῦν λέγοντι τὸ ἕτερον τοῦ ὄντος μὴ εἶναι οὐκ ἄν τις εὐλόγως [οὐ λόγῳ] συγχωρήσειε· πρῶτον μὲν γὰρ οὐ κατὰ τὸ ὅλον νοητὸν λαμβάνει τὸ ὂν παρ' αὐτῷ νῦν ἡ ὑπόθεσις εὐθυνομένη, ἀλλὰ τὸ ἀκρότατον αὐτοῦ, ὃ οὔτε νοῦς οὔτε ζωή πως, ἀλλ' αὐτὸ τὸ ὄν, οὗ τὰ ἐχόμενα καὶ τὰ προσεχῆ γεννήματα ἕτερα αὐτοῦ ὄντα ὅμως ὄντα ἐστίν. ἔπειτα εἰ μὲν ὡμολόγει καὶ αὐτὸς μὴ εἶναι ὄντα τὰ αἰσθητά, συγχωρεῖν ἔδει τῇ λεγούσῃ προτάσει τὸ ἕτερον τοῦ ὄντος μὴ εἶναι· ἐπειδὴ δὲ μάλιστα πάντων τούτοις ὡς οὖσι πιστεύει, πῶς ἂν ἐν καιρῷ ταύτην δέχοιτο τὴν συγκατάθεσιν; οὔτε οὖν τὸ ὂν τὸ Παρμενίδειον λαμβάνομεν οὔτε τὸ οὐκ ὄν. ὥστε ἐκεῖνο συγχωρήσαντες τοῖς νῦν ἐπιχειρουμένοις ἐνιστάμεθα. "ἀμφοτέρως .... ἕκαστον ἕν." ὅτι 1001b
μὲν οὖν τοῦ ἑνὸς μὴ ὄντος οὐκ ἔσται ἀριθμός, εἴρηται καὶ καλῶς εἴρηται· 1.
ἀρχῆς γάρ, φησίν, ἀπολομένης οὔτε αὐτή ποτε ἔκ του οὔτ' ἄλλο ἐξ αὐτῆς ποτε γενήσεται. διὰ τί δὲ καὶ ὄντος οὐκ ἔσται; ἆρα διὰ τὴν εἰσβολὴν τῆς ἐν τῷ Παρμενίδῃ πρώτης ὑποθέσεως, εἰ ἕν ἐστι, πολλὰ οὐκ ἂν εἴη; ἀλλ' ἐκεῖ πολλὰ οὐ τὰ ἀπὸ τοῦ ἑνὸς προϊόντα ἀναιρεῖ, ἀλλὰ τὰ ἐν αὐτῷ τῷ ἑνὶ ὑπάρχοντα. τῷ ὄντι γὰρ εἰ ἓν καθαρῶς ἐστιν, οὐκ ἂν αὐτὸ τοῦτο εἴη καὶ πολλά· πολλῶν μέντοι αἴτιον ἀριθμῶν νοητῶν τε καὶ νοερῶν καὶ ἐγκοσμίων οὐ κωλύει εἶναι. ὅτος δὲ λαμβάνει ὅτι τὸ παρὰ τὸ ἓν οὐδέν ἐστι· πάντα γὰρ τὰ ὄντα ἢ ἓν ἢ ἐκ μονάδων συνέστηκεν, ὡς' εἴ τι ἓν

2 τοῖς πράγμασιν *AHβ*. ‖ 3 τὸ ἀγαθὸν *AH*. fort. scr. παρ' αὐτὸ τἀγαθόν. ‖ 4 αἴτιον om *H*. ‖ 5 ὅτε τόδε *Aβ* ουτ .... cum lacuna III uel IIII litt. *H*. ‖ 6 ἔχει τε καὶ *β*. ‖ 7 ἀρχήν] ἀρχῆς *BHβ*. ‖ *sic omnia quidem entia β*. ‖ ἢ ὄντα (*A*)*H*. ‖ 8 ὅ τι τόδε *A*. *quod hoc ipsum non est non aliud quicquam per se ens β*. ‖ 14 συγχωρήσῃ *H* ut coni. Bonitzius: συγχωρήσει *A* συγχωρῇ *C*. ‖ ἐξομοειδῶντο ἓν *H*. ‖ 15 ὁ ἀριθμὸς om *β*. ‖ 16 τί ἓν *H*: ἓν om *Bβ*. ‖ 17 ὅθ' ὁ ἐν .... 19 αὐτοαριθμὸς om *AHβ*. ‖ 19 *si autem non sit per se unum, neque principium erit. principio autem non existente — β*. ‖ 22 ὑπεροσίαν *H*. ‖ 23 *indiget uno, ut sit β*. ‖ fort. τὸ δ' ἓν οὐ —. ‖ 24 ἀντὶ *Hβ*: ἄν τι *B*. ‖ 27 αὐτῶν ... 28 κατηγορεῖται om *β*. ‖ 27 αὐτῶν deleuerim. ‖ 28 αὐτὸ ἓν ἐστιν· καὶ αὐτὸ ὄν *H*. ‖ 29 σωκράτος *H*. ‖ 30 ἀλλό τι πέρ ἐστιν *H*. ‖ 32 οὕτω *BH*. ‖ 34 πᾶσιν ἀντὶ τοῦ *AH*.

1 οὖν om *β*. ‖ 2 οὐδὲ *μίαν πλόην H*. ‖ ἔκφασιν (*A*)*H*. ‖ 5 αἰτιασάμενος *H*. ‖ τὴν om *A*. ‖ 7 ἓν *CHβ*: om *A*. ‖ 12 μένει· οὐκ ἂν ἔχῃ *H*. ‖ 14 *qui nihil est ut ad* (ὡς πρὸς fort. recte) *illud β*: unde traditum a *BH* ἐκεῖνον correxi. ‖ 16 εὐλόγως οὐ λόγῳ sic cum spatiis *C*, unde αὐτῷ τῷ λόγῳ olim coniciebam. sed οὐ λόγωι nil nisi uitiose scriptum εὐλόγως. ‖ *rationabiliter sermone* (οὐ om.) *concesserit β*. ‖ 17 οὐ κατὰ] scr. οὐκέτι. ‖ ἡ παρ' αὐτῷ νῦν ὑπ. *β*. ‖ παρ' αὐτῶν *A*. fort. ὥσπερ αὐτός. ‖ 19 ζωὴ πῶς (*A*)*H*. ‖ 22 μὴ om (*A*)*H*. ‖ 23 τούτοις om *Aβ*. ‖ 24 παρμενίδιον *H* παομενίδω *A*. ‖ 25 ἐκείνῳ *AH*. immo scr. ἐκεῖνο οὐ. ‖ 26 ἐπιχειρούμενοι *H*. ‖ ἓν om *H*. ‖ 28 φησίν om *β*. ‖ ἀπολυμένης *H*. cf. ad p. 858b 18. ‖ 31 Pl. Parm. p. 137 C sq. ‖ 32 αὐτῷ ἑνὶ *AH*. ‖ 36 ὡς' ... p. 862 a2 οὐδέν ἐστι] *quapropter si quid est alterum ab uno, nihil est β*. ‖ εἴ τι] ὅτι *H*.

ἀπὸ τοῦ ἑνός, ἕτερον μὲν ἔσται τοῦ ἑνός, ἕτερον δὲ τοῦ ἑνὸς ὑπάρχον οὐδέν ἐστι, τὸ δὲ μηδὲν οὐκ ὄν, ἐπειδὴ πᾶν τὸ ὂν "ἢ ἓν ἢ πολλὰ ὧν ἕκαστον ἕν." φαμὲν δὲ ὅτι οὐκ ἔστι τὸ ἀπὸ τοῦ ἑνὸς ἤδη οὐδέν. οὐ γὰρ εἰ μὴ ἐκεῖνο τὸ ἕν, ἤδη οὐχ ἓν ἢ οὐδέν, ἀλλὰ δευτέρως ἓν καὶ πάλιν τρίτως· οὐ γὰρ καὶ τὰ ἔσχατα τῶν ἐσχάτων, τὰ ἐπίκηρα καὶ ἔνυλα τῶν αἰθητῶν μετέχει τοῦ ἑνός; ἢ πῶς δὲ τῶν νοητῶν τι καὶ θείων ἐσέρηται τοῦ ἓν εἶναι; ἀρκεῖ οὖν ἡ γονίμη τοῦ ἑνὸς αἰτία ἐξ αὐτῆς παράγειν καὶ ἀριθμοὺς καὶ τὰ πάντα, καὶ οὐ δεῖ ζητεῖν ὑποκείμενον ἐξ οὗ τὰ ὄντα ὑφίστησι· τοῦτο γὰρ ἡ
1001b 7. φύσις πρώτη δέδεικται. "ἔτι εἰ .. εἴη". φορτικὸν μὲν αὐτός φησιν εἶναι τὸν λόγον τοῦ Ζήνωνος ἀναιροῦντος τὴν τοῦ ἑνὸς φύσιν καὶ τὴν τοῦ σημείου καὶ παντὸς τοῦ ἀδιαιρέτου, ὅτι μήτε προσιθέμενα μήτ' ἀφαιρούμενα τὸ ποσὸν τῶν ὑποκειμένων ἀμείβουσιν· ὁ γὰρ τοῦτο λέγων, φησί, πρῶτον μὲν ἅπαν τὸ ὂν μέγεθος εἶναι οἴεται καὶ τοῦτο σφόδρα· τὰ γὰρ ἐπίπεδα καὶ αἱ γραμμαὶ οὐ παντοδαπῶς προσιθέμενα ἢ ἀφαιρούμενα μειοῦσιν ἢ αὔξουσι τὸ ὑποκείμενον, ἀλλ' ἐὰν μὲν κατὰ τὸ πέρας αὐτῶν συντεθῶσιν αὔξουσιν, ἄλλως δὲ οὔ. ἔπειτα, ὅτι καὶ εἰ μὴ μεῖζον ἡ μονὰς ποιεῖ τὸ ποσόν, ἀλλὰ πλεῖον. ἡμεῖς δὲ πρὸς τοὺς πολλοὺς τὸν Ζήνωνα γυμνασικοὺς λόγους ποιούμενον οὐκ ἀπὸ σπουδῆς τούτοις ἐπιχειρεῖν οἰόμεθα· εἰ μὴ ἄρα τοσοῦτον ἠνίττετο, ὅτι τὰ ἀδιαίρετα τῆς φύσεως οὐκ ἔστι τῶν διαιρετῶν ἀλλ' ὑπερέχοντα τούτων ἄλλως
1001b 13. αὐτὰ περατοῖ καὶ ὁρίζει. "ἀλλὰ .... μέγεθος". πάλαι μὲν αὐτὸ θαυμαστὸν εἶναι κατεφαίνετο, εἰ καὶ ἀριθμὸς ἐκ τοῦ τοιούτου ἑνὸς ὑποστῆναι δύναται, νυνὶ δὲ παραδοξότερον ἔτι φησὶ τὸ μέ-
1001b 18. γεθος ἐξ αὐτοῦ παράγειν. διὸ καὶ ἐπήγαγεν· "ὅμοιον ... φάσκειν." ἡμεῖς δὲ τὸ μὲν αὐτομέγεθος ἀμερὲς ὂν καὶ θεῖον καὶ νοητὸν καὶ ἐν πρώτοις ἡνωμένον τῶν ὄντων πρὸς * ἐκεῖθεν μετὰ πάντων τῶν ὄντως ὄντων ἐκφανῆναί φαμεν· τὸ δὲ αἰθητὸν μέγεθος ἡ φύσις ἐπιφέρει τῇ ὕλῃ δυναμουμένῃ καὶ ποδηγετουμένῃ παρὰ τῶν δημιουργικῶν θεῶν, ὧν πατὴρ ὁ εἷς καὶ ὅλως δημιουργὸς ἔκγονος ὢν τἀγαθοῦ, ταὐτὸν δὲ εἰπεῖν τοῦ ἑνός, ὃ πάντα μιμήσει τὴν ἕνωσιν ἐπιφέρει τοῖς μεθ' ἑαυτά, ὥστε διὰ ταὐτὸν ἡνῶσθαι καὶ τὸ αἰθητὸν μέγεθος. πῶς οὖν ὅμοιον τὴν γραμμὴν ἐκ στιγμῶν λέγειν συνεστάναι, ὃ δέδεικται ὂν ἀδυνατώτατον, καὶ τὸ ἓν τὰ παντοῖα μεγέθη παράγειν; οὐδὲν γὰρ αὐτοῖς κοινὸν πλὴν ὅτι ὥσπερ τἆλλα πάντα ἴχνος τι καὶ ἔσχατον ἴνδαλμα παρεσπάσατο τοῦ ἑνός, οὕτω καὶ ἡ στιγμὴ τῷ ἀδιαιρέτῳ μιμεῖσθαι δόξειεν ἂν τὸ ἕν· ἀλλ' ἡ μὲν ἀτελής ἐστι καὶ καθ' ἑαυτὴν ἀνυπόστατος, καὶ ὅπερ ἐστὶν ἄλλο ἐστίν, ἔτι δὲ ἄγονος ἄζωος ἀνόητος, τὸ δὲ παντὸς αἴτιον τοῦ τελείου καὶ τοῦ ὄντως ὄντος ἐφ' ἑαυτοῦ τε μένον, γεννητικώτατον τῶν ἁπάντων, ζωῆς καὶ νοήσεως ἀρχή, κρεῖττον δὲ αὐτὸ τούτων ἁπάντων, ὧν ἐστιν ἀρχή. "ἀλλὰ . . . 1001b 19.
δῆλον". ἀπορεῖ δὲ πρὸς τὸν Πλάτωνα, πῶς ἐξ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἣν οὐκ ἓν καὶ ἀνισότητα καλεῖ, νῦν μὲν ἀριθμὸν ποιεῖ, νυνὶ δὲ μέγεθος· οὐδὲ γὰρ εἰ ἀντὶ τοῦ ἑνὸς τὸν ἀριθμὸν τῇ ἀορίστῳ δυάδι συνταξει, δῆλον ἔσται, πῶς ἐξ αὐτῆς τὸ μέγεθος ὑφίστησι. πρὸς ἃ φαμεν ὅτι ἡ μὲν νοητὴ μονὰς καὶ δυὰς τὸν ἐκεῖ γεννῶσιν ἀριθμόν, τὰ δὲ ἀνάλογον αὐταῖς παρ' ἡμῖν τὸ αἰθητὸν μέγεθος· ἔστι δὲ τὸ παρ' ἡμῖν εἶδος οἷον ἓν καὶ μονάς, ἡ δὲ ὕλη τὸ ἔσχατον τῆς ἀορίστου δυάδος μίμημα, ἐξ ὧν τὸ τῆδε μέγεθος. εἰ δὲ τὴν φύσιν ἐθέλοις διὰ τὸ γεννητικὸν κατὰ τὸ ἓν τάττειν καὶ τὴν μονάδα, τὸ εἶδος κατὰ τὸν ἀριθμὸν θεωρήσεις. ὥστε τὸ μέγεθος ἄλλως μὲν ἐκ μονάδος καὶ τῆς ἀορίστου δυάδος ὑφεστάναι λέγοιτ' ἂν οὐκ ἐπιθύσης ἑαυτὴν τῆς μονάδος τῷ συστήματι τοῦ μεγέθους, ἄλλως δὲ ἐξ ἀριθμοῦ καὶ τῆς ἀορίστου δυάδος τῶν ὥσπερ στοιχείων αὐτοῦ τοῦ μεγέθους.

"Τούτων δὲ .. οὔ." ἐν μὲν τῇ ἐκθέσει τῶν προβλημάτων 1001b 26.
τοῦτο τελευταῖόν ἐστι καὶ ἑπτακαιδέκατον, νυνὶ δὲ τρίτον ἐστὶν ἐπὶ δέκα διὰ τὴν πρὸς τὸ προγυμνασθὲν οἶμαι συγγένειαν· ζητήσας γὰρ ἐν ἐκείνῳ, εἰ τὸ ἓν καὶ τὸ ὂν οὐσία, αἳ δὴ ἀρχαὶ εἶναι τῶν νοητῶν ἐδόκουν οὐσιῶν, νῦν εἰ αἱ μαθηματικὴ θεωρίαι περὶ οὐσίαν ἀναστρέφονται, θελήσει σκέψασθαι· εἴρηται δὲ ἐν τοῖς πρώτοις, τίνα μὲν τούτων οὐσίας, τίνα δὲ χρὴ νομίζειν εἶναι συμβεβηκότα· διὸ τοῖς ἐπιχειρήμασι νυνὶ προσεκτέον. "εἰ μὴ γάρ εἰσι, δια- 1001b 28.
φεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων." ἐάν τις, φησί, μὴ λέγῃ ταῦτα οὐσίας, ὅπῃ ἴσμεν τίς ἐστιν ἡ οὐσία· οὐ γὰρ δὴ ἡ λευκότης ἢ ἡ λευκανσις οὐσία, ἀλλὰ τὸ μὲν πάθος οὐσίας, τὸ δὲ κίνησις· οὐ μὴν οὐδὲ τὸ δεξιὸν ἤ τι τῶν πρός τι λεγομένων οὐσία, οὐδ' ἡ ὑγεία οὐδ' οἱ περὶ τούτων λόγοι, ἀλλὰ τὸ μὲν διάθεσις οὐσίας, τὸ δὲ φωναὶ σημαντικαί. διὸ καὶ ἐν ὑποκειμένῳ πάντα ἐστὶ ταῦτα καὶ οὐδὲν καθ' αὑτὸ ὄν· ὕδωρ δὲ καὶ πῦρ καὶ ἀὴρ καὶ γῆ κατὰ μὲν τὰς ποιότητας οὐκ οὐσίαι, κατὰ δὲ τὸ σῶμα τὸ ἄποιον, ὃ καὶ διαμένειν φαμὲν ἐν ταῖς παντοίαις μεταβολαῖς, ἴσως ἂν οὐσιῶδες ἔχοι τι· πλὴν καὶ τούτου δοκεῖ μᾶλλον εἶναι ἡ ἐπιφάνεια καὶ ταύτης ἡ γραμμὴ καὶ τῆς γραμμῆς ἡ στιγμὴ καὶ

3 ἔστι τὸ scripsi cum Bonitzio: ἔστιν *BH*. ‖ 4 οὐ γὰρ] ὅπου γὰρ libri cum *β*. ‖ 6 τὰ ante ἐπίκ. om *A*. ‖ 6 ἢ πῶς δὲ *H*. ‖ 7 θείων *H* θεῖον *Bβ*. ‖ 8 ἐξ αὐτῆς .... πάντα om *β*. ‖ 9 ὑποκείμενον om *β*. ‖ γὰρ *CH*: δὲ *Aβ*. ‖ 10 δεδέκται *C*. ‖ 12 μήποτε *H*. ‖ 13 προτιθέμενα (*A*)*H*, item u. 16 *H*. ‖ 15 καὶ αἱ] καὶ *BH*. ‖ 16 ἢ ἀξιοῦσι *H*. ‖ 18 δὲ ὄν· *H*. ‖ ὅτι suspectum. ‖ 19 πρὸς ante τὸν male transposuit *β*. ‖ 26 καὶ om *AHβ*. ‖ 28 ἡνωμένοις *Aβ*. ‖ πρὸς ... 29 ὄντων om *H*. ‖ πρὸς om *β*. hiatum notaui. ‖ 29 ἐμφανῆναι *H*. ‖ 30 ποδηγετουμένη ἡ παρὰ *BH*: ἡ expunxi. ‖ 31 καὶ ὅλος *C*. ‖ 33 ὥστε (ὥς' *H*) εἰ δι' αὐτὸ ἦν. *AH*. *qua propter si quia unita est et ipsa sensibilis magnitudo ex uno producitur β*. ‖ 34 ὄν] *primo β*. ‖ ἐκ στιγμῶν τὴν γο. *A*. ‖ 37 ἰχόν τι *H*. ‖ 38 *inter indiuisibilia* (τῶν ἀδιαιρέτων) *β*.

1 καὶ καθ'] καθ' *BHβ*. ‖ 2 ἔστι δὲ *β*. ‖ ἄζως] ἄξως *C* om *AHβ*. ‖ 4 γεννητικώτατον *BH*. ‖ τῶν ἁπ.] *et existens omnium β*. ‖ 5 δὲ] hinc colligas l. 4 μὲν ἁπάντων pro τῶν ἁπ. scribendum esse. ‖ 6 δὲ om *β*. ‖ 7 καλεῖν (*A*)*H*. ‖ 8 ποιεῖ] καλεῖ *H*. ‖ 11 ἀριθμοί *β*. ‖ αὐτῆς *BHβ*. ‖ 14 ἐθέλει *AHβ*. ‖ 18 ἄλλως δὲ .... 19 μεγέθος om *β*. ‖ 21 τελευταῖον om *Aβ*. ‖ δὲ om *H*. ‖ 22 τὸ γυμνασθὲν *A*. ‖ 24 μαθητικαὶ *H*. ‖ 29 ταύτας *A*. ‖ 32 ὑγία *H*. ‖ 36 καὶ om *H*. ‖ φαμὲν ἐν] φαμὲν *BH*. *dicimus sub uariis β*. ‖ 37 τούτου] malim τοῦ σώματος.

ταύτης ἡ μονάς· πανταχῆ γὰρ τὸ περατῶν καὶ ὁρίζον τοῦ περατουμένου μᾶλλον οὐσίωνται, καὶ ὁ συναναιρεῖ μὴ οὐ συναναιρεῖται δὲ τῇ οὐσίᾳ πρότερον ἂν εἴη· μονὰς μὴ ὂν πάντα ὁρίζει, στιγμὴ δὲ τὰ διαστατά, γραμμὴ δὲ τὰ ἐπίπεδα καὶ τὰ στερεά, ἡ δὲ ἐπιφάνεια τὰ σώματα· καὶ μονάδος μὴ οὔσης οὐδέν ἐστι τῶν ἐφεξῆς, οὐδὲ σημεῖα τῶν διαστατῶν· σώματος δὲ μὴ ὄντος οὐ κωλύεται εἶναι τὰ πρὸ αὐτοῦ. διὸ εἴτε σώματά ἐστι τὰ ὄντα κατὰ τοὺς φυσικούς, αἱ ἀρχαὶ τῶν σωμάτων οὐσίαι· εἴτε ἀριθμοί κατὰ τοὺς Πυθαγορείους, ἥ τε ἀρχὴ τῶν ἀριθμῶν εἴη ἂν οὐσία καὶ τὰ τῇ μονάδι συγγενῆ. τούτων δὲ οὕτω κατεσκευασμένων οὐδέτερον τῶν λόγων φαμὲν ἔχειν ἰσχὺν ἀληθινήν· ὅτε γὰρ τὸ περατοῦν ἀεὶ τοῦ περατουμένου μᾶλλον ὄν, ἀλλ' ὅταν ἐξηρημένον αὐτοῦ τῆς φύσεως πέρας αὐτῷ ἐπιφέρῃ ὡς ἡ τέχνη καὶ ἡ φύσις τοῖς τεχνητοῖς καὶ φυσικοῖς σώμασιν, οὐ μὴν ὅταν ἑαυτὸ ἐπιδιδῷ πρὸς τὴν τῶν ὁριζομένων ἀποπεράτωσιν· ὅτε ἀεὶ τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον μᾶλλον οὐσία τοῦ ἀντικειμένως ἔχοντος, ἐπεὶ ὅτως ἂν καὶ οἱ λίθοι μᾶλλον ἦσαν τῆς οἰκίας καὶ τὰ ξύλα τῆς νεὼς καὶ ὅλως αἱ ὕλαι τῶν εἰδοποιουμένων. ἀλλ' ὅταν μὴ ᾖ τι μέρος τοῦ συναναιρουμένου τὸ ἀναιροῦν μηδὲ στοιχεῖον ἢ πέρας ἢ τῶν ὅλως ἑαυτὰ ἐπιδιδόντων εἰς ἐκείνου σύστασιν. τὰ μὴ ὄν ἀληθῆ γένη πρότερα τῶν εἰδῶν καὶ ἡ οὐσία τῶν συμβεβηκότων, ἡ δὲ ἐπιφάνεια ὡς μὴ ἀτελεστέρα προτέρα τοῦ σώματος, ὡς δὲ μᾶλλον οὐσία οὐ προτέρα. δῆλον δὲ ὅτι περὶ ἐπιφανείας τῆς ἐνυπαρχούσης τοῖς σώμασιν οἱ λόγοι. "ἀλλὰ .... οὐδεμία." εἰ ταῦτα μὴ μᾶλλον οὐσίαι τῶν σωμάτων, οὐκ ἔστι δὲ ταῦτα (ὅτε γὰρ ἐν τοῖς αἰσθητοῖς ἐστι σώμασιν οὔτ' ἐν ἄλλοις· δεῖ δὲ αὐτὰ εἶναι ἐν σώμασιν), πῶς μέν τις ἂν εἴη οὐσία; ῥητέον δὲ ὅτι καὶ ἐν τοῖς αἰσθητοῖς ἐστι σώμασι φυσικῶς τε καὶ ἐνύλως· διὸ καὶ ὁ φυλάττει τὴν φύσιν ἣν ἐπαγγέλλεται, ὡς οὐδ' ἄλλο τι τῶν ἐνύλων εἰδῶν· οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ μαθηματικῷ σώματι, ὃ εἰ καὶ μὴ αἰσθητόν, ἀλλ' ὂν φανταστόν ἐστιν, ἔτι δὲ ἐν τοῖς δοξαστοῖς λόγοις καὶ τοῖς νοητοῖς εἴδεσιν ἀύλως· τοσαυταχῶς δ' αὐτῶν ὄντων οὐ κωλύονται καὶ ἄλλαι εἶναι οὐσίαι καθ' ἑκάστην τάξιν τῶν ὄντων. "ἔτι ... μῆκος." αἱ διαιρέσεις οὐκ εἰσὶν οὐσίαι, διαιρέσεις δὲ μεγέθους ἐπιφάνεια μὴ εἰς βάθος, γραμμὴ δὲ εἰς πλάτος, σημεῖον δὲ εἰς μῆκος· οὐκ ἄρα οὐσίαι ταῦτα. ῥητέον δὲ πρὸς τὴν μείζονα πρότασιν ὅτι αἱ μὴ ἐνυπάρχουσαι τοῖς σώμασι διαιρέσεις τῶν μοναδικῶν ἀριθμῶν τυχὸν οὐκ ἂν εἶεν οὐσίαι, ἡ δὲ πρώτη ἑτερότης πάντα διακρίνουσα καὶ ὅλως τὰ θεῖα γένη ὅσα τῆς διαιρέσεως ἐπάρχει πῶς οὐχὶ τὴν κατ' εἴδη καὶ κατ' οὐσίαν ἱσταμένην διαίρεσιν τοῖς ὅλοις ἐπιφέρουσι; "πρὸς ... ἥμισυ." ὁ λόγος· ὅτε τὰ σχήματα τὰ δυνάμενα ἐγγενέσθαι τῷ λίθῳ ἔστιν ἐν αὐτῷ, ὅθ' αἱ διαιρέσεις αἱ μηδέπω ἐνεργείᾳ οὖσαι· εἰ τοιοῦτο ἡ ἐπιφάνεια, οὐδ' ἂν αὕτη εἴη. πρὸς ὃ φαίη τις ἄν, ὅτι τοῦτο μὴ ἀνάγκη τῆς ἐνεργείᾳ οὔσης καὶ τὴν δυνάμει εἶναι, ἢ ταύτης μηδέπω οὔσης μηδὲ τὴν ἐνεργείᾳ εἶναι, εἶναι δὲ μίαν ἐνεργείᾳ οἷον τὴν διχοτομοῦσαν τὸν κύβον οὐδὲν κωλύει· αἱ μὴ γὰρ ἄπειροι διαιρέσεις δυνάμει, τῶν δὲ πεπερασμένων ἐνεργείᾳ οὐδὲν κωλύει καὶ * ἐνεργείᾳ θεωρεῖσθαι. "πρὸς ... ἄλογα." τὸ ἐπιχείρημα τοιοῦτον· πᾶσα οὐσία ἡ ποτὲ μὴ οὖσα ποτὲ δὲ οὐκ οὖσα διὰ γενέσεως μὴ εἰς τὸ εἶναι, διὰ δὲ φθορᾶς εἰς τὸ μὴ εἶναι παράγεται· ταῦτα δὲ τὰ πέρατα τῶν μεγεθῶν ἢ ἔστιν ἢ οὐκ ἔστιν ἀχρόνως· οὐκ ἄρα οὐσίαι. καὶ δοκεῖ τὸ ἐπιχείρημα ἔχειν ἀλήθειαν, ἐπεὶ καὶ πᾶσα μὴ οὐσία γιγνομένη καὶ φθειρομένη δεῖται ὑλικοῦ αἰτίου. ταῦτα δὲ οὐκ ἔνυλα. τεκμήριον δὲ τοῦ μὴ πρότερον οὖσαν τὴν στιγμὴν καὶ οἷον λανθάνουσαν ὕστερον ἀναφαίνεσθαι τὸ καὶ διαιρεθείσης γραμμῆς δύο σημεῖα γίγνεσθαι· οὐ γὰρ δὴ μία, φησίν, οὖσα διῃρέθη εἰς δύο ἡ ἀδιαίρετος, ἀλλὰ δηλονότι οὐκ οὖσαι πρότερον ἀχρόνως καὶ ἄνευ γενέσεως ὑπέστησαν ἐκ τῆς διαιρέσεως. "παραπλησίως .. χρόνῳ." ὅτι ἔξι τινὰ ἃ μὴ ὄντα πρότερον ἔξω γενέσεως ἀναφαίνεται καὶ χωρὶς φθορᾶς ἀφανίζεται, καὶ οὐδὲν τούτων οὐσία, μαρτυρεῖν φησι κατὰ τὴν χρονικὴν διαίρεσιν τὸ νῦν, ᾧ καὶ ἡ στιγμὴ ἀναλογεῖ· οὐδὲν οὖν τούτων οὐσία. πρὸς ὃ φαίης ἂν ὅτι καὶ εἰ μὴ οὐσία ταῦτα, ἀλλ' ὄντα εἶναι οὐ κωλύει· πολλαχῶς γὰρ τὸ ὄν.

"Ὅλως ... εἴδη." τοῦτο ἰδίᾳ μὴ ἐν τοῖς πρώτοις οὐ πρότεινεν, ἔοικε δὲ μέρος εἶναι τοῦ πέμπτου (ἀπορεῖ γὰρ ἐν τούτῳ πρὸς τὰς ἰδέας), ἢ τοῦ ἑνάτου· καὶ γὰρ ἐν ἐκείνῳ πρὸς αὐτὰς ἠπόρησεν. ἡ δὲ κατασκευὴ τοῦ παντὸς λόγου τοιαύτη· εἰ διὰ τοῦτο παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ τίθεμεν εἶναι τὰ εἴδη, ἐπειδὴ τὰ μὴ αἰσθητὰ πολλά ἐστιν ἕκαστα, οἷον ἵπποι πολλοὶ καὶ βόες καὶ ἄνθρωποι, ὁμοίως δὲ καὶ τὰ μαθηματικά (πολλὰ γὰρ τρίγωνα καὶ κύκλοι καὶ σφαῖραι καὶ πυραμίδες), χρὴ δὲ ἡμᾶς μὴ στῆναι ἐπὶ τοῦ πλήθους ἀλλ' ἐπὶ τὰς ἑκάστων ἐλθεῖν μονάδας τὸν ἕνα ἄνθρωπον τὸ ἓν τρίγωνον τὸν ἕνα κύκλον, ἀνάγκη

1002a 15. 1002a 18. 1002a 20. 1002a 28. 1002b 5. 1002b 12.

4 εἰ δὲ ἐπιφανὴ *H.* ‖ 5 μὲν om *AHβ.* ‖ οὐδὲ *C*: τοῦ δὲ *AHβ.* ‖ τῶν διαστατῶν *H.* ‖ 8 εἴτε ἀρχαὶ *H.* ‖ 11 αὐτῆς τῆς *Aβ.* ‖ 12 πέρας om *Aβ.* ‖ αὐτῷ *C*: αὐτῶν *AH se ipsum β.* ‖ ἐπιφέρῃ *H*: ἐπιφέρει *B.* ‖ ὡς ἡ *H*: ὡς (*A*)*β* ἡ *C.* ‖ 13 ὅταν ἑαυτὸ ἐπιδιδῷ] *cum se ipsum aliquid tradit β* ὅταν ἑαυτῷ τι διδῷ *BH.* cf. l. 19. ‖ 15 ἀντικειμένου *H* ἀντικείμενον *β.* ‖ 19 *se ipsa β*: ἑαυτὸ *CH* ἑαυτὸν *A.* ‖ εἰς om *H.* ‖ 21 ἀτελεστέρα] ἀτονεστέρα *BH* (*debilior*) *β.* an ἀτομωτέρα? ‖ 22 οὐσίας (*A*)*H.* ‖ 23 τοῖς σώμασιν] *substantiae β.* ‖ 24 μᾶλλον om *Aβ.* ‖ 26 πῶς Bonitzius: ὅπως *BHβ.* ‖ τινὰ μὲν ἂν εἴη οὐσία *β.* ‖ 27 ἐν ὕλως *H.* cf. ad p. 857b9. ‖ 29 καὶ om *β.* ‖ 30 ἔτι δὲ καὶ ἐν *AH.* ‖ 31 δοξαστικοῖς libri cum *β.* ‖ εἴδεσι· καὶ ὅμως *BHβ.* ‖ 32 δ' inserui ‖ κωλύονται εἶναι καὶ αἱ οὐσίαι *A.* ‖ 33 τῶν om (*A*).

2 ἐπάρχει *C* ὑπάρχει *AHβ.* ‖ πῶς μὲν οὐχὶ *β.* ‖ 4 fort. ὁ λόγος τοιοῦτος· ‖ τὰ σχήματα τὰ] τὰ σχήματα *B* σχήματα *H.* ‖ 5 ὅθ' αἱ] *neque β* οὐδὲ *BH.* ‖ 6 μηδέποτε *H.* ‖ εἰ τοῦτο *BHβ.* ‖ *si hoc, superficies nulla fuerit β.* ‖ αὕτη] ἄλλη *BH.* αὐτὴ Bonitzius. ‖ 7 ὅτι ἐκ (ἐκ ἂν *Aβ*) ἀνάγκη *BHβ.* ‖ ἐνεργείᾳ] ἐνεργείας *BHβ.* ‖ 8 δυνάμει *C*: δύναμιν *AHβ.* ‖ ἐνεργείᾳ *C*: ἐνέργειαν *AHβ.* ‖ 10 δυνάμει] *possunt β.* ‖ 11 intercidit διαιρέσεις. ‖ θ εἶσθαι sic *C.* ‖ 14 περιάγεται *BHβ.* ‖ 15 *aut sunt β*: εἰ ἔστιν *BH.* correxi cum Bonitzio. ‖ 19 καὶ om *β.* potest prius intercidisse membrum infinitiui cf. Arist. p. 1002 b1. ‖ 20 ποιεῖται om *H.* ‖ διαιρεθείη *H.* ‖ 23 ἔξω] ἐκ *BHβ.* ‖ 24 μαρτυρεῖ *H.* ‖ 25 *secundum temporalem diuisionem β*: καὶ τὴν χρ. δ. *BH.* ‖ τὸ νῦν] τὸν νῦν *A.* ‖ 26 καὶ ἡ μὴ *H.* ‖ 31 διὰ τοῦ παρὰ *H.* ‖ 33 οἷον ἵπποι . . . 34 μαθηματικὰ om *β.*

ἕκαστον τῶν εἰδῶν ἓν εἶναι τῷ ἀριθμῷ· ἀλλὰ μὴν ὑ δύναν]
ἀρχαὶ ἓν εἶναι τῷ ἀριθμῷ, ὡς δέδειχ] ἐν τῷ δεκάτῳ προβλή-
ματι· ὐκ ἄρα δύνα] εἶναι τὰ εἴδη. πρὸς ὃ φαίης ἂν ὅτι τάχα
μ᾽ ὐδὲ τὰ ὑλικὰ αἴτια δέδειχ] πάντα μὴ δυνάμενα τῷ ἀριθμῷ
ὡρίζ]· *** φησὶν ὁ Ἐμπεδοκλῆς. εἰ δ᾽ ὧν ἐπὶ τῶν ἐνυπαρ-
χυσῶν τοῖς ἀποτελέσμασιν ἀρχῶν ἀδύνατον ἐφάνη τὰς ἀρ-
χὰς ὅρον ἔχειν ἀριθμητικόν, ὑ δήπυ κ᾽ ἐπὶ τῶν γεννητικῶν κ᾽
ὑπερτάτων αἰτίων ἐκεῖνα χώραν ἔχει τὰ ἐπιχειρήματα· ὕτω
γ᾽ ἂν ὐδ᾽ οἱ κατ᾽ αὐτὲν χωριστὶ γίγνοιντο ἀριθμοί, εἰ μὴ εἶεν
ὡρισμένοι. κ᾽ τῦτο δὲ ψευδῶς εἴληπ] τὲ διὰ ταύτην μόνην
τὴν αἰτίαν ἐπὶ τὰ εἴδη δραμεῖν τὺς τῆς ἀληθείας φιλοθεάμονας.
ὅτι μέντοι πᾶν ὃ ἔχει τὰ εἴδη "ὑσία ἐςὶ κ᾽ ὐδὲν κ᾽ συμβε-
1002b 33. βηκός", ὀρθῶς τε * κ᾽ ἡμεῖς προσιέμεθα. "σύνεγγυς .... τρόπον." τῦτο κ᾽ ἐν τῇ ἐκθέσει τῶν προβλημάτων πεντεκαιδεκάτόν ἐςιν. ζητεῖ δὲ ἐν αὐτῷ πότερον αἱ ἀρχαὶ δυνάμει ἢ ἐνεργείᾳ· τὲ γ᾽ "ἤ τινα ἕτερον τρόπον" τὲ ἐνεργείᾳ σημαίνει, ἀποκρύψας ἐξεπίτηδες οἶμαι τῦτο τὲ ὄνομα, ἵνα μὴ ἀνέλῃ τὲ ἄπορον τῦ προβλήματος· τίς γ᾽ ὐκ ἂν τὲ τέλειον τῦ ἀτελῦς ἀρχικώτερον ἔφησεν εἶναι; διὰ δὲ τὴν αὐτὴν αἰτίαν κ᾽ ὐδὲ "αἴτια" ἢ "ἀρχὰς" εἶπεν, ἀλλὰ "ςοιχεῖα", ἐν οἷς τῷ ὄντι πολὺ τὲ ἀτελές. πῶς δὲ ἔχει τὲ πρᾶγμα, εἴπομεν ἐν τοῖς πρώ-
1002b 34. τοις. "εἰ μ᾽ .... ἄλλο". ὡς εἰ ἔλεγεν, εἰ μ᾽ γ᾽ ἐνεργείᾳ θήσεταί τις εἶναι τὰς ἀρχάς, ἐπειδὴ πανὲς τῦ ἐνεργείᾳ τὲ δυνάμει προηγεῖ], ἔςαι τι πρὸ τῶν ἀρχῶν· ἀποκρύψας κ᾽ νῦν τὲ τῆς ἐνεργείας ὄνομα, μ᾽ τῦ κ᾽ λογικὸν εἶναι τὲ ἐπιχείρημα· ἐπὶ γ᾽ ἑκάςυ τῶν γενητῶν πρὸ τῦ ἐνεργείᾳ τὲ δυνάμει, ὐκ ἐπὶ τῶν ὅλων ὐδὲ τῶν θείων, ὡς αὐτὲς ἡμᾶς ἐν ἄλλοις ἐδίδαξεν.
1003a 2. "τὲ δὲ δυνατὸν ... ἔχειν." ὑ πᾶν, φησί, τὲ δυνάμει ἀνάγκη ἐνεργείᾳ γενέζ]· τὲ δὲ ἐνεργείᾳ νῦν ὂν πρότερον ἦν δυνάμει.
ibid. "εἰ .. ὄντων". εἰς τὲ ἀντικείμενον ἐπιχειρεῖ, ὅτι ὑ χρὴ δυνάμει τὰ ςοιχεῖα ὑποτίθεζ]. ἡ δὲ κατασκευὴ τῦ λόγυ τοιαύτη· τὲ δυνατὸν μόνον γίγνεται, ὑ γ᾽ τὲ ἀδύνατον ὅτε τὲ ἤδη ὄν· τὲ γιγνόμενον ὕπω ἔςι· τὲ μήπω ὂν ἐνδέχε] μὴ γενέζ]· ὥςε εἰ δυνάμει αἱ ἀρχαί, ἐνδέχε] μηδὲν εἶναι τῶν ὄντων ἐξ αὐτῶν. ἡρμήνευσε δὲ τὴν ἐλαχίςην πρότασιν ὅτως "ὐδὲν γίγνε] τῶν ἀδυνάτων," ᾧ ἰσοδυναμεῖ τὲ μόνον γίγνεζ] τὲ δυνατόν. τὴν δὲ μέσην ὅτω "γίγνε] μ᾽ γ᾽ τὲ μὴ ὄν·" τὲ γ᾽ γιγνόμενον μὴ ὄν ἐςι, διὸ ὐδὲ τὲ ἤδη ἐνεργείᾳ ὂν γιγνόμενον ἄν τις λέγοι. ὅτι δὲ ἐνδέχε] τὲ μήπω ὂν μηδὲ γενέζ] ὡς πρόδηλον συνέθηκε ταύταις ταῖς προτάσεσιν, ἐπεὶ κ᾽ τῦτό ἐςιν αὐτῷ τὲ δυνατῷ εἶναι τὲ πεφυκέναι μ᾽ εἰς ἐνέργειαν προϊέναι, ὑ πάντως μέντοι συμβαίνειν. ταῦτα δὲ πάντα πολλὴν ἰςὺν ἔχει, ἐὰν πάσας τις τὰς ἀρχὰς δυνάμει λέγῃ εἶναι κ᾽ μηδεμίαν ἐνεργείᾳ. "ταύτας .. καθ᾽ ἕκαςα". ἔςι μ᾽ ὧν τῦτο τεσσαρεσκαιδε-
1003a 5. κατον ἐν τοῖς πρώτοις λόγοις, χεδὸν δὲ ταὐτόν ἐςι τῷ ἑνδεκάτῳ· ζητεῖ γ᾽ κ᾽ ἐνταῦθα εἴτε καθόλυ αἱ ἀρχαὶ εἴτε ἄτομοι, ὃ ταυτόν ἐςι χεδὸν τῷ εἴτε εἴδει ὡρισμέναι εἴτε ἀριθμῷ. φησὶ δὲ ὅτι εἰ καθόλυ αὐτὰς ὑποθοίμεθα, τὲ ὑσιῶδες αὐτῶν ἀφαιρῦμεν· τὰ γ᾽ καθόλυ ὐκ ὑσίαι· εἰ γ᾽ ὑσίαι, τρεῖς τὺλάχιςον ὁ Σωκράτης ὑσίαι, ἡ ἄτομος ἡ ἐν εἴδει ἡ ἐν γένει. εἰ δὲ μὴ καθόλυ αἱ ἀρχαί, ἢ ἄγνωςοί εἰσιν ἢ ἔχυσί τι πρὸ αὐτῶν. ὧν ἑκάτερον ἄλογον. εἴτε γ᾽ μὴ γιγνώσκον] ** αἱ ἀρχαί, διὰ τῶν καθόλυ γνωζήσον]· μόνως γ᾽ ὕτω τὰ ἄτομά ἐςιν ἐπιςητά. ἔςαι τι ὧν πρὸ αὐτῶν περιληπτικώτερον αὐτῶν. εἴρη] δὲ πολλάκις ὅτι κ᾽ ὑπὲρ τὰ ἄτομα κ᾽ ὑπὲρ τὺς καθόλυ λόγυς τύς τε ποιητικὺς κ᾽ τὺς γνωςικὺς αἱ κυρίως ἀρχαί. ὐδὲ τὰ λεγόμενα δὲ ἀνάγκην ὐδεμίαν ἔχει· ὕτε γ᾽ πᾶν τὲ καθόλυ ἀνύσιον· ὑ γ᾽ ἂν ἦν τι τῶν καθόλυ ἀίδιον κ᾽ δημιυργικὸν τῦ καθ᾽ ἕκαςα· ὕτε τὰ τόδε τι διὰ τῶν καθόλυ γιγνώσκομεν, εἰς ὐδὲν ὑςερογενὲς καθόλυ καταφεύγοντες· κ᾽ τῶν ἀκινήτων γενῶν αὐτὸς ὐκ ἂν φαίη καθόλυ τινὰ ἐπαναβεβηκέναι.

ἀλλὰ χεδὸν πάντα ταῦτα διαλεκτικοῖς ἐπιχειρήμασι χρώμενος, ὡς κ᾽ ὁ ὑπομνηματιςὴς Ἀλέξανδρος ἐπεσημήνατο, διεξῆλθεν ὁ φιλόσοφος. τὲ δὲ ἑκκαιδέκατον ἐν τῇ ἐκθέσει τῶν προβλημάτων σκέμμα, πότερον κινῦν] ἢ ἀκίνητοί εἰσιν αἱ ἀρχαί, ὐδ᾽ ἐγύμνασεν ἐν τύτοις. προθεὶς τοίνυν ἑπτακαίδεκα προβλή-
ματα καθ᾽ ἣν ἐξεθέμεθα τάξιν, τὲ μ᾽ ἕκτον κ᾽ τὲ ἑκκαιδέκατον ὐκ εἰργάσατο κ᾽ τὴν εἰς ἑκάτερα ἐπιχείρησιν· τὲ μ᾽ ἕκτον ὅτι πρὸς ταῖς ἤδη ῥηθείσαις αἰτίαις κ᾽ προείληπτο· ζητήσας γ᾽ εἰ μὴ μόνων τῶν ὑσιῶν ἀλλὰ κ᾽ τῶν καθ᾽ αὑτὰ συμβεβηκότων αὐταῖς ὁ πρῶτος φιλόσοφος ἐπιςήμων ἐςίν, ἐζήτησε τρόπον τινὰ κ᾽ εἰ περὶ ταὐτῦ κ᾽ ὁμοίυ κ᾽ ἴσυ κ᾽ τῶν ἀντικειμένων τύτοις διαλήψε]· ταῦτα γ᾽ ἦν τὰ καθ᾽ αὐτὲ συμβεβηκότα τῷ ὄντι ᾗ ὄν. τὲ δὲ ἑκκαιδέκατον, ὅτι πανταχῦ συγχωρήσας τὰ μ᾽ εἶναι

2 B 4 p. 999 b27 sq. ‖ 3 δύναται ut uidetur eadem manu corr. *H*: δύνανται *B* pr *H*. ‖ 5 *terminari β* ὁριεῖσθαι *BH*. ‖ hiatum notaui, deest Empedoclea ratio, fort. οἷον "τέσσαρα τῶν πάντων ῥιζώματα" (u. 33): *ut inquit Emp. β*. ‖ 7 γεννητικῶν (*A*)*H*. ‖ 9 εἰ μὴ] *si β* ἢ *BH*. ‖ 12 ὑσία ἐςὶ *C*: ὑσίαν *AHβ* omisso uerbo. fort. ὅτι μέντοι Πλάτων λέγει τὰ εἴδη ὑσίαν. ‖ 13 ὀρθῶς τε om *β*. ‖ hiatum notaui, fort. add. αὐτῷ εἴρηται. ‖ 15 αἱ ἀρχαὶ om *β*. ‖ 16 τὸ γὰρ —: cf. Alex. p. 191, 4. ‖ 17 τῦτο ὄνομα *AH*. ‖ 22 ἐνεργείᾳ om *AHβ*. ‖ 24 ἀποκρύψας] ἀπέκρυψεν ὡς *BH occultauit eodem modo* (ὡσαύτως) *β*. ‖ 27 ἐν ἄλλοις: met. Λ 6. 7. ‖ 28 φησὶ] φύ *H*. ‖ 31 τὰ] quidni ὄντα τὰ? ‖ 33 γενήσεσθαι *β*. ‖ 37 γίγνεται μὲν] γιγνόμενον *BHβ*. correxi ex Ar.

4 δυνατὸν *H*. ‖ 5 πάντα] fort. τότε, sed uidetur grauius peccatum. ‖ 6 τις πάσας *A*. ‖ λέγει *H*. ‖ 7 ὧν τῦτο *H*: τῦτο *Cβ* ὧν *A*. ‖ 8 τῷ δεκάτῳ *BHβ*: correxi cl. p. 858 a14. ‖ 9 καθόλυ ἀρχαὶ *CH*. ‖ 10 ἤδη ὁρισμέναι *H*. ‖ εἴτε ἀρ. *CH*: ἢ ἀρ. *Aβ*. ‖ 11 εἰ om *C*. ‖ ὑποθείμεθα *C*. ‖ 12 εἰ γὰρ ὑσίαι om *AHβ*. ‖ 13 δὲ μηθ᾽ ὅλυ *A*. ‖ 14 ὧν] ὡς *H*. ‖ 15 hiatum notaui cum Bonitzio. exempli caussa propono [ὅλως ὐδὲν λείπεται γνωςόν, εἴτε γιγνώσκονται] αἱ ἀρχαί. ‖ 16 *cognoscuntur β*. ‖ 17 ἐπιληπτικώτερον *H*. ‖ 19 ὐδὲ om *β*. ‖ 20 ἔχειν *H*. ‖ 21 τῦ τὰ καθ᾽ *A*. ‖ 22 τὰ τόδε τι] *singularia β*. sed expectes τὰ ὁλικώτατα uel γενικώτατα. ‖ 25 πάντα om *β*. ‖ 26 ὑπομνηματισμὸς (ὑπομνηματικὸς fort. pr *H*) ἀλεξάνδρυ *AHβ*. Alex. p. 193, 1. ‖ 29 προθεὶς Bonitzius: προσθεὶς *BHβ*. ‖ 31 εἰς om *H*. ‖ 34 *quaesiuit quo pacto: etsi β*. ‖ 36 καθ᾽ αὐτὲ Brandisius: καθ᾽ αὐτὸ τὰ *C* καθ᾽ αὐτὰ *Hβ* καθ᾽ αὐτὰ τὰ *A*.

φθαρτὰ τῶν ὄντων τὰ δὲ ἀίδια, εἶχεν ἐξ ἀνάγκης ἑπόμενον τὰς μὴ τῶν ἀρχῶν κινεῖθαι τὰς δὲ εἶναι ἀκινήτους· δῆλον δὲ ποτέρας ποτέρων· ὅτι γὰρ ἀμφοῖν οὐχ αἱ αὐταί, μετρίως ἐπέσχησε. ταῖς δὲ λοιπαῖς δέκα πέντε προθεὶς τὰ ἐν τῇ ἐξεργασίᾳ τῶν προβλημάτων τέταρτον ἐπὶ δέκα τὰ πρὸς τὰς ἰδέας ἐνισάμενον, τὰ πάντα δέκα καὶ ἐξ εἰς γυμνασίαν προήγαγε λογικήν, ὧν τὰ μὲν ἐν τῷ Γ διαίτης ἀξιώσει, τὰ δὲ ἐν τῷ Ζ Η Θ Ι, τὰ πλεῖστα δὲ ἐν τῷ Λ. πρὸς δὲ τὰς ἰδέας καὶ τοὺς ἀριθμοὺς ἐν τοῖς τελευταίοις δύο βιβλίοις, τῷ τε Μ καὶ τῷ Ν, διαλεχθῆναι πειράσεται.

ΣΥΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΞΕΝΟΥ

ΕΙΣ ΤΟ Γ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ ΕΦΟΔΟΣ.

Ὑφηγηματικὸν μέν ἐστι τοῦτο τὸ βιβλίον καὶ οὐχ ὥσπερ τὸ πρὸ αὐτοῦ ἀπορητικόν. λύει δὲ ἐν αὐτῷ πολλὰ τῶν προβλημάτων· καὶ γὰρ ὅτι τὰ αἴτια μιᾶς *ἐστιν ἐπιστήμης* εἰδέναι τοῦ ὄντος ᾗ ὄν, καὶ ὅτι τῆς αὐτῆς τὰς πάσας οὐσίας ἐπεσκέφθαι καὶ τὰ καθ' αὐτὰ ταῖς οὐσίαις ὑπάρχοντα, καὶ ὅτι καὶ περὶ τὰς ἀρχὰς ἔχει τὰς ἀποδεικτικὰς ὁ πρῶτος φιλόσοφος, ἐν τούτοις ἀναδιδάσκει. διαλέξεται δὲ καὶ περὶ τοῦ κατὰ τὴν ἀντίφασιν ἀξιώματος ὡς πρωτίστου ὄντος καὶ συνεκτικωτάτου πάντων τῶν ἀποδεικνυμένων ἐν ταῖς ἐπιστήμαις, εἰ δὴ καὶ αὐτὸ ἀποδεικτὸν ἦν, ἢ καὶ εἰ ἔχει τινὰ πίστιν ἀποδείξεως κρείττονα. *ταῦτα* πειράσεται μὲν ἐν ταύτῃ παραδοῦναι τῇ βίβλῳ, ἣν ἡμεῖς ἱκανῶς ὑπὸ τοῦ φιλοπονωτάτου σαφηνισθεῖσαν Ἀλεξάνδρου πᾶσαν μὲν οὐκ ἐξηγησόμεθα· εἰ δέ που ἡμῖν δοκοίη λέγειν τι πραγματειῶδες *ἄξιον* ἐξετάσεως, πειρασόμεθα κατ' ἐκεῖνο βασανίζειν τὸ μέρος, τὰ ἄλλα πάντα τοῦ συνεχοῦς ἕνεκα τῆς πραγματείας παραφράζοντες.

1003a 21. "Ἔστιν . . . τῶν ἄλλων ἡ αὐτή". ὅτι μὲν εἴ ἔστι τις αὕτη ἐπιστήμη, οὐδεμιᾷ τῶν ἄλλων ἐστὶν ἡ αὐτή, καὶ ὁ φιλόσοφος ὑπέμνησεν εἰπών "οὐδεμία . . . συμβεβηκός"· καὶ ἡ ἐπαγωγικὴ πίστις ἀπὸ τῶν μαθημάτων, γεωμετρίας ἀστρολογίας ἀριθμητικῆς. ἀλλὰ τίς ἀνάγκη τοιαύτην εἶναι ἐπιστήμην ἥτις παντός ἐστι τοῦ ὄντος ᾗ ὄν; ἢ μάλιστα μὲν ὡς εἴωθε πολλαχοῦ ποιεῖν, ὃ μέλλει δεικνύναι προαναφωνεῖ, μετ' ὀλίγα δὲ σαφῶς δείξει, τοῦτο αὐτὸ λαβὼν ὅτι καὶ εἰ μὴ συνωνύμως τὸ ὂν κατὰ πάντων λέγεται, ἀλλ' οὐν οὐδὲ ὁμωνύμως, ἀλλ' ἔοικε τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, προθεὶς δὲ ὅτι τούτων μία ἐπιστήμη. ἔπειτα δὲ καὶ ἀπὸ τῶν προκαταβεβλημένων αὐτῷ λόγων τοῦτο συναγάγοις ἄν. εἰ γὰρ τοῦ μάλιστα ὄντος ἡ μάλιστα γνῶσις, καὶ ὅσῳ τιμιότητι διαφέρει τι, τοσούτῳ καὶ ἀληθείᾳ ἡ γνῶσις καὶ ἐναργείᾳ, ὡς ἐν τῷ ἐλάττονι τῶν ᾱ λέλεκται, εἴη ἂν καὶ τοῦ ὄντος ᾗ ὂν ἐπιστήμη τις, καὶ οὐ μόνον γε ** ἀλλὰ καὶ ἡ καλλίστη καὶ ἀρίστη τῶν ἐπιστημῶν. οὐ γὰρ ἐστι σεμνότερον τοῦ ὄντος οὐδέν· εἴτε γάρ ἐστί τι ὂν οὐκ ἄλλο τι ὂν οἷον νοῦς ἢ ψυχὴ ἢ οὐρανὸς ἢ κόσμος, ὅμως ὄν ἐστιν αὐτοῦν ὑπάρχον, δηλονότι πάντων ἐστὶ τῶν ἄλλων σεμνότερον, αὐτὸ μὲν οὐ δεόμενον τοῦ εἶναι κόσμος ἢ οὐρανὸς ἢ ψυχή, τῶν δὲ ἄλλων ἁπάντων τὸ εἶναι παρ' αὐτοῦ κομιζομένων· εἴτε [τι] τὸ ὂν ἀνάγκη τι τούτων εἶναι, ἀλλ' οὖν καθὸ ὂν τιμιώτερον ἔσται ἢ καθὸ ἀλλοτιοῦν. πανταχοῦ γὰρ τὸ ὂν καὶ ἡ οὐσία τὰ πρωτεῖα φέρει, καὶ ἡ ἑστία τοῦ πράγματος αὕτη. πῶς ἂν οὖν ἢ τοῦτο ἄγνωστον μένοι, πάντων ὂν ἄριστον τῶν ὅπως ποτὲ ὄντων, ἢ περὶ ἄλλο τι ἂν σχοίη ἤ γε ἀληθινὴ φιλοσοφία; ἡ γὰρ πρώτη τῶν ἐπιστημῶν τοῦ πρώτου καὶ ἡ ἀρίστη τοῦ ἀρίστου καὶ ἡ ὅλη τοῦ ὅλου δικαίως ἂν εἶναι νομιθείη. τί δέ; οὐ τἀγαθὸν καὶ τοῦ ὄντος ἐπέκεινα; πῶς οὖν οὐχ ἡ πρωτίστη τῶν ἐπιστημῶν περὶ τἀγαθόν; καθάπερ ὁ Πλάτων ἐν Πολιτείᾳ δοκεῖ λέγειν "ἐπεὶ ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα, πολλάκις ἀκηκόαμεν, ᾗ καὶ δίκαια καὶ τὰ ἄλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα γίγνεται"· ἡ μάλιστα μὲν οὐχ ἕτερον τἀγαθὸν τοῦ ὄντος κατ' Ἀριστοτέλην· τὸ γὰρ πρώτιστον αὐτῷ καὶ ὂν καὶ τἀγαθόν, ὡς ἐν τῷ Ν σαφῶς παραδίδωσιν· ὅθεν καὶ ἐν τοῖς Φυσικοῖς εἰς ταὐτὸν ἄγει τῷ εἴδει τὸ τέλος· ἥκει γὰρ τὸ μὲν εἶδος ἐκ τοῦ ὄντος, τὸ δὲ τέλος ἐκ τοῦ ἀγαθοῦ. ὥστε καὶ οὕτως ἡ πρωτίστη καὶ ἀρίστη τῶν

3 *mediocriter annotauit* β. ‖ 4 τὰς δὲ λοιπὰς *AHβ*. ‖ τὸ *CH*: τῇ *A* om β. ‖ 5 τέταρτον *H*: δ̄ *B*. ‖ ἐπὶ δέκα τὸ] ἐπὶ δεκάτῳ *BH*. *decimum quartum* β. b4 τῷ γε *BH*. ‖ N] γ̄ *H*.

Syriani in librum Γ adnotationes ex codice Coisliniano 161 (*C*) Brandisius descripsit. quae cum in plerisque libris desiderantur, tum a Bagolino praetermissae sunt. in codice Hamburgensi libri B commentario p. 76 haec subscribuntur: Τὰ εἰς το Γ̄ τοῦ Συριανοῦ τοῦδε ἐγράφη περὶ τὸ προκείμενον ἐκεῖσε (σε corr. ex σαι) μετὰ τῆς τοῦ Ἀλεξάνδρου ἐξηγήσεως.

8 ἐστὶν ἐπιστήμης suppleui. ‖ 14 εἰ δὲ *C*. ‖ ἀποδεικτικὸν ἦν *C*. ‖ 15 ταῦτα inserui. ‖ 18 ἄξιον ante ἐξετ. addidi, nisi forte πραγματειῶδες, ἐξ ἐπισάσεως scribendum. ‖ 24 immo ἐπειπών. ‖ 26 τοιαύτην] τὸ ταύτην *C*.

8 ἀληθείᾳ καὶ γνώσει ἐνεργείᾳ ὡς *C*. ‖ 9 metaph. α 1 p. 993 b28. ‖ 10 γε] deesse ἐπιστήμη uidetur. ‖ 13 ὅμως] scrib. ἀλλ' ἁπλῶς siue ὅλως (ut p. 862 a31). ‖ 15 ante ἁπάντων fort. intercidit ὑπέρτερον uel ἐξηρημένον. ‖ 16 prius τι seclusi. haud scio an τοιοῦτον praestet scribere quod est τι τούτων. ‖ 18 τοῦ πράγματος] fort. τοῦ παντὸς cf. p. 861 a2. ‖ 24 Plato πολιτ. VI p. 505 A. ‖ 25 ἀκήκοας Plato. ‖ 26 δίκαια Plato: δίκαιον *C*. ‖ 29 metaph. N 4. phys. II 7.

ἐπιςημῶν περὶ τὸ ὂν ᾗ ὂν διατρίψει κατ' αὐτὸν τὸν Ἀριςοτέλην. ἔπειτα δὲ καὶ παρ' οἷς ἐξήρηται τοῦ ὄντος τἀγαθόν, ἄγνωςόν ἐςι καὶ ὑπὲρ πᾶςαν ἐπιςήμην, ὡς ἐν Παρμενίδῃ ςαφῶς ὁ Πλάτων βοᾷ· τὰ δὲ ἐκ τῆς Πολιτείας παρατεθέντα περὶ τῆς ἰδέας τῆς τἀγαθοῦ μᾶλλον διαλέγεται, ἥτις ἐν τοῖς οὖσιν ἐνορᾶται καὶ σὺν τοῖς οὖσι. σύζυγος οὖν πάλιν ἡ πρωτίςη τῶν ἐπιςημῶν τῷ ὄντι ᾗ ὂν καὶ κατὰ τοὺς θεωρητικωτέρους τῶν φιλοςόφων. καὶ τοῦτο μὴ ὂκ ἂν ἄλλως ἔχοι, καὶ αὐτοῦ γε τοῦ Πλάτωνος ἐν τῇ κατατομῇ τῆς ἐν Πολιτείᾳ γραμμῆς ἱκανῶς ἡμῖν αὐτὸ ςαφηνίςαντος. εἰ δὲ μὴ μόνον τοῦ ὄντος ᾗ ὂν ἀλλὰ καὶ τῶν καθ' αὐτὰ συμβεβηκότων αὐτῷ εἴη ἡ ςοφία γνῶςις, ἵνα καὶ τὸ ἀγαθὸν τὸ ἐν αὐτῷ γιγνώςκῃ καὶ ὅλως τελέαν αὐτοῦ γνῶςιν ἔχῃ, εἴη ἂν καὶ ἀποδεικτική τις, μᾶλλον δὲ ἡ ςύμπαςα ἀποδεικτική, ςύμπαςα δὲ ὀχ ἡ ἐκ τῶν μερικωτέρων ςυντεθεῖςα, ἀλλ' ἡ πρὸ τῶν μερῶν ὅλη· διὸ καὶ τὰς ἀρχὰς τῆς ἀποδείξεως ταῖς ἄλλαις χορηγεῖ. ἀνιοῦςα μὴ οὖν δι' ἀποδείξεως τὰ καθ' αὐτὰ τοῖς οὖςιν ὑπάρχοντα θεωρεῖ, δι' ὧν ἐπὶ τὴν ἰδιότητα τοῦ ὄντος ἀνατρέχει. ἄνω δὲ λοιπὸν χᾶςα κατὰ φύςιν ποιεῖται τὴν πρόοδον, διαιρετικῇ μὴ καὶ διοριςικῇ τὰς οὐςίας διαιροῦςα τῶν πραγμάτων, ἀποδεικτικῇ δὲ τὰ καθ' αὐτὰ ὑπάρχοντα. ζητήςει τοίνυν αὕτη καὶ τὰς πρωτίςας καὶ ἀκροτάτας αἰτίας, αἳ ὄκ εἰςι τῶν ἐν ὑποκειμένῳ ἀλλ' αὐτῶν τῶν οὐςιῶν, αἳ πεφύκαςιν ἑαυτῶν εἶναι καὶ καθ' αὐτὰς εἶναι.

1003a 28. μήποτε δὲ καὶ οἱ πρεςβύτεροι τῶν φιλοςόφων τὰ ςοιχεῖα ζητοῦντες τῶν ὄντων τοιαύτας ἀρχὰς ἠβούλοντο θεωρῆςαι, αἳ οὐ τῶν ςυμβεβηκότων ἦςαν (ταὐτὸν γὰρ κατὰ ςυμβεβηκὸς ἀρχὴ καὶ ἡ τῶν ςυμβεβηκότων ἀρχή), ἀλλὰ τῶν καθ' αὐτὰ καὶ τῶν καθ' αὐτὰς εἶναι δυναμένων οὐςιῶν. ἐκεῖνοι μὴ οὖν εἴτε κεκρατήκαςι τῆς προθέςεως εἴτε μή, παρείθω λέγειν τὰ νῦν· ἑαυτῷ δέ φηςιν ὁ Ἀριςοτέλης ἀναγκαῖον εἶναι τοιαύτας αἰτίας ἐπιζητεῖν. Ὅτι μὴ οὖν οὐ ςυνωνύμως κατηγορεῖται τὸ ὂν τῶν ὄντων

1003a 33. ἁπάντων οὐδέ ἐςιν ἰςότιμα τὰ ὄντα ᾗ ὄντα, καὶ ἐν ἄλλοις ἔδειξε καὶ νῦν ςυγχωρεῖ. οὐ μὴν οὐδ' ἁπλῶς ὁμώνυμά φηςι τὰ ὄντα, ἀλλ' εἰ καὶ πολλαχῶς λέγεται τὸ ὄν, ἀλλ' οὖν ὡς πρὸς ἓν καὶ τὴν τῆς οὐςίας ἀναφερόμενον μίαν φύςιν. ὥςπερ γὰρ οὐ ςυνωνύμως μὴ τὸ ὑγιεινὸν κατὰ τοῦ γυμναςίου καὶ τοῦ ςιτίου καὶ τοῦ χρώματος καὶ τοῦ ςώματος, πρὸς ἓν δὲ καὶ ἀφ' ἑνὸς τῆς ὑγιείας (τὸ μὴ γὰρ ὡς φυλακτικὸν αὐτῆς, τὸ δὲ ὡς ποιητικόν, τὸ δὲ ὡς ςημεῖον, τὸ δὲ ςῶμα ὡς δεκτικὸν αὐτῆς ὑγιεινὸν λέγεται), καὶ ἰατρικὸν παιδίον τὸ μὴ λέγεται τῷ μεμαθηκέναι καὶ ἔχειν τὴν ἰατρικήν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς μάθηςιν, ἤδη δὲ καὶ ἰατρικὸν κέκληται τὸ ἀπὸ τῆς ἰατρικῆς ἀποτελεςθέν, καὶ ὅτε ςυνωνύμως ὅθ' ὁμωνύμως κατὰ τούτων τὸ ἰατρικὸν ἀλλὰ πρὸς ἓν καὶ δὴ ἀφ' ἑνός· ὅτω καὶ ἐπὶ ἄλλων πολλῶν, οἷον τοῦ ἀγαθοῦ· καὶ γὰρ ὁ θεὸς καὶ ὁ καιρὸς ἀγαθὸν καὶ ἡ ἀρετὴ ἀγαθὸν καὶ τὸ εἶδος. ὅτω δὲ καὶ ἐπὶ τοῦ ὄντος· πολλαχῶς μὴ γὰρ καὶ τοῦτο λέγεται καὶ οὐ ςυνωνύμως κατηγορεῖται τῶν πραγμάτων, πρὸς δὲ τὴν οὐςίαν ἀναφέρεται πάντα καὶ ταύτης ἕνεκα λέγεται ὄντα· κυρίως μὴ γὰρ ὂν ἡ οὐςία καὶ πρώτως καὶ μάλιςα, ἤδη δὲ καὶ τὰ πάθη ταύτης ὄντα προςείπομεν οἷον θερμότητας ψύξεις, *ξηρότητας* ὑγρότητας καὶ πᾶν τὸ τοιοῦτον γένος· οὐ μὴν ἀλλὰ καὶ τὰς γενέςεις οἷον ὁδούς τινας εἰς οὐςίαν ἀγούςας θεωρήςαντες ὄντα προςείπομεν, καὶ οὐ τὰς γενέςεις μόνον ἀλλὰ καὶ τὰς φθοράς, ὅτι δὴ καὶ αὗται οὐςιῶν εἰςι φθοραί· καὶ πηρώςεις δὲ καὶ κωφότητας ὄντα προςείπομεν, ὅτι περὶ τὴν οὐςίαν ςερητικῶς ἐπιγιγνόμεναι θεωροῦνται· τά τε ποιητικὰ τῶν οὐςιῶν, οἷον τὰς ἐνεργείας τῶν ποιητικῶν οὐςιῶν ὄντα καλοῦμεν· ὁμοίως δὲ καὶ τὰ ποιητά, οἷον ἐκθέμενοι *περὶ τῶν* κατά τινα ςῆψιν ὑγρᾶ ζῴων γενηθέντων καὶ ταῦτα τῶν ὄντων ἔφαμεν εἶναι· κἂν ποιότητος δέ τι ποιητικὸν ἢ γεννητικὸν ᾖ, τῆς τοῦ ὄντος ἀξιοῦμεν αὐτὸ προςηγορίας, ἐπειδὴ πάντα τὰ ςυμβεβηκότα πρὸς τὴν οὐςίαν λέγεται, κἂν χέςεως μόνης, ἐπειδὴ τὰ πρός τι ταῖς οὐςίαις παραφύεται. πάντα οὖν πρὸς τὴν οὐςίαν ἀναφέροντες ὄντα προςαγορεύομεν. καὶ τί θαυμαςόν, ὅπου καὶ τὰς τῶν ςυμβεβηκότων ἀποφάςεις καὶ τὰς αὐτῆς τῆς οὐςίας "εἶναι" φαμεν; ἔςι γάρ πως καὶ τὸ μὴ λευκὸν καὶ τὸ ὂκ ἄνθρωπος. οὗ δὴ καὶ θαυμαςή τις καὶ δαιμονία τῷ ὄντι τῆς οὐςίας ἡ δύναμις ἀναφαίνεται· εἰ γὰρ καὶ τοῖς οἷον ἀντικειμένοις αὐτῇ τοῦ εἶναι μεταδίδωςι, πῶς οὐχὶ πάντα τοῦ ὄντος πληροῖ καὶ πᾶςιν ἀφθόνως τὴν παρ' αὐτῆς ὀρέγει βοήθειαν; καθάπερ οὖν τἀγαθὸν καὶ τῶν λεγομένων κακῶν αἴτιον, καὶ τὸ φῶς τοῦ ςκότους, ὅτω καὶ ἡ οὐςία που καὶ τοῦ τὸ μὴ ὂν εἶναί πως αἰτία· ὅταν γοῦν λέγωμεν τὸ μὴ ὂν εἶναι μὴ ὄν, ἀληθεύομεν τὸ εἶναι κατηγοροῦντες αὐτοῦ. τί οὖν ἔτι θαυμαςόν, εἰ πάντων τῶν ὄντων πρὸς ἓν λεγομένων τὴν οὐςίαν, μίαν εἶναί φαμεν ἐπιςήμην παντὸς τοῦ ὄντος ᾗ ὄν; ὡς γὰρ τῶν ὑγιεινῶν ἁπάντων πρὸς ἓν τὴν ὑγίειαν λεγομένων μία ἐπιςήμη, ὅτω καὶ τῶν ὄντων ἁπάντων μία ἐςὶν ἐπιςήμη· οὐ γὰρ ἐφ' οἷς μία τέτακταί τις ἐπιςήμη, ταῦτα πάντη καὶ πάντως ἐςὶ ςυνώνυμα. ἀλλὰ καὶ τῶν πρὸς ἓν λεγομένων μία γίγνεται θεωρία· καὶ γὰρ εἰ μεταξὺ ταῦτα τῶν τε ὁμωνύμων καὶ τῶν ςυνωνύμων, ἀλλὰ μᾶλλον ἀποκλίνει πρὸς τὰ ςυνώνυμα· δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς ἐπιςήμης θεωρεῖν ᾗ ἐςιν ὄντα. οὐ μὴν ἐπειδὴ πάντα τὰ ὄντα θεωρεῖ, ἐπίςης 1003b 16. ἑαυτὴν ἀπονέμει τοῖς πᾶςιν, ἀλλὰ μᾶλλον διατρίψει περὶ τὰ πρώτως ὄντα οἷον καὶ περὶ τὰς οὐςίας, ἐξ ὧν καὶ ἤρτηται τἆλλα

1 αὐτὸν ἀριςοτέλην *C*. ‖ 3 Plato Parm. p. 141 E sq. ‖ 5 τῆς ἀγαθοῦ *C*: corr. Brandisius. ‖ 8 Pl. πολ. VI p. 509 sq. ‖ 11 εἴη ἂν ἡ *C*: ἂν deleui ortum ex errore, nec puto αὕτη latere. ‖ 18 διαιρετικὴ .. 19 διοριςικὴ .. ἀποδεικτικὴ *C*. ‖ 28 νῦν ἐὰν τῷ δὲ *C*. ‖ 30 οὐ ςυνώνυμα *C*. ‖ 33 ὡς] ᾧ *C*. ᾗ ci. Brandisius. ‖ 36 ἀφ' ἑνός ut p. 866 b 1. cf. Alex. p. 197, 31.

1 malim πρὸς ἓν δὴ καὶ ἀφ'. ‖ 3 καὶ ἀρετὴ *C*. ‖ 7 προείπομεν *C*. ‖ 8 ξηρότητας addidi. ‖ 15 τὰ ποιητικὰ *C*. ‖ περὶ τῶν suppleui. ‖ κατά τινας ἢ ψιν *C*. ‖ 20 τί] τὸ *C* οὐ ci. Brandisius. ‖ 21 καὶ τὰς ςερήςεις αὐτῆς ci. Brandisius. ‖ 23 ᾧ δὴ ci. idem. ‖ 26 παρ' αὐτῆς *C*. ‖ 28 τοῦ μὴ ὂν *C*: τὸ interposui.

καὶ τῆς τοῦ ὄντος προσηγορίας ἠξίω�ς. ὀρθῶς ἄρα καὶ ταῦτ' εἴπομεν ἐν τοῖς πεπροοιμιασμένοις, ὅτι τὰ αἴτια τῆς οὐσίας ὁ φιλόσοφος ἔχειν ἐθέλει. καὶ δὴ τριῶν τούτων εἰρημένων ἐν τοῖς προοιμίοις, ὅτι περὶ πᾶν ἔχει τὸ ὂν ᾗ ὂν ὁ σοφός, καὶ ὅτι περὶ τὰ καθ' αὑτὸ συμβεβηκότα τῷ ὄντι, καὶ ὅτι τῶν τῆς οὐσίας αἰτίων ἐστὶ θεωρός, τὸ μὴ πρῶτον ἀπεδείξαμεν ἤδη, τὸ ὂν οὐχ ὁμωνύμως εὑρόντες λεγόμενον ἀλλὰ πᾶν πρὸς μίαν φύσιν τὴν τῆς οὐσίας· τὸ δὲ τρίτον δι' ὧν περὶ τὴν οὐσίαν ἔφαμεν αὐτὸν μάλιστα σπουδάζειν, ἣν ἐλεῖν οὐκ ἔστι μὴ πάντα τὰ αἴτια ταύτης ἐπισκεψάμενον. λείπεῳ δὲ συσῆσαι καὶ τὸ δεύτερον, ὅπερ ὅσον οὐδέπω ποιήσομεν, ταῦτα προσειληφότες, ὅτι τὸ ὁμοειδὲς ὑποκείμενον, ὃ νῦν κέκληκε γένος, εἰ μὴ αἰθητὸν εἴη, μιᾷ τῶν αἰθήσεων συζυγεῖ, ὡς τὰ χρώματα τῇ ὄψει καὶ οἱ χυμοὶ τῇ γεύσει καὶ οἱ ψόφοι τῇ ἀκοῇ· εἰ δὲ ἐπιστητόν, μιᾷ γίγνεῳ πάλιν ἐπιστήμῃ περιληπτόν· πάσας γὰρ φωνὰς ὁ γραμματικὸς ἐπισκέψεῳ καὶ πάντα τὰ σχήματα ὁ γεωμέτρης καὶ πάσας τὰς ἁρμονίας ὁ μουσικός. οὕτως οὖν πάσας τὰς οὐσίας ὁ φιλόσοφος, καὶ εἰ τῶν οὐσιῶν αἱ μὲν πρὸς τῷ ἀίδιοι εἶναι νοηταί τέ εἰσι καὶ ἀκίνητοι, αἱ δὲ ἀίδιοι μὲν κινηταὶ δέ, αἱ δὲ γιγνόμεναι καὶ φθειρόμεναι. καίτοι δόξειεν ἂν πάλιν μηδεὶς περὶ πᾶσαν ἔχειν κατηγορίαν. ὅτε γὰρ ὁ γεωμέτρης περὶ πᾶσαν ποιότητα οὔθ' ὁ ἀριθμητικὸς περὶ πᾶν τὸ ποσὸν οὔθ' ὁ ἁρμονικὸς περὶ πᾶν τὸ πρός τι, ἀλλὰ περὶ ἓν εἶδος ἕκαστος αὐτῶν τῶν ὑπό τινα τῶν κατηγοριῶν ἀναγομένων. αἴτιον δ' ὅτι μηδεὶς αὐτῶν περὶ ποιὸν ἔχει ᾗ ποιὸν μηδὲ περὶ ποσὸν ᾗ ποσὸν μηδὲ περὶ ἄλλο τι τῶν γενικωτάτων ᾗ τοιοῦτον· εἰ γὰρ εἶχε περί τι τοιοῦτον, πᾶσα ἦν ἀνάγκη περὶ τὴν ὅλην αὐτὸν πραγματεύεσθαι κατηγορίαν. ἢ οὖν ἀπογνῶναι δεῖ ὅτι ἐστί τις ἐπιστήμη περὶ τὴν οὐσίαν καθό ἐστιν οὐσία σπουδάζουσα, ἢ ἕως ἂν τοῦτο συγχωρῇῳ, περὶ πᾶσαν αὐτὴν
1003b 21. τὴν οὐσίαν διατρίβειν ὁμολογήσομεν. ὁ μὲν ἀλλ' ὥσπερ ἡ μία φιλοσοφία καὶ ὅλη περὶ πάσας ἕξει, οὕτω καὶ τὰ εἴδη αὐτῆς περὶ τὰ εἴδη τῶν οὐσιῶν. ἔσται οὖν ἡ μὲν πρώτη φιλοσοφία περὶ τὴν νοητὴν οὐσίαν, ἡ δὲ περὶ οὐρανὸν πραγματευομένη περὶ τὴν ἀίδιον μὲν κινουμένην δέ, ἡ δὲ περὶ τὴν ἐν γενέσει καὶ φθορᾷ. ἕξεσι δὲ καὶ δύο τὰς μερικωτέρας ποιεῖν, τὴν μὲν πρώτην ὀνομάζοντα φιλοσοφίαν, τὴν δὲ φυσικήν, ὅση περὶ τὸ κινούμενον φθαρτόν τε καὶ ἀίδιον· ὅπως γὰρ ἂν τὰς οὐσίας διέλωμεν, οὕτω καὶ τὰς γνώσεις αὐτῶν ἀνὰ τὸν αὐτὸν λόγον διαιρήσομεν. ἀποδείκνυῳ οὖν καὶ ἄλλο τι νῦν τῶν ἐν τῷ Β βιβλίῳ διαπορηθέντων· ἠπορεῖτο δὲ ἐκεῖ πότερον μία τις ἐπιστήμη περὶ πάσας ἕξει τὰς οὐσίας, ἢ ἄλλη περὶ ἄλλας· ἀναπέφανται δὲ νῦν ὅτι ἡ μὲν ὅλη φιλοσοφία περὶ πάσας, τὰ δὲ εἴδη αὐτῆς ἕκαστον περὶ μίαν. "εἰ δὴ τὸ ὂν καὶ 1003b
τὸ ἓν τὸ αὐτὸ καὶ μία φύσις." βούλεῳ μὲν ἐντεῦθεν κατασκευάσαι ὅτι καὶ τὰ καθ' αὑτὰ τῇ οὐσίᾳ συμβαίνοντα τῆς μιᾶς ἐστι καὶ ὅλης φιλοσοφίας θεωρεῖν· μεταχειρίζεῳ δὲ τὴν ἀπόδειξιν οὕτω· τὸ ὂν καὶ τὸ ἓν μία φύσις, ὥστε εἰ ὁ φιλόσοφος τὸ ὂν ᾗ ὂν ἐπισκέπτεῳ, καὶ τὸ ἓν ᾗ ἕν θεωρήσει. ἀλλὰ μὴν τοῦ αὐτοῦ τὰ ἀντικείμενα θεωρεῖν· θεωρήσει ἄρα καὶ τὰ πολλὰ ὡς τῷ ἑνὶ ἀντικείμενα. εἰ δὲ τὸ ἓν καὶ τὰ πολλὰ ἐπισκέψεῳ, πᾶσα δὲ ἐναντίωσις ὑπὸ ταῦτα πίπτει (ταὐτὸν γὰρ καὶ ὅμοιον καὶ ἴσον ἕν πώς ἐστι, θάτερον δὲ καὶ ἀνόμοιον καὶ ἄνισον δυὰς καὶ πλῆθος), καὶ πάντα ἂν τὰ οὕτως ἀντικείμενα θεωρήσειε· ταῦτα δέ ἐστι τὰ καθ' αὑτὰ ὑπάρχοντα τῇ οὐσίᾳ· πρώτως τε γὰρ αὐτῇ ὑπάρχει καὶ πάσῃ· ὥστε καὶ τὰ καθ' αὑτὰ ταῖς οὐσίαις ὑπάρχοντα τοῦ φιλοσόφου γιγνώσκειν ἐστί. τοιαύτης δὲ τῆς μεταχειρίσεως τοῦ λόγου γεγενημένης, τὸ μὲν τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὄντι ἀντικεῖσθαι πρὸς ἄλληλα, καὶ τὸ τὰ ἀντικείμενα πάντα ὑπὸ τὸ ἓν ἀνάγεσθαι καὶ τὰ πολλά, ταῦτα δὲ μιᾶς εἶναι γνωρίζειν ἐπιστήμης, εὐπαραδεκτότερα τέως ἐστί· καὶ γὰρ ὁ δοκεῖ τούτων εἶναι βιαιότατον, τὸ πάντα τὰ ἀντικείμενα ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος ἀνάγεσθαι, πολλὴν μὲν καὶ ἐξ ὧν εἶπεν αὐτὸς ἔχει παραμυθίαν, πλείστης δὲ παρρησίας ἐκ τῶν δύο συστοιχιῶν τῶν παρὰ τοῖς Πυθαγορείοις μετείληφε. τὸ μέντοι τὸ ἓν καὶ τὸ ὂν τὴν αὐτὴν εἶναι καὶ μίαν ἄμφω φύσιν, ὡς τὴν ἀρχὴν καὶ τὸ αἴτιον, καὶ τὸ ἀμερὲς καὶ τὸ ἐλάχιστον, καὶ τἆλλα ὧν αἱ μὲν ἐπιβολαὶ καὶ οἱ λόγοι διάφοροι, τὸ δὲ ὑποκείμενον ἕν, [καὶ] τοῦτο πολλὴν ἀπορίαν ἔχει καὶ παρὰ τοῖς τὰ πράγματα δυναμένοις ὁρᾶν καὶ παρὰ τοῖς τὴν ὁμολογίαν αὐτοῦ τὴν πρὸς ἑαυτὸν διαφυλάττειν θέλουσιν· οἱ μὲν γὰρ ἴσως ἀξιοῦσι τοῦ ἑνὸς ὄντος ἡνωμένου τὴν ἕνωσιν ἀλλαχόθεν ἥκειν αὐτῷ, καὶ δῆλον ὡς ἀπὸ τοῦ ὑπερουσίου ἑνός, ὃ τοῦ μὲν εἶναι μηδὲν αὐτὸ προσδεῖ, ἓν δὲ καθαρῶς ὂν πᾶσιν ἑνώσεως μεταδίδωσιν, ἧς ἄνευ συστῆναι τὴν ἀρχὴν ἢ συστάντα διαμένειν ἀδυνατεῖ τὰ πράγματα· ὥστε συνοχικὴν αὐτοῖς ταύτην ἐφίστησι καὶ φρουρητικὴν δύναμιν ἡ τοῦ πρὸ πάντων ἑνὸς ἀγαθότης. οἱ δὲ διὰ τί φήσουσι τὸ ἓν καὶ τὸ ὂν ταὐτὸν εἶναι; ἆρα διὰ τοῦτο ὅτι ἓν μὲν καὶ ἄνθρωπος οὐκ ἀεὶ ἅμα, ἀλλ' ὅπου μὲν ἄνθρωπος, καὶ ἕν, ὅπου δὲ ἕν, οὐ πάντως ἄνθρωπος, οὐδὲ ἥλιος οὐδὲ κόσμος οὐδὲ νοῦς· ὅπου δὲ ἓν ἐκεῖ καὶ ὂν καὶ ὅπου ὂν ἐκεῖ καὶ ἕν; ἀλλὰ πρῶτον μὲν οὐδὲ τοῦτο συγκεχώρηῳ· τὸ γὰρ ἓν καὶ ὑπὲρ τὸ μὴ ὂν καὶ σὺν τῷ ὄντι καὶ ἐπὶ τοῦδε τοῦ ὄντος, ὡς ἐπὶ τῆς ὕλης καὶ τῆς στερήσεως· ὅμως δὲ τίς ἀνάγκη συνόντα αὐτὰ μὴ ἔχειν πρὸς ἄλληλα διαφορὰν τὴν τοῦ προτέρου καὶ ὑστέρου; πῶς δ' εἰ ἔσται ἓν οὐσία, οὐχὶ καὶ

1 ἠξίωνται *C*. ‖ εἴπομεν] p. 837 b16. ‖ 6 αἰτιῶν *C*. sed cf. l. 2. 9. ‖ 9 ἔστιν ἢ πάντα *C*. ‖ 10 ὅσον οὐδέπω] cf. d'Oruillius ad Charit. VIII 2: ὅσον δυνατὸν coniciebat Brandisius. ‖ 16 καὶ ante πάσας inserui. ‖ 17 οὐσίας] αἰτίας *C*. ‖ 18 πρὸς τὸ ἀιδίοις εἶναι *C*. ‖ 22 ἀριθμητικὸς] γραμματικὸς *C* male superioris loci l. 15 recordatus. ‖ 29 συγχώρηται *C*. ‖ αὐτὸν τὴν] αὖ τὴν *C*. ‖ 37 ἂν τὰς] ἂν αὐτὰς *C*. ἂν αὐτὰς τὰς ci. Brandisius. ‖ 38 ἀνὰ τὸν] ἀλλὰ τὸν *C*. ‖ 39 met. B 1 p. 995 b11. 997 a15. cf. Alex. p. 202, 5. ‖ 41 ἀναπέφ δὲ sic *C*: correxit Brandisius.

9 ἓν πῶς *C*. ‖ 11 τὰ ὕτως] ὕτος τὰ olim coniciebam. ‖ 16 πάντα τὸ ὑπὸ τὸ *C*: corr. Brandisius. ‖ 22 τὴν αὐτὴν] ταυτὴν *C*. ‖ 22-25 cf. Alex. p. 203, 2 sqq. ‖ 25 καὶ male inculcatum seclusi. ‖ 27 τὴν πρὸς] πρὸς τὴν πρὸς *C*: corr. Brandisius. ‖ 28 ἑνὸς suspectum. ‖ 35 καὶ ὁ ἄνθρωπος *C*. ‖ 39 ἐπὶ τάδε τοῦ *C*. ‖ 41 δ' εἰ] δὲ *C*. εἰ add. Brandisius. ‖ ἓν οὐσία] ἡ οὐσία *C*.

ἀριθμὸς ἔςαι ὑσία, ϗ ταῦτα ὁ ἐν τοῖς ἀριθμητοῖς; εἰ γὰρ ὁ Σωκράτης ϗ ἓν ϗ ὂν καθ' αὑτό, ϗ σὺν Πλάτωνι ϗ δύο ϗ ὄντα καθ' αὑτά, ϗ ὕτως ἐφεξῆς. ὥσπερ ὧν αἱ ὑσίαι πλείως γιγνόμεναι ὑ μεταπίπτυσιν εἰς συμβεβηκότα ἀλλ' εἰσὶ πάλιν ἀεὶ ὑσίαι, ὕτω ϗ τὲ ἐν ἑκάςοις ἓν συντιθέμενον ἀριθμὸν ὑσιώδη ποιήσει· εἰ γὰρ τοῖς δέκα ἀνθρώποις ὁ μὶ ἀριθμὸς συμβέβηκεν, αἱ δὲ ὑσίαι αἱ δέκα ὑ συμβεβήκασιν ἀλλ' εἰσὶν αὐτῶν ὑσίαι, ϗ τῷ ἑνὶ τὲ μὶ ἓν ἔςαι συμβεβηκός, τὲ δὲ αὐτὲ ὑσιῶδες· ὑκ ἄρα ὑδ' ἐν Σωκράτει ταὐτὲν ἦν αὐτῷ τὲ ὂν τῷ ἑνί, εἴ γε τὲ μὶ συντεθειμένον ϗ πεπολλαπλασιασμένον ὂν μόνον ϗ ὑσία, τὲ δὲ προϊὸν ἀριθμὸς ἀνύσιος ἀναφαίνεται. κατ' ἄλλην δὲ αὖθις ἐπιβολήν, εἰ ταὐτὲν τὲ ἓν τῷ ὄντι κϗ τὲ ὑποκείμενον, ϗ τὲ ἀντικείμενον τῷ ὄντι τὲ μὴ ὂν τῷ ἀντικειμένῳ τῷ ἑνὶ ταὐτὲν ἔςαι· ὑκ ὂν ἄρα τὰ πολλά· ἀλλὰ μὴν ϗ ὄντα· ὑκ ὂν ἄρα τὰ ὄντα. εἰ δέ τις τῇ καταλήξει τῶν φωνῶν ἐπερειδόμενος ὁμόσε χωροίη λέγων τὰ ὄντα ὑκ ὂν εἶναι, μηδὲ γὰρ εἶναι ὂν ἀλλὰ τινὰ ὄντα, ἐσοφίζετο ἂν εἰ ἡμῖν ἐπιχειρήσειεν· ὑ γὰρ ὅτι πολλαπλάσιά ἐςι τὰ πολλὰ τῆ ἑνὸς ὄντος ὑκ ὂν λέγει, ἀλλ' ὅτι τῆ ὄντος ἐςὶ ςέρησις. ἢ πρὸς μὶ τῆτο φαίη τις ἂν ὑπὲρ Ἀριςοτέλυς, ὅτι ἀλλ' ὑδὲ τὰ πολλὰ τῆ ἑνὸς ἐςέρηςαι τελέως ἀλλ' ἔςιν αὐτῆ πρόοδος· ἐὰν δὲ ςερήσῃς αὐτὰ τῆ ἑνός, πάντη τέλεον οἴχεται τὰ ὄντα ἀποδράντα πρὸς τὲ μὴ ὂν ϗ τὴν τῆ μηδαμῇ μηδαμῶς ὄντος ἀχανίαν. ἐγὼ δὲ ἐβυλόμην μὶ ἂν αὐτὺς ταῦτα ϗ λέγειν ϗ φρονεῖν· ἔςι γάρ πυ Πυθαγορικώτερα ϗ Πλατωνικώτερα τῷ τε Παρμενίδῃ φίλῳ φίλτερα, ϗ ἅμα εἰς ἔννοιαν ἄγει πως, ὡς πάντα τῷ ἑνὶ ϗ ἔςι ϗ σώζεται. προσανακρίνω δὲ πάλιν πότερον τὲν ἕνα ἄνθρωπον οἷον σεμνότερον εἶναι ἢ τὺς δέκα ἀνθρώπυς; εἰ μὶ γὰρ τὲν ἕνα ἄνθρωπον, πῶς δεκαπλασιαθὲν τὲ τίμιον τῆ πράγματος ὑ σεμνότερον γέγονεν; εἰ δὲ τὺς δέκα ἀνθρώπυς, πῶς ἐςι τὲ μὶ ἓν εἶδος ϗ ὄν, τὰ δὲ πολλὰ ςέρησις ϗ μὴ ὄν; εἰ δὲ τὺς δέκα ἀνθρώπυς κϗ μὶ τὲν ἀριθμὸν λείπεται φαῖεν τῆ ἑνὸς ἀνθρώπυ, κϗ δὲ τὲ ὑσιῶδες τὲ ἐν τῷ ἀνθρώπῳ πλεονεκτεῖν, ὑκ ἦν ταὐτὲν ἐν τῷ ἑνὶ ἀνθρώπῳ τὲ ὂν αὐτῆ ϗ τὲ ἕν· ὑ γὰρ ἂν τὲ μὶ πολλαπλασιαζόμενον ἐγίνετο σεμνότερον τὲ δὲ ἀτιμότερον πάλιν. εἰ δὲ μὴ ὡς ςέρησις τὰ πολλὰ τῷ ἑνί, μᾶλλον δὲ κϗ τὰ πρός τι ἀντίκειται, καθὸ ϗ αὐτὲς ἐν τῷ I τῆςδε τῆς πραγματείας ἐνέκρινεν, ἀνάγκη ϗ τὺς ἀνθρώπυς τῷ ἀνθρώπῳ τῆτον ἀντικεῖσθαι τὲν τρόπον· ἀλλὰ μὴν ὑδὲν ἐκ τῶν ἀντικειμένων ἑαυτῷ σύγκειται, ὅτ' ἄρα οἱ ἄνθρωποι τῷ ἀνθρώπῳ ἀντίκειται, ὅτε τοιῆτον τὲ ἕν, ἐξ ὧν σύγκειται τὰ πολλά, τοῖς πολλοῖς. ἔτι ὁ μὶ ἄνθρωπος ἢ ἄνθρωπος ϗ τὲ ὂν ἢ ὂν τῶν ἀνθρώπων ϗ τῶν ὄντων ὑ διαφέρυσι, τὲ δὲ ἓν ἢ ἓν τῶν πολλῶν διαφέρει ἢ πολλά· ὑκ ἄρα ταὐτόν ἐςιν αὐτῷ ἑνί τε εἶναι ϗ ὄντι, ἄλλο ἄρα τὲ ἓν ϗ ἄλλο τὲ ὄν, ϗ εἰ συνυπάρχει τῷ ὄντι τὲ ἕν, ἐπεὶ μηδὲν ἄνευ τῆ ἑνὸς εἶναι δύναται. ἀλλὰ ταῦτα μὶ ἠπορήσθω διὰ τὴν διδασκαλίαν τῆ δαιμονίυ τῆδε ἀνδρὸς τὲ διάφωνον ἔχυσαν ἐνιαχῆ διὰ τὲ ἐγείρεσθαί τε ἅμα πρὸς τὴν πρεσβυτέραν φιλοσοφίαν ϗ ἐποπτικωτέραν, ϗ φυλάττειν τὰ παρὰ τοῖς πολλοῖς διὰ συνήθειαν εὐδοκιμώτερα. ϗ γὰρ νῦν ὁρμήσας ἀνυμνῆσαι τὲ ἓν Πυθαγορείως τε ϗ Πλατωνικῶς ϗ ὑσιῶδές τε αὐτὲ εἰπὼν ϗ ἡγεμονίαν αὐτῷ δεδωκὼς τῆς ἀμείνονος τῶν συςοιχιῶν, ὅμως διὰ τὲ τὴν ἐξηρημένην ἁπάντων τῶν ὄντων φύσιν αὐτῆ μὴ κατακρατῆσαι τὴν πρὸς ἑαυτὲν ἔσχεν ἐναντίωσιν· μόνυ γὰρ τῆ ὑπὲρ τὰ ὄντα ἐςὶ τὲ ὑπερέχειν τῆ πλήθυς, ἐπεὶ τῆ συντεταγμένυ τοῖς ὕσιν ἑνὸς εἰ μὴ κατ' ἄλλο λείποιτο τὰ πολλά, πῶς ἂν εἴη τῆ ἑνὸς ἀτιμότερα, εἰ μήτε τίκτεται παρ' αὐτῆ μήτε τῶν ἐν αὐτοῖς ἕκαςον ἐκείνυ δευτερόν ἐςιν; ἴωμεν δὲ ϗ ἐπὶ τὰ ἑξῆς. ἀρέσκει τοίνυν αὐτῷ ταὐτὲν εἶναι τῷ ὑποκειμένῳ ὂν ϗ ἕν, ϗ εἰ οἱ λόγοι αὐτῶν ἕτεροι εἶεν· εἰ δέ τις ϗ τὲν αὐτὲν λόγον ἀμφοτέροις ἀποδιδοίη, ὅ φησι διοίσεται, μᾶλλον γὰρ αὐτῆ συνδραμεῖται τῆτο τῇ ὅλῃ προθέσει· τὰ γὰρ ὑπὸ τὲ ἓν ἐπὶ πλέον δειχθήσεται προσήκοντα τῷ φιλοσόφῳ ἅτε περὶ τὲ ὂν ᾗ ὂν ςρεφομένῳ· τίνες ὧν αἱ κατασκευαὶ τῆ ταὐτὲν εἶναι τὲ ἓν ϗ τὲ ὄν; πρῶτον μὶ ὅτι ϗ τὲ ἄνθρωπος ϗ τὲ εἷς ἄνθρωπος ϗ τὲ ὢν ἄνθρωπος ταὐτὲν δηλοῖ, κἂν εἴπω δὲ εἷς ὢν ἄνθρωπος, ὑχ ἕτερον δηλῶ (τὲ γὰρ ἀναδιπλωθὲν κἂν ἀνατριπλωθῇ ταὐτὲν σημαίνει), δεύτερον δὲ ὅτι ἡ ἑκάςυ ὑσία ὑκ ἔςιν ἓν κϗ συμβεβηκός, ἀλλ' ὥσπερ ὅπερ ὄν τι, ὕτω ϗ ὅπερ ἕν τι (ὥςε ὁσαχῶς τὲ ἕν, τοσαυταχῶς ϗ τὲ ὄν, εἴπερ ἄμφω ταὐτόν), τὰς ὑσίας ἐπισκεπτόμενος ϗ πάντα τὰ ὄντα ὁ φιλόσοφος τὰς διαφορὰς τῆ ἑνὸς ἐπισκέψεται. διαφοραὶ δὲ τῆ ἑνὸς ϗ ὥσπερ εἴδη τὲ ταὐτὲν τὲ ὅμοιον τὲ ἴσον τὲ εὐθύ, ϗ ὅλως ἡ ἀμείνων συςοιχία, ὥσπερ ἡ καταδεεςέρα τῶν πολλῶν ἐςιν ἀκόλυθος. ἐπραγματεύσατο δὲ τῆτο ἰδίᾳ ϗ αὐτὲς ὕτος ὁ φιλόσοφος Ἐκλογὴν πάντων ποιησάμενος τῶν ἐναντίων, ϗ ὑποτάξας τὰ μὶ τῷ ἑνὶ τὰ δὲ τοῖς πολλοῖς. εἰ τοίνυν περί τε τὰς ὑσίας ϗ περὶ τὰς τῆ ἑνὸς ϗ τῶν πολλῶν ἕξει διαφορὰς ἡ ὅλη φιλοσοφία, ϗ τὰ μέρη αὐτῆς περὶ τὰ εἴδη τῶν ὑσιῶν διατρίψει· τῶν δὲ ὑσιῶν ἡ μὶ νοητή τε ϗ ἀίδιος, ἡ δὲ αἰσθητή τε ϗ φθαρτή· ὥςε ἡ μὶ ἔςαι πρώτη φιλοσοφία ἡ περὶ τὴν νοητήν τε ϗ ἀκίνητον ὑσίαν ςρεφομένη, ἡ δὲ ταύτης ἐχομένη ϗ δευτέρα ἡ περὶ τὴν φύσιν διατρίβυσα. ὥσπερ γὰρ τὲ ὂν ϗ τὲ ἓν εἴδη ἔχει, τὲ μὶ πρῶτον τὰ δὲ ἐφεξῆς, ὕτω ϗ αἱ ἐπιςῆμαι τοῖς ὕσιν ἀνάλογον ταχθήσονται. ἔχει γὰρ ἡ φιλοσοφία τὲ πρότερον ἐν ἑαυτῇ ϗ τὲ ὕςερον, ὥσπερ ϗ ἡ μαθηματική· καθάπερ ὧν πρότερος μὶ

1003b 26.

1004a 2.

4 ἀεὶ] αἱ *C*. ‖ 5 τοῖς δέκα] τοῖσδε *C*. ‖ 8 ταὐτὸν ἢ αὐτὸ ὂν τῷ ἓν εἴ γε *C*. correxi cl. u. 33. ‖ 16 ἀλλὰ τὰ ὄντα *C*. ‖ ἐσοφίζετο δι ἡμ ἐπιχειρήσει· sic *C*. de modis cf. p. 872 b42 sq. ‖ 21 οἴχεται τὸ ὂν ἀποδράντα *C*. ἀποδράν γε coniciebat Brandisius. ‖ 24 φίλτερα] φίλτατα *C*. ‖ 34 εἰ μὴ *C*: δὲ inserui. ‖ 36 met. I 6 p. 1056 b32 sq.

4 ἐγείρεσθαι τὸ ἅμα *C*. ‖ 13 λείποι τὸ τὰ *C*. ‖ 17 ἀμφοτέρως *C*. ‖ 20 τίνες] τίνος *C*. ‖ 24 ἑκάςυ] ἑκάςη *C*: corr. Brandisius. ‖ 25 κατὰ om *C*. add. Brandisius cl. Arist. p. 1003 b32. ‖ ἕν τι . . . ἕν τι] ἓν τι . . . ὄν τι *C*. ‖ 27 ante τὰς ὑσίας nescio an δι' ὧν ταῦτα uel simile quid interciderit. ‖ 30 ὅλως ἀμείνων *C*: adieci ἡ. ‖ 40 τὰ δὲ] τὸ δὲ *C*.

ὁ ἀριθμητικὸς τοῦ γεωμέτρου, πάλιν δὲ οὗτος τοῦ ἀστρονόμου καὶ οὗτος εἰ τύχοι τοῦ μηχανικοῦ, οὕτω καὶ τὰ εἴδη τῆς ὅλης φιλοσο-
1004a 9. φίας τῷ πρώτῳ καὶ μέσῳ καὶ τελευταίῳ διακεκόσμηται. μιᾶς δὲ ταὐτικείμενα πάντως ἀλλήλοις θεωρούσης δεῖ τὴν τε ἓν εἰδυῖαν καὶ τὰ πολλὰ εἰδέναι· τὰ γὰρ πολλὰ ἤτοι ἀπόφασις τοῦ ἑνὸς ἢ στέρησις. διαφέρουσι δὲ ἀλλήλων αἱ ἀντιθέσεις αὗται ὅτι ἡ μὲν ἀπόφασις ἐπὶ πάντων ἀληθεύει τῶν παρὰ τὸ ἓν ἐκεῖνο τὸ ἀναιρούμενον· τὸ γὰρ οὐχ ἵππος ἐπὶ πάντων ἀληθὲς τῶν παρὰ τὸν ἵππον, ἡ δὲ στέρησις οὐχ οὕτως· οὐ γὰρ ἁπλῶς ἀπούσης τῆς ἕξεως *ἔννοιαν* παρίστησιν ἡ στέρησις (οὐ γὰρ τυφλὸς ὁ μὴ ἔχων ὄψιν, ἐπεὶ καὶ λίθος ἂν ἦν τυφλός), ἀλλ' ἀπούσης τοῦ πεφυκότος αὐτὴν δέχεσθαι· κωφὸν οὖν οὐχὶ πᾶν ὃ μὴ ἀκούει, ἀλλὰ τὸ οὗ ἐὰν μὴ ἀκούῃ, ὅτι πέφυκεν ἀκούειν· δεῖ γὰρ ὑποκεῖσθαι μίαν φύσιν τῇ ἕξει καὶ τῇ στερήσει. καὶ διαφορὰ μὲν αὕτη μεγίστη στερήσεως καὶ ἀποφάσεως. εἴτε μέντοι στέρησίς ἐστι τοῦ ἑνὸς τὰ πολλὰ εἴτε ἀπόφασις, ἐπειδὴ δι' ἑκατέρας ἔστι τὸ ἓν θεωρῆσαι, τοῦ αὐτοῦ ἐστι τό τε ἓν εἰδέναι καὶ τὰ πολλά· καὶ γὰρ ὅλως τὰ καθ' οἱανοῦν ἀντίθεσιν ἀλλήλοις ἀντικείμενα μιᾶς ἐστιν ἐπιστήμης εἰδέναι. εἰ δὲ ὁ φιλόσοφος τό τε ἓν εἴσεται καὶ τὰ πολλά, οὐ μόνον τὸ ταὐτὸν καὶ ἴσον καὶ ὅμοιον ἐπισκέψεται διαφορὰς ὄντα τοῦ ἑνός, ἀλλὰ καὶ τὰ τούτοις ἀντικείμενα, τὸ ἕτερον τὸ ἀνόμοιον τὸ ἄνισον, ἅπερ ὑπὸ τὸ πλῆθος ἀνάγεται, καὶ οὐ μόνα γε ταῦτα ἀλλὰ καὶ ὅσα διὰ τούτων ὑπὸ τὸ ἓν καὶ τὰ πολλὰ τάττεται· καὶ γὰρ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ πᾶν τὸ τοιοῦτον γένος ὑπὸ τὰ πρώτιστα τῶν ἀντικειμένων τέτακται, ὡς μὲν ἐγὼ νομίζω, τὸ γλυκὺ καὶ τὸ λευκὸν καὶ πᾶν τῷ εἴδει συγγενέστερον ὑπὸ τὸ ἕν, τὸ δὲ πικρὸν καὶ τὸ μέλαν καὶ πᾶν τὸ εἰς τὴν στέρησιν ὑποφερόμενον ὑπὸ τὰ πολλά· ὡς δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται, τὰ μὲν διακριτικὰ [θερμὸν γλυκὺ λευκὸν] ὑπὸ τὰ πολλά, τὰ δὲ τούτοις ἀντίθετα ὑπὸ τὸ ἕν. καὶ τὴν ἐναντίωσιν δὲ αὐτὴν ἀνάξομεν ἐπὶ τὰ πολλά,
1004a 21. τὴν δὲ φιλίαν ὑπὸ τὸ ἕν· "διαφορὰ γάρ τις" φησίν "ἡ ἐναντίωσις, ἡ δὲ διαφορὰ ἑτερότης". εὖ γε σὺ πάντα ταῦτα λέγων ὦ ἄριστε· τί οὖν οὐχὶ καὶ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα παραλαμβάνομεν ἐν ταῖς ἀρχαῖς; τί δὲ τῇ Ἐμπεδοκλέους φιλίᾳ καὶ τῷ νείκει διεμαχόμεθα; τὰ γὰρ αὐτὰ νῦν πράγματα καὶ τὰς αὐτὰς δυνάμεις δι' ἑτέρων ὀνομάτων εἰς τὰς ἀρχὰς εἰσάγομεν, τοῦ μὲν ἑνὸς οὐδ' ὑπαλλάξαντες τὔνομα, τὴν δὲ ἀόριστον δυάδα "πολλὰ" μετονομάσαντες. ταῦτα μὲν οὖν ὑπέρευ. ἐπειδὴ δὲ τὰς ἀρχὰς ἐξηρῆσθαι δεῖ τούτων ὧν εἰσιν ἀρχαί, ἔχω σοι τὸ ἓν καὶ τὸ πλῆθος οὐ κατὰ μέθεξιν ἑνὸς καὶ τῶνδε τῶν πολλῶν ἐξηρημένα, καὶ οὕτω τά τε πράγματα σεμνότερα θεασόμεθα καὶ ἡμεῖς ἡμῖν αὐτοῖς οὐ διαφωνήσομεν. ταῦτα μὲν καὶ εἰσαῦθις, εἰ δοκεῖ. τέως δὲ δείξας ἡμῖν ὅτι μιᾶς ἐπιστήμης τὰ ὄντα πάντα καὶ τὰ ἐπὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀναγόμενα θεωρεῖν, λύει τινὰ ἔνστασιν τὴν ἀπορούσαν πῶς ἐπεὶ πολλαχῶς τὸ ἓν καὶ τὸ ὄν, ὑπὸ μίαν 1004a 24.
ἐπιστήμην. ὁ δέ φησιν ὅτι πρὸς ἓν λέγεται· ὥσπερ οὖν τὰ ὑγιεινὰ μιᾶς, οὕτω καὶ ταῦτα μιᾶς· πρὸς γὰρ τὴν οὐσίαν ἅπαντα τὰ ὄντα καὶ πρὸς τὸ πρῶτον ἓν ἀναφέρεται. οὕτω δὲ καὶ τὸ ταὐτὸν εἰ διαφορὰς ἔχει, πᾶσαι πρὸς τὸ πρώτως ταὐτὸν ταχθήσονται, τοῦτο δέ ἐστι τὸ τῇ οὐσίᾳ ταὐτόν· οὕτω καὶ τὸ ἕτερον καὶ τὸ ὅμοιον καὶ ἀνόμοιον. δεῖ οὖν διελομένους ποσαχῶς ἕκαστον τούτων λέγεται, εἴτε δεκαχῶς ἐκεῖνο παντὶ τῷ ὄντι ὑπάρχει εἴτε κατ' ἄλλον ἀριθμόν, τὸ ἐν ἑκάστῃ κατηγορίᾳ συντάττειν τῷ ἐν τῇ οὐσίᾳ ταὐτῷ καὶ ὁμοίῳ καὶ ἑτέρῳ καὶ ἀνομοίῳ· τὰ μὲν γὰρ τῷ ἐκεῖνο τὸ πρῶτον ἔχειν αὐτά, τὰ δὲ τῷ ἐκεῖνο τὸ πρῶτον ποιεῖν αὐτά (ἔχει γὰρ ἡ οὐσία καὶ ποιεῖ ταῦτα ἃ λέγεται εἶναι), τὰ δὲ κατ' ἄλλους τρόπους· ἤτοι γὰρ χέσιν ἔχει πρὸς οὐσίαν ἢ πάθος αὐτῆς ἐστιν ἤ τι τοιοῦτο. λέλυται οὖν κἀκείνη ἡ ἀπορία, τίνος ἔστι διαλαβεῖν περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ἴσου καὶ ἀνίσου καὶ ὅλως πάντων τῶν καθ' αὐτὰ ταῖς οὐσίαις ὑπαρχόντων· δῆλον γὰρ ἐκ τῶν εἰρημένων ὅτι τοῦ φιλοσόφου· καὶ γὰρ εἰ μὴ οὗτος, τίς ἐστιν ὁ σὺν 1004b
ἀποδείξει λέγων εἴτε ταὐτὸν Σωκράτης *καὶ Σωκράτης* φιλοσοφῶν εἴθ' ἕτερον, εἴτε πῇ μὲν ταὐτὸν πῇ δὲ ἕτερον· ἢ εἰ δυνατὸν ἑνὶ πολλὰ εἶναι ἐναντία ἢ ἀδύνατον ἀλλ' ἀνάγκη ἓν ἑνί. ἐπεὶ οὖν οὐχὶ τῶν ἀριθμῶν ἢ τῶν χημάτων ταῦτα πάθη ἀλλὰ τοῦ ὄντος ᾗ ὄν, φανερὸν ὅτι τῆς πρώτης ἐστὶ φιλοσοφίας ἡ περὶ ταῦτα χολή· καὶ οὐ διὰ τοῦτο κακίσειεν ἄν τις τοὺς σοφιστὰς ὅτι περὶ ταῦτα στρέφονται, ἀλλ' ὅτι μηδὲν περὶ οὐσίας ἐπαίοντες περὶ ταῦτα σὺν ἀμαθίᾳ πολλῇ διατρίβουσιν. ἔδει δὲ εἰδέναι ὅτι ὥσπερ ἀριθμοῦ πάθη ἐστὶν ἴδια τὸ ἄρτιον καὶ τὸ περιττὸν καὶ κατὰ τὴν πρὸς ἀλλήλους παραβολὴν πολλαπλάσιον, ὑποπολλαπλάσιον καὶ ὅλως αἱ δέκα σχέσεις αἱ ὑπὸ τὴν ὑπεροχὴν καὶ ἔλλειψιν, ὁμοίως δὲ καὶ τῷ στερεῷ σώματι τῷ τε ὑπὸ τῶν γεωμετρῶν κατανοουμένῳ καὶ ἀκινήτῳ, καὶ τῷ φυσικῷ καὶ κινητῷ, καὶ τῶν κινουμένων τῷ τε ἀβαρεῖ καὶ οὐρανίῳ καὶ τῷ ἐνύλῳ καὶ βάρος ἔχοντι ἢ κουφότητα ***, οὕτω δὴ καὶ τῷ ὄντι καθὸ ὂν καθ' αὐτά τινα συμβέβηκε, περὶ ὧν οὐδὲν εἰπεῖν ὑγιὲς ὁ μὴ ἐπεσκεμμένος δυνήσεται. μόνος οὖν ὁ φιλόσοφος περὶ αὐτῶν ἀξιόχρεως διεχωρίσθαι· ὑποδυόμενοι δὲ οἱ διαλεκτικοί τε καὶ σοφισταὶ *τὸν φιλόσοφον* προσποιοῦνται καὶ αὐτοὶ περὶ πάντων τῶν ὄντων διαλέγεσθαι, ἀπολιμπάνουσι δὲ αὐτοῦ τε

4 δὲ ἀντικείμενα *C*. ‖ 9 ἁπλῶς ἀπάσης *C*. cf. Alex. p. 209, 23 ἡ γὰρ στέρησις οὐχ ἁπλῶς ἀπουσία τινός ἐστιν ὡς ἡ ἀπόφασις, ἀλλ' ἀπουσία τοῦ πεφυκότος ὑπάρχειν ὅτε πέφυκε. ‖ 10 ἔννοιαν intercidisse, non ἀπουσίαν l. 9 corrigendum liquet uerba ἀπούσης τοῦ πεφυκότος a. d. perpendenti. ‖ 23 et 27 καὶ μέλαν *C*: τὸ addidi. ‖ 25 fort. τὸ μὲν γλυκύ. ‖ 28 Alex. p. 210, 12. ‖ 29 θερμὸν γλυκὺ λευκὸν quae sunt συγκριτικὰ de margine huc inrepserunt. non re sed uerborum ordine ab Alexandro Syrianus discrepat. ‖ 31 ἐναντιότης Arist. ‖ 32 ἡ γὰρ διαφορὰ *C*. ‖ 37 ὑπαλλάξαντες *C*. ‖ 40 ἑνὸς] fort. ἀλλὰ τοῦδε τοῦ ἑνός.

1 fort. καὶ γὰρ οὕτω. ‖ 6 πρὸς ἕνα λεγ. *C*: em. Brandisius. ‖ 7 μίᾳ . . . μίᾳ *C*: em. Brandisius. ‖ 11 διελομένοις *C*. ‖ 12 ἐκεῖνο] ἐπειδὴ *C*. ‖ 13 τὸ ἓν ἑκάστῃ *C*. ‖ 17 ἤτοι] ὅτι *C*. ‖ 22 λέγων εἴγε *C*. ‖ καὶ Σωκράτης interposui. ‖ 27 καὶ οὐδὲ τοῦτο *C*. ‖ 30 καὶ περιττὸν *C*. ‖ 32 αἱ δέκα σχ.] cf. Nicomachus arithm. I, 17, 7—23, 4. ‖ 35 hiatum notaui, intercidit fort. ἄλλῳ ἄλλα συμβέβηκεν cf. Alex. p. 215, 14 sq. ‖ 38 ἀξιόχρεων *C*. ‖ 39 τὸν φιλόσοφον suppleui, non τὸ φιλοσόφου ὄνομα cl. Alex. p. 215, 25. 29 aut ταὐτὸν τῷ φιλοσόφῳ σχῆμα cl. Ar. p. 1004 b18. illuc enim 40 et p. 870 a1 refertur. cf. p. 840 a9. 17.

καὶ τῆς ἀληθείας, οἱ μὲν διὰ τὸ μὴ ἔχειν αὐτοῖς τὴν ἐπιστήμην ἀλλ' ἐνδόξως ἐπιχειρεῖν περὶ ὧν ὁ φιλόσοφος ἀποδείκνυσιν, οἱ δὲ καὶ προαιρέσει μοχθηρᾷ χρώμενοι· κεδὸν γὰρ ὑπεναντία τοῖς φιλοσόφοις σπουδάζουσιν· οἱ μὲν γὰρ τῆς τῶν προσιόντων ταῖς ἀκροάσεσι σωτηρίας κοχάζονται, οἱ δὲ πρὸς ἀπάτην ὁρῶσι καὶ τὸ παρὰ τῶν διαστραφέντων χρηματίσασθαι. ἡ δὲ διαλεκτικὴ βελτίονα μὲν ἔχει τῆς σοφιστικῆς προαίρεσιν, καὶ φιλόσοφον ἔχει τὴν γνῶσιν, καὶ τῶν συνόντων πειρατικός ἐστιν ὁ διαλεκτικός, οὐ διδασκαλικός, ὥσπερ ὁ φιλόσοφος. ὁ δέ γε σοφιστὴς εἴδωλόν ἐστιν εἰδώλου· τὴν γὰρ πειρατικὴν μιμεῖται, οὐδ' αὐτὸ τοῦτο δυνάμενος ποιεῖν. δείξας οὖν ὁ Ἀριστοτέλης *ἐκ τῆς σοφιστικῆς* καὶ τῆς διαλεκτικῆς κατὰ μίμησιν τῆς φιλοσοφίας περὶ πάντα τὰ ὄντα ἐχουσῶν, ὅτι ἡ φιλοσοφία παντὸς τοῦ ὄντος ᾗ ὂν ἐστὶ γνωστική,
10046 χρῆται καὶ ἄλλῳ τινὶ τοιῷδε ἐπιχειρήματι· πάντες οἵ τε φυσικοὶ
27. καὶ οἱ τούτων ὑπερτέραν θεωρίαν φιλοφρονούμενοι τὰς ἀρχὰς τοῦ ὄντος ἐναντίας ποιοῦσιν. εἶτα τὰς δόξας παρατίθεται τῶν πρεσβυτέρων· οἱ μὲν γὰρ Πυθαγόρειοι περιττὸν καὶ ἄρτιον, Παρμενίδης δὲ πῦρ καὶ γῆν, Πλάτων πέρας καὶ ἄπειρον, Ἐμπεδοκλῆς φιλίαν καὶ νεῖκος· πάντα δὲ ταῦτα καὶ τὰ ἄλλα τὰ ἐναντία εἰς τὸ ἓν καὶ τὸ πλῆθος ἀνάγεται· ταῦτα δὲ μιᾶς ἐπιστήμης θεωρῆσαι· ὥστε περὶ πάντα ὁ τελέως φιλόσοφος, εἴτε συνωνύμως τὸ ἓν καὶ τὸ ὂν κατὰ πάντων τῶν ὄντων λέγεται, εἴτε, ὅπερ ἐστὶ μᾶλλον ἀληθέστερον, τῶν πολλαχῶς μέν ἐστι λεγομένων, ὡς πρὸς ἓν δὲ καὶ μίαν φύσιν ἀνάγεται τά τε ὑπὸ τὸ ἓν καὶ τὰ ὑπὸ τὰ πολλά, καὶ ὅτως ὅτε χωρὶς τὸ ἓν τῶν πάντων ὑποτιθέμεθα εἶναι ὅτε ὁμωνύμως αὐτό φαμεν κατηγορεῖσθαι τῶν πραγμάτων, καὶ ὅλως ὑπὸ μίαν ἐπιστήμην τὰ πάντα τοῦ ἑνὸς καὶ τοῦ ὄντος ἀνάγομεν πάθη. τὰ μὲν γὰρ πρὸς ἓν λέγεται, τὰ δὲ τῷ ἐφεξῆς, ὡς οἱ ἀριθμοὶ καὶ τὰ σχήματα· οὐ γὰρ τοῦ γεωμέτρου περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ τελείου διαλαβεῖν, ἀλλὰ κἂν ὀνομάσῃ ποτὲ ὅμοια τρίγωνα, ἐξ ὑποθέσεως αὐτὸ λαμβάνει καὶ ὁρισμοῦ· ὑποθέμενος γὰρ ὅτι ὅμοιά ἐστι τρίγωνα τὰ ὑπὸ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἔχοντα ἀνάλογον, ὅτως ἀποδείκνυσι τάδε τὰ τρίγωνα ὅμοια· εἴτε δὲ
1005a χρὴ τὰ τοιαῦτα ὅμοια καλεῖν εἴτε μή, λέγειν οὐκ ἔχει. συμ-
13. πέρασμα δὴ τούτοις ἐπιτίθησι δι' οὗ τῆς αὐτῆς ἐπιστήμης εἶναί φησι καὶ πᾶν τὸ ὂν ᾗ ὂν θεωρεῖν καὶ τὰ καθ' αὑτὰ τούτου πάθη, καὶ προστίθησιν ὅτι καὶ περὶ τοῦ προτέρου καὶ ὑστέρου καὶ περὶ γένους καὶ εἴδους καὶ ὅλου καὶ μέρους ἡ αὐτὴ γνώσεται· πάντα γὰρ ταῦτα ἀντίκειται ἀλλήλοις, τὰ δὲ ἀντικείμενα πάντα τῷ ἑνὶ καὶ τοῖς πολλοῖς περιείληπται, περὶ ἃ δέδεικται προηγουμένως ἔχων ὁ φιλόσοφος. ῥητέον οὖν πάλιν πρὸς αὐτόν, ὡς εἰ τὸ παρὰ τὸ ἓν θάτερον δηλοῖ τῶν ἐναντίων, δεῖ τι πρὸ πάσης ἐναντιώσεως ἕτερον ἓν εἶναι, ὃ πάντα μεθέξει καὶ τὰ τῆς ἑτέρας συστοιχίας, ὃ πάντων ἔσται ἀρχή. δεῖ γὰρ μὴ ἀπὸ διαιρέσεως ἄρχεσθαι τὰς ἀρχὰς ἀλλ' ἀπὸ τοῦ ἑνός, ἐπειδή, ὡς εὖ φής, "οὐκ ἀγαθὸν πολυκοιρανίη." καὶ γὰρ δὴ καὶ τῶν Πυθαγορείων ἀμείνους οἱ μὴ ἀπὸ τῶν ἀντικειμένων ἀρξάμενοι, προτάξαντες δὲ τῶν δυεῖν στοιχείων ἓν τὸ πάντων ἐξῃρημένον αἴτιον, ᾧ μήτε τι ἀντίκειται μηθ' ὅλως ἰσοθενὲς εἶναι βούλεται. καὶ περὶ μὲν τούτων τοσαῦτα καὶ νῦν.

Ἐντεῦθεν δὲ ἤδη ὁ Ἀριστοτέλης μέτεισιν ἐπὶ τὸ ζητεῖν εἰ 1005a
19. τὰς τῆς ἀποδείξεως ἀρχὰς ὥσπερ τὰς τῆς οὐσίας ὁ φιλόσοφος ἐπιγνώσεται· καὶ διαρρήδην ἀποφαίνεται τῷ φιλοσόφῳ τὴν τούτων προσήκειν ἐπίσκεψιν. αἱ δὲ κατασκευαὶ τοιαῦται· παντὸς τοῦ ὄντος δι' αὐτῶν ἀποδείκνυται τὰ καθ' αὑτὰ συμβεβηκότα, ὥστε ὁ ταῦτα δεικνὺς ἕξει τι πλέον εἰπεῖν περὶ αὐτῶν· ὥσπερ γὰρ εἰ τὰ τοῖς ἀριθμοῖς ὑπάρχοντα μόνα δι' αὐτῶν ἐγνωρίζομεν, ἀριθμητικῆς ἦν *ἂν* ἡ τούτων θεωρία, ἢ εἰ τὰ τοῖς μεγέθεσι καὶ σχήμασι, γεωμετρίας, ὅτως ἐπειδὴ τὰ τῷ ὄντι παντὶ καθ' αὑτὰ ὑπάρχοντα δείκνυται δι' αὐτῶν, ὁ περὶ πᾶν τὸ ὂν ᾗ ὂν ἔχων περὶ αὐτῶν διαλήψεται· καὶ γὰρ μόνος καθολικώτερον αὐτοῖς χρῆται, ἐπεὶ αἱ ἄλλαι τέχναι ἅτε περὶ τὶ ὂν ἔχουσαι καὶ οὐ περὶ πᾶν τὸ ὄν, τὸ πρόσφορον ἑαυταῖς διαλαβοῦσαι δι' αὐτοῦ συλλογίζονται, ὁ μὲν γεωμέτρης "τὰ τῷ αὐτῷ μεγέθει ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα", ὁ δὲ ἀριθμητικὸς "ἐὰν ἀπὸ ἴσων ἀριθμῶν ἴσως ἀφέλῃς, οἱ λειπόμενοι ἴσοι." καὶ ἐξ ὧν δὲ μηδεὶς τῶν μαθηματικῶν ἢ τῶν ἄλλων τεχνιτῶν ἐπιχειρεῖ λέγειν περὶ αὐτῶν, λάβοις ἂν ὅτι τῷ φιλοσόφῳ μόνῳ πρέπουσά ἐστιν ἡ περὶ αὐτῶν σκέψις. εἰ δὲ καὶ οἱ περὶ φύσιν δεινοὶ λέγουσί τι πολλάκις περὶ αὐτῶν, ἐξαπατῶντες ἑαυτούς (οἴονται γὰρ μόνα εἶναι τὰ σώματα καὶ αὐτοὶ περὶ πᾶν τὸ ὂν ἔχειν) ὅτω τι λέγουσι περὶ τῶν ἀξιωμάτων· ὃς ὑπομνήσομεν ὅτι φιλόσοφοι μέν εἰσι καὶ αὐτοὶ περὶ τὴν φυσικὴν οὐσίαν διατρίβοντες, οὐ μὴν οἱ πρῶτοι. εἰ δέ τινες ἄλλοι 1005b
2. περὶ τῆς τῶν ἀξιωμάτων ἀληθείας ἐπιχειροῦντες λέγειν ἀποδείξεις αὐτῶν προχειρίζονται, δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν αὐτὸ ποιοῦσι· δεῖ γὰρ οὐ ζητεῖν ἐν ὁτιοῦν μαθησόμενον τὰ ἀξιώματα, ἀλλ' ἥκειν αὐτὰ προειληφότα. εἰ δὲ καὶ οἱ ἄλλοι τεχνῖται τὰς βεβαιοτάτας ἀρχὰς ἴσασι τοῦ γένους περὶ ὃ τρέφονται, πολλῷ δὴ πλέον ἀναγκαῖόν ἐστι τῷ φιλοσόφῳ πάντων τῶν ἀξιωμάτων τὰ βεβαιότατα καὶ ἀρχηγικώτατα κατανενοηκέναι. βεβαιότατον δ' ἐστὶ περὶ ὃ ἀπατηθῆναι οὐκ οἷόν τε, καὶ ἀρχηγικώτατον εἰς ὃ πάντα ἀναλύεται ὡς εἰς ἀνυπόθετον· ἡ γὰρ ὑπόθεσις ἀρχὴ μὲν ὡς πρὸς τόνδε, ἁπλῶς δὲ οὐκ ἀρχὴ ἀλλ' ἀποδεικτὴ τῷ ἐπαναβεβηκότι. δεῖ δὲ τὴν βεβαιοτάτην καὶ ἀρχηγικωτάτην καὶ ἐναργεστάτην εἶναι, ἵνα μηδεὶς ἀπατᾶται περὶ αὐτήν. ἔστι δὲ τοιαύτη 1005b
19. ἡ κατὰ τὴν ἀντίφασιν· ὅτε γὰρ τὸ αὐτὸ τῷ αὐτῷ ἅμα καὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ὑπάρχειν δύναται καὶ μὴ ὑπάρχειν· ὅτ' ἔστιν

8 fort. καίτοι τῶν συνόντων. ‖ 11 ἐκ τῆς σοφιστικῆς deesse uidit Brandisius. ‖ 25 ὅτε συνωνύμως *C.* ‖ 26 ὅλως] ὅμως *C.* ‖ 34 μὴ λέγειν οὐκ ἔχει συμπέρασμα δ ἡ. τούτοις sic *C.* ‖ 42 δεῖ τι] δεῖται *C.*

2 Arist. met. Λ 10 extr. ‖ 11 ὥστε ὁ] ὥστε ὡς *C.* ‖ 14 ἂν inserui. ‖ 18 περί τι *C.* ‖ 22 ἐξ ὧν] cf. p. 841 b6. ‖ 23 τεχνιτῶν *C.* ‖ 26 οἴονται] οἰόμενοι *C.* ‖ 36 βεβαιότατον] βεβαιοτάτη *C.* ‖ 39 τῷ ἐπαναβεβηκότι] cf. supra p. 858 a27. 864 b24. ‖ 41 ἔστι δὲ] ἔστι γὰρ *C.* ‖ 43 fort. ὑπάρχειν τε δύναται.

ὕτω τις διακείμενος, κἂν ἕνεκα λόγου θέσει παριςῆται, ὅτε φάντα καὶ ἀποφάντα δυνατὸν ἀληθεύειν ἅμα. ὅτι δὲ ἀπατηθῆναι περὶ ταύτην ὐ δυνατὸν τὴν ἀρχήν, δείκνυσιν ὅτως· εἴ τις οἴεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, τὰς ἐναντίας ἔχει δόξας ἐν ἑαυτῷ· ἐναντίαι γὰρ αἱ κατ' ἀντίφασιν δόξαι, ὡς ἐν τῷ τέλει τοῦ Περὶ ἑρμηνείας ἐρρήθη. ἀλλὰ μὴν ἀδύνατον ἅμα τἀναντία παρεῖναί τινι, ἀδύνατον ἄρα καὶ ἠπατῆσθαί τινα περὶ ταύτην τὴν ἀρχήν. διὸ καὶ πάντες ὁτιοῦν ἀποδεικνύντες αὐτῇ κέχρηνται· εἰ δὲ τῶν Ἡρακλειτείων ἢ τῶν ἄλλων φυσικῶν τινες οἴονται καὶ αὐτοὺς ὅτω δοξάζειν καὶ τὰ πράγματα δέχεσθαι κατ' ταὐτὸ τὸ ταύτῃ μὴ εἶναι ἧπερ ἔςι, λόγου μὰ ἕνεκα ποιεῖσθαι αὐτοὺς τὰς τοιαύτας ἀποφάνσεις οἰητέον· ἡμεῖς γὰρ σαφῶς ὑπεμνήσαμεν ὅτι τὰς ἐναντίας δόξας τῷ αὐτῷ παρεῖναι ἀδύνατον. ὐ μὴν διὰ τοῦτο ἀποδεῖξαι τὴν ἀλήθειαν τοῦ ἀξιώματος ἐπιχειρήσομεν· αὐτὸ γὰρ τοῦτο μεγίςης ἐςὶν ἀμαθίας τεκμήριον τὸ οἴεσθαι πάντα εἶναι ἀποδεικτά· καὶ γὰρ ὁ τοῦτο λέγων ἀπόδειξιν ἀναιρεῖ, ὥσπερ ὁ αὐτόθεν μηθὲν εἶναι λέγων ἀποδεικτόν. διχῶς γὰρ ἀναιρεῖται τῶν πραγμάτων ἕκαςον, ἢ αὐτόθεν ἢ τῶν ἀρχῶν μὴ δοθεισῶν. ὥσπερ ὖν ὁ πάντα γεννητὰ φάσκων εἶναι γένεσιν ἀναιρεῖ, μὴ διδοὺς εἶναι τὴν ἀρχὴν τῶν γεννητῶν τὸ ἀγένητον, ὅτως ὁ πάντα δείκνυσθαι ἀξιῶν ἀναιρετικός ἐςιν ἀποδείξεως, ὐκ ἐῶν εἶναι τὸ ἀναπόδεικτον, ὅπερ ἐςὶν αἴτιον τοῦ καὶ τὰ μετ' αὐτὸ δείκνυσθαι. εἰ δ' ὅλως ἐςί τι ἀναπόδεικτον, τί ἂν εἴη πρὸ τούτου τοῦ ἀξιώματος, ὅθεν καὶ τοῖς ἄλλοις πᾶσιν ἀναποδείκτοις δύναμις ἐφήκει; ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενά ἐςιν ἴσα· διὰ τί; ὅτι ἐὰν μὴ ἴσα ᾖ, προςεθέντα τὰ ἀφαιρεθέντα ποιεῖ τὰ ὅλα μὴ ἴσα· τοῖς γὰρ μὴ ἴσοις ἡ ἴση προσθήκη τῆς ἐξ ἀρχῆς ἀνισότητος γίγνεται τηρητική· ἔςαι ὖν τὰ αὐτὰ ἴσα καὶ ὐκ ἴσα, ὅπερ ἄτοπον. καὶ ὐ λέγω ὅτι ἀπόδειξίς ἐςιν αὕτη, ἀλλ' ὅτι εἰς ἐναργέςερον ἀπάγοντες ἄτοπον τὸν ἐνιςάμενον τοῖς ἄλλοις ἀξιώμασιν εἰς τὴν ἀντίφασιν καταντᾶν αὐτὸν παρασκευάζομεν. ὅλως δὲ μὴ συγχωρηθέντων αὐτῶν εἶναι ἴσων, αὐτῷ τῷ ὑποθέσθαι εἶναι μὴ ἴσα τί ἄλλο ἢ κυροῦμεν τὸ τῆς ἀντιφάσεως ἀξίωμα; καὶ ὐχ ἡμεῖς οἱ ὑποτιθέμενοι ἀλλ' αὐτὸς ὁ ἐνιςάμενος. τί γὰρ ἂν καὶ ἀξιώσειεν ἡμᾶς ἄλλο ὑποθέσθαι, μὴ συγχωρῶν ἴσα αὐτὰ εἶναι τὰ τῷ αὐτῷ ἴσα; ὐδὲ πλάσαι δυνατόν. μὴ γὰρ ἀλλ' εἰ δυνατόν, τὸ $\bar{\alpha}$ τῷ $\bar{\gamma}$ ἕςω μὴ ἴσον, ἑκάτερον δὲ αὐτῶν τῷ $\bar{\beta}$· ὐκοῦν ἐπεὶ τὸ $\bar{\alpha}$ ὐκ ἴσον τῷ $\bar{\gamma}$, ἡλίκον δὲ τὸ $\bar{\gamma}$, τηλικοῦτον δὲ τὸ $\bar{\beta}$, ὐδὲ τῷ $\bar{\beta}$ ἴσον ἔςαι τὸ $\bar{\alpha}$. ἀλλὰ καὶ ἴσον· τὸ αὐτὸ ἄρα καὶ ἴσον τι καὶ ὐκ ἴσον, ὅπερ ἄτοπον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀξιωμάτων ὁ ἔλεγχος γίνεται τῶν ἐνιςαμένων διὰ τῆς ἀντιφάσεως, ἐπεὶ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· ἅπας μὰ γὰρ ἔλεγχος εἰς ἀντίφασιν περιίςησιν, ὁ δὲ τὸ ἀντικείμενον τοῦ ἀληθοῦς ὑποτιθέμενος πολλαχοῦ χρῆται τῇ ἀντιφάσει καὶ ἐναργέςατα. τοῦτο τοίνυν τὸ ἀξίωμα πῶς ἂν ἀποδειχθείη μηδὲν ἔχον ἑαυτοῦ βεβαιότερον μηδὲ γνωριμώτερον μηδὲ ἀρχηγικώτερον; ὐ μὴν ἀλλ' εἰ καὶ μὴ ἔςιν αὐτὸ δεῖξαι, ἐπειδή ὅ τι ἂν λάβωμεν εἰς τὴν κατασκευὴν αὐτοῦ, ἢ ἰσοδύναμον αὐτῷ λαμβάνομεν ἢ ἀμυδροτέραν ἔχον γνῶσιν, ὅμως ἔςι τὸν ἐνιςάμενον αὐτῷ περιβάλλειν ἐλέγχῳ, ἐὰν μόνον ἐθέλῃ λόγῳ χρῆσθαι. λεγέτω γὰρ ἡμῖν ἐκεῖνος, εἰ μὴ κατ' ζῷον ἄλογον ἢ καὶ φυτὸν ἀναίσθητον ἔταξεν αὐτόν· ἆρ' ὐχὶ τῶν ὀνομάτων ἕκαςον σημαίνει τι; σημαῖνον δέ τι ὐχὶ ἓν ἢ πολλὰ ὡρισμένα ἢ πάντα σημαίνειν πᾶσα ἀνάγκη; ἀλλ' εἰ μὰ πάντα σημαίνει, ὐδὲν σημαίνει. λείπεται δή, εἴπερ τι σημαίνει, ἢ ἓν ἢ πολλὰ καὶ ὡρισμένα σημαίνειν αὐτό. ἀλλ' εἴτε ἓν εἴτε πολλὰ καὶ ὡρισμένα σημαίνει, ἔςιν ἐφ' ἑκάςῳ τῶν πραγμάτων ἴδιον ὄνομα. εἰ μὰ γὰρ ἓν ἑνός ἐςι σημαντικόν, αὐτόθεν εἰλήφαμεν τὸ ζητούμενον. εἰ δὲ ἓν πολλῶν καὶ ὡρισμένων, ληψόμεθα τῶν πολλῶν ἐκείνων καὶ ὡρισμένων τὰ σημαινόμενα, καὶ ἐφ' ἑκάςῳ τάξομεν ἴδιον ὄνομα· ὃ γὰρ ἡ διάνοια χωρίσαι τῶν ἄλλων δύναται, τοῦτο καὶ δι' ὀνόματος ἢ λόγου σημήνειεν ἄν· ἓν ἄρα ἑνὸς σημαντικόν, ἐπεὶ κἂν ἓν πολλῶν, ὐ ποιεῖ ἀντίφασιν τοῦτο· ὥςε μάτην ἂν νῦν παραλαμβάνοιτο τὰ ὁμωνύμως λεγόμενα. εἴτε ὖν ἑνὸς πράγματος οἷον τοῦ ἀνθρώπου ἓν ὄνομα εἴη τὸ ἄνθρωπος σημαντικόν, ὐδὲν ἄλλο ἢ τὸ εἶναι αὐτοῦ σημαίνει· εἰ γὰρ καὶ συμβεβηκὸς αὐτοῦ σημαίνοι, οἷον τὸ λευκὸν ἢ φρόνιμον, ὐχ ἓν ἂν ἔτι σημαίνοι, ἀλλ' ὡς ἂν εἴ τις θεῖτο ἵππῳ καὶ ἀνθρώπῳ ἓν ὄνομα, ὅτως εἰ ἄνθρωπον καὶ λευκὸν ἑνὶ προσερεῖς, ὐκ ἔςιν ἓν ἑνὶ ὀνόματι. ὅταν τοίνυν ἄνθρωπον τυτὶ καλῶ, ὐδὲν ἄλλο ἢ ζῷον αὐτὸ πεζὸν δίπουν εἶναι δηλῶ. εἰ ἄρα ἀληθεύω λέγων ὅτι τοῦτό ἐςιν ἄνθρωπος, ἀνάγκη τοῦτο ζῷον εἶναι πεζὸν δίπουν· ἀλλ' εἰ ἀνάγκη τοῦτο ζῷον εἶναι πεζὸν δίπουν, ἀδύνατον τοῦτο μὴ εἶναι ζῷον πεζὸν δίπουν· εἰ δὲ ἀδύνατον μὴ εἶναι, ὁ λέγων μὴ εἶναι ψεύσεται· εἰ ἄρα ἀληθὲς εἰπεῖν τοῦτον ἄνθρωπον εἶναι, ψεῦδος εἰπεῖν τοῦτον μὴ εἶναι ἄνθρωπον. ἐφ' ὅ ἄρα ἡ κατάφασις ἀληθεύει, ἐπὶ τούτου ψευδὴς ἡ ἀπόφασις. ταῦτα λέγοντος Ἀριςοτέλους ἐκπλαγείη μὰ ἄν τις καὶ τὴν ἐπιβολὴν τῆς κατασκευῆς καὶ τὴν ὅλην μεταχείρισιν τοῦ λόγου σὺν ἀγχινοίᾳ πολλῇ καὶ δεινότητι γενομένην· ἐπισημήναιτο δ' ἄν τις ὅτι τοῖς μὰ ἄλλοις ἀντειπεῖν

1006a 5.

1006a 11.

1 post παριςῆται exspectes enuntiatum consecutiuum, sed cf. Arist. p. 1008 b12 ὐθὲς ὅτω διάκειται et infra p. 874 b38. ‖ 6 Ar. π. ἑρμ. 14. ‖ 10 fort. καὶ αὐτοὶ. ‖ 11 τὸ ταύτῃ] τὸ ταύτην C. ‖ ᾗπερ] εἴπερ C. ‖ 12 ἡμεῖς] fort. ἤδη. ‖ 16 sq. cf. Alex. p. 228, 30 sq. ‖ 20 ἀγέννητον C. ‖ 21 ἐςι C hiatu ut saepe non euitato. ‖ 25 fort. οἷον ἐὰν. ‖ 30 ἄτοπον] scr. τὸ ἄτοπον. ‖ τὸ ἐνιςάμενον C. ‖ 34 ὑμεῖς C. ‖ 35 εἶναι ὐδὲ πλάσαι δυνατόν. τὰ τῷ αὐτῷ ἴσα μὴ γάρ C. transposui. ‖ 38 fort. τηλικοῦτον τὸ β. ‖ 39 ἴσον τὸ αὐτό· ἄρα C.

1 γίνεται] μετὰ C. ‖ 2 ἅπας] καὶ πᾶς C. ‖ 7 ὅ τι] τὸ ὃ C: quod etsi alibi suspectum non est, hoc loco certam causam habet cur ferri nequeat. ‖ 8 λαμβάνωμεν C. ‖ 9 ἐςὶ τὸ ἐνιςάμενον αὐτὸ C. ‖ fort. περιλαβεῖν, cf. Plat. Soph. p. 235 B. ‖ 12 ὐχὶ τῶν ὐ καθέκαςον sic C. ‖ 13 fort. ὐχὶ (uel ὐκ) ἢ ἓν. ‖ 24 εἴτε ὖν] εἴτε νῦν C. ‖ 27 λευκὸν ἢ μουσικὸν sic C. τὸ μουσικὸν καὶ τὸ λευκὸν Arist. ‖ 29 fort. ὐκ ἔςαι. ‖ ὀνόματι] νέμοντος ἔτι C. ‖ 33 ἀδύνατον τοῦ μὴ C: corr. Brandisius. ‖ 39 μεταχείρησιν C. ‖ 40 ἐπισημαίνοιτο C. cf. b22.

ὐκ ἂν ἔχοι ὁ ἐνιςάμενος τῇ ἀποφάσει, ἅπαξ ὑπομείνας λόγον, ἐκείνῳ δ' ἂν ἴσως καίπερ ὄντι λίαν ἐναργεῖ διαμαχέσαιτο· ὐ γὰρ εἰ ἀνάγκη, φαίη ἄν, τόδε τὸ ζῷον εἶναι πεζὸν δίπυν, ἀδύνατον εὐθὺς μὴ εἶναι· αὐτὸ γὰρ τοῦτό ἐςιν ὃ διατελεῖ λέγων, καὶ τοῦτο εἶναι καὶ τὸ ἀντικείμενον ἕκαςον τῶν πραγμάτων· ὐκοῦν φήσομεν αὐτὸν ἀναιρεῖν τι τῶν κειμένων· ὐκέτι γὰρ ἓν ἑνὸς εἶναι σημαντικόν· ὁ δὲ φαίη ἂν ἓν μὲν ἑνός, ὐ μέντοι παντὸς τοῦ ἑνὸς ἀλλὰ μορίου αὐτοῦ, τοῦ δὲ λοιποῦ τί κωλύει τὸ ἀντικείμενον; καὶ τοῦτο εἰ ἔςηκεν ἡ φύσις τῶν πραγμάτων καὶ ὥριςαι· εἰ δὲ ῥεῖ καὶ μεταπίπτει ἀεὶ ἕκαςον, ὥσπερ οἱ Ἡρακλείτειοι λέγουσιν, ὐδὲν μᾶλλον ὅτως ἢ ὐχ ὅτως ἔχει τὰ πράγματα. πρὸς ὃν εἴποιμεν ἂν ὅτι τοὺς μὲν Ἡρακλειτείους, εἴπερ ὅτω διενοοῦντο, τῷ λόγῳ νῦν ἐκποδὼν ποιησόμεθα· ὅτοι γὰρ ἐπιςήσαντες οἷς λέγουσιν ὐδὲ σημαίνειν τι φήσουσι τὰ ὀνόματα· ὡς γὰρ τὸν παραρρέοντα ἀέρα πιέσαι ταῖς χερσὶν ὐκ ἔςιν, ὅτως ὐδὲ τὴν ἀςάτως μεταπίπτουσαν τῶν πραγμάτων φύσιν ἔςι δηλῶσαι διὰ τῶν ὀνομάτων· διὸ καὶ τὸν Κρατύλον ἱςοροῦσί τινες ἀποχέαντα μὲν ὕςερον τῆς χρήσεως τοῦ λόγου, κατανεύειν δὲ μόνον καὶ ἀνανεύειν. εἰ δ' ὅλως ἔςι τις ὡρισμένη τῶν πραγμάτων ὑπόςασις, ἔςι καὶ ἐφ' ἑκάςῳ παντὶ πάντως μία τε ἔννοια καὶ ὄνομα ἕν· εἰ δὲ καὶ μὴ ἦν, πολλῶν μὲν ὀνομάτων ἐδεήθη ἂν ἕκαςον, ὐ μέντοι τοῦ γε τὴν ἕξιν δηλοῦντος καὶ τὴν ςέρησιν· τοῦτο γάρ ἐςιν ἀδυνατώτατον· ὡς γὰρ παρούσης ἕξεως ἀδύνατον ἔτι τὴν ςέρησιν αὐτῆς ἐνορᾶσθαι τῷ ὑποκειμένῳ, ὅτως ἀμήχανον τὸ αὐτὸ διά τε τοῦ τῆς ςερήσεως καὶ διὰ τοῦ τῆς ἕξεως ὀνόματος δηλοῦσθαι κατὰ ταὐτόν· εἰ δὲ τοῦτο, ὐδ' ἂν διὰ τῆς καταφάσεως ἑρμηνεύοιτο τὸ αὐτό. πάλιν οὖν ἀναλαβόντες τὸν λόγον ὅτω συνθήσομεν· εἰ σημαίνει τι τὸ ὄνομα, ἕν τι σημαίνει, κἂν γὰρ πλείω καὶ ὡρισμένα, ληφθήσεται τὰ ἕκαςον δηλοῦντα. ἀλλ' εἰ ἓν σημαίνει, τὸ εἶναι αὐτοῦ σημαίνει, τῷ δὲ εἶναι αὐτοῦ ὐ δήπου σύνεςιν ἡ ςέρησις αὐτοῦ (ἡ γὰρ ἀπουσία τοῦ εἶναι τὴν ςέρησιν ὑφίςησιν)· ὥςε τοῦτο καταφάσει μὲν ἔςιν ἑρμηνεῦσαι, ἀποφάσει δὲ τῇ ἀντικειμένῃ ἀδύνατον, ἐπειδὴ καὶ ἀδύνατον ἕξιν ἅμα καὶ ςέρησιν τοῦ αὐτοῦ τῷ αὐτῷ παρεῖναι. εἰ γὰρ ἀληθὲς εἰπεῖν τόδε τι καὶ εἶναι ζῷον καὶ μὴ εἶναι ζῷον, ἔχοι ἂν καὶ τὸ εἶδος τοῦ ζῴου τόδε τι καὶ τὴν ςέρησιν τοῦ αὐτοῦ ζῴου· ἀλλὰ μὴν ςέρησιν ἔχειν μὴ ἀπολέσαν τὸ εἶδος ὐ δύναται· ὐδ' ἄρα καταφάσκεται· εἰ γὰρ μηδὲ ἄνθρωπος καὶ λευκὸν κατὰ ταὐτὸν ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο, πῶς ἄνθρωπος καὶ ὐκ ἄνθρωπος κατὰ ταὐτόν; ὅμοιον γὰρ ὡς εἴ τις τὸ εἶδος καὶ τὴν ςέρησιν τοῦ εἴδους ἓν λέγοι. εἰ δὲ κατ' ἄλλο μὲν ἄνθρωπος, κατ' ἄλλο δὲ ὐκ ἄνθρωπος, ὐκ ἀντίφασις τοῦτο, ἐπεὶ καὶ ὁ Σωκράτης ὐσία μὲν ὡς ἄνθρωπος, ὐκ ὐσία δὲ ὡς πατὴρ ἤτοι σιμός. ἆρ' οὖν ἀπέδειξεν αὐτὸς περὶ τοῦ τὴν ἀντίθεσιν μὴ συναληθεύειν; τοῦτο καὶ πρότερον διεμαρτυράμεθα ὅτι τοῦτο ἀποδεῖξαι ἀδύνατον· ἀλλὰ τοῦ Ἀριςοτέλους ἐλεγκτικῶς ἐπιχειρήσαντος ἀποδεῖξαι καὶ τὰ μὲν ἄλλα συγχωρούμενα λαβόντος, ἐκεῖνο δὲ ἀληθῶς μὲν εἰληφότος ὅτι εἰ ἀνάγκη εἶναι, ἀδύνατον μὴ εἶναι, ὐχ ἱκανῶς δὲ πρὸς τὴν τὴν ἀντίφασιν λέγοντα συναληθεύειν, ἡμεῖς ὅτι ὐ δύναταί τις ἐνίςασθαι τούτῳ πεπειράμεθα δεῖξαι, ἵνα μὴ εἰς ταὐτὸν τό τε εἶδος ἀπάγῃ καὶ τοῦ εἴδους τὴν ςέρησιν. τοῦτο δὲ ἀληθὲς μὲν καὶ ἡμεῖς παρελάβομεν ὅτι μὴ δύναται συνεῖναι τῷ εἴδει ἡ ςέρησις· εἰ δὲ τοῦτο, ὐδ' ἂν ὁ ἄνθρωπος ἢ ἄνθρωπος ὐκ ἄνθρωπος εἴη· ὐ μέντοι ἐπίσης ἐναργὲς τῷ τῆς ἀντιφάσεως ἀξιώματι· ὥςε κρατεῖν τὸ τοῦ Θεοφράςου, ὃς ἀγνωμονεςάτους εἶναί φησι καὶ βιαιοτάτους τοὺς ἀναγκάζοντας λόγον ὑπέχειν τούτου τοῦ ἀξιώματος· αὐτὸς γὰρ ὁ τούτῳ ἐνιςάμενος λόγου χρείαν ἀναιρεῖ καὶ ἀποδείξεως. εἰ γὰρ μηδὲν μᾶλλον τόδε ἢ τὸ ἀντικείμενον, τίς ἦν χρεία καὶ λόγου καὶ κατασκευῆς καὶ συμπεράσματος; τίς δὲ ὁ καρπὸς ταύτης πάσης τῆς πραγματείας, ὅταν ὁ πειρώμενος αὐτῷ παρίςασθαι τῶν ἡττόνων αὐτοῦ τι πρὸς ἐνάργειαν εἰς κατασκευὴν αὐτοῦ παραλαμβάνειν ἀναγκάζηται; δείξας δ' οὖν ὁ Ἀριςοτέλης ὅτι τῆς 1006b
34
καταφάσεως ἀληθευούσης τὴν ἀπόφασιν ἀληθεύειν ὐχ οἷόν τε, παραπλησίως, φησίν, ἀποδειχθήσεται καὶ ὅτι τῆς ἀποφάσεως ἀληθευούσης ὐδέποτε ἡ κατάφασις ἀληθεύει· εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι τοῦτο ζῷον ὐκ ἔςιν, ἀδύνατον τοῦτο ζῷον εἶναι· εἰ δ' ἀδύνατον τοῦτο ζῷον εἶναι, ἀνάγκη τοῦτο ζῷον μὴ εἶναι· εἰ δὲ ἀνάγκη τοῦτο ζῷον μὴ εἶναι, ψεύσεται ὁ λέγων αὐτὸ ζῷον εἶναι. εἰ ἄρα ἀληθεύει ἡ ἀπόφασις, ψεύσεται ἡ κατάφασις. ὅτω δὲ μεταχειρισάμενος τὴν ἀπόδειξιν ὁ Ἀριςοτέλης καὶ δῆλον ὅτι δυνάμενος καὶ τὰς ἄλλας δύο ὑποθέσεις ὁμοίως μετελθεῖν (εἰ γὰρ ψεύσεται ἡ κατάφασις, ἀληθεύσει ἡ ἀπόφασις ***), συνεῖδεν ὅτι ποτὲ διὰ πανουργίαν ὁ ἐνιςάμενος τῷ ἀξιώματι τῆς ἀντιφάσεως ὐ δώσει τὸ ἕτερον ἀφωρισμένως ἀληθὲς εἶναι ἢ ψεῦδος, ἵνα μὴ ἀποδειχθῇ θάτερον μόριον τῆς ἀντιφάσεως ἔχον ἀντικειμένως, ἀλλ' ἐρωτώμενος "τοῦτο ζῷόν ἐςιν ἢ ὄ;" ἀποκρινεῖται ὅτι καὶ ζῷον καὶ ὐ ζῷον· "τοῦτο ἄνθρωπός ἐςιν ἢ ὄ;" ὁ δὲ φήσει, καὶ ἄνθρωπος καὶ ὐκ ἄνθρωπος. τοῦτο οὖν ἐροῦμεν πρὸς αὐτόν, φησί, πρῶτον μὲν ὅτι τὰ ζητούμενα προλαμβάνεις. ἔπειτα συγχεῖς τὰ τῆς διαλεκτικῆς καθήκοντα· ἓν γάρ μου προτείναντος, ὐ περὶ αὐτοῦ ποιῇ τὴν ἀπόκρισιν, ἀλλὰ προςίθης ἄλλο τι. εἰ γὰρ καὶ συγχωρήσειέ τις τὸν ἄνθρωπον καὶ μὴ ἄνθρωπον εἶναι (δύναται γὰρ κατά τι τῶν συμβεβηκότων αὐτῷ εἶναι μὴ ἄνθρωπος), ὅμως ἡ ἐρώτησις περὶ ἑνὸς γέγονεν. ὥσπερ οὖν εἰ ἐρομένου μου, εἰ Σωκράτης ἄνθρωπός ἐςι, λέγοις "καὶ ἄν-

5 ὐκοῦν *C.* ‖ 8 μόριον αὐτοῦ *C.* ‖ fort. τὸ ἀντικείμενον εἶναι. ‖ 13 ἐκ ποδῶν *C.* ‖ 17 cf. Arist. met. Γ p. 1010 a12. ‖ 23 ἔτι] conicias ἐςὶ, sed cf. p. 873 b20. ‖ 26 scr. διά τε τῆς ἀποφάσεως καὶ διὰ τῆς καταφάσεως. ‖ 31 ὑφίςῃ ὅτι τοῦτο *C.* ‖ 37 ἄρα καταφάσκεσθαι] immo ἆρ' ἅμα καταφάσκεσθαι καὶ ἀποφάσκεσθαι.

1 τοῦτο mihi suspectum. ‖ 7 τό γε εἶδος *C.* ‖ 13 ἀξιώματος] ὀνόματος *C.* cf. Alex. p. 229, 27. ‖ αὐτός τε γὰρ τούτῳ *C.* ‖ malim ὁ αὐτῷ. ‖ 17 αὐτῷ] cf. p. 871 a1. ‖ 23 εἰ δ'] εἰ *C.* ‖ 29 ἀληθεύει *C.* ‖ hiatum notaui, intercidit quarta hypothesis καὶ εἰ ψεύσεται ἡ ἀπόφασις, ἀληθεύσει ἡ κατάφασις. ‖ 32 ἔχον] ἔχων supra scr. *C.* ‖ 35 ὁ δέ φησι *C.* ‖ 37 fort. τοῖς διαλεκτικοῖς.

θρωπος ϗ σιμὸς ϗ Ἀθηναῖος", εἶπον ἄν σοι "τὸ ἓν ἤρκει τὸ πρῶτον· εἰ δὲ τῶν συμβεβηκότων αὐτῷ βύλει ποιήσασθαι τὴν ἀπαρίθμησιν, ὥρα σοι πάντα διιέναι, τοῦτό τε ποιοῦντι πάντα μᾶλλον ἢ διαλεκτικὴν συνουσίαν ἀποπληροῦν", οὕτω ϗ τὸ οὐκ ἄνθρωπος σοὶ προσιθέντι καιρὸς ἀκούειν ὅτι περιεργοτέρα γέγονεν ἡ ἀπόκρισις ἢ διαλεκτικωτέρα. ἐπὶ τούτοις χρῆται ϗ τοιῷδε ἐπιχειρήματι κατ' αὐτῶν ὁ Ἀριστοτέλης· οὐσίαν ϗ τὸ τί ἐστιν ἐοίκασιν ἀναιρεῖν ἐκ τῶν κατηγορουμένων ὅρων οἱ εἶναι ϗ μὴ εἶναι τὸ αὐτὸ λέγοντες. εἴ περ γὰρ ὅλως δύναταί τι ϗ εἶναι ϗ μὴ εἶναι τὸ αὐτό, ἐπὶ συμβεβηκότων γένοιτ' ἂν τοῦτό ποτε, ἐπὶ δὲ οὐσιῶν ἀμήχανον· τὸ γὰρ ἐνδεχόμενον ὑπάρχειν τινὶ ϗ μὴ ὑπάρχειν συμβέβηκεν αὐτῷ, καίτοι οὐδὲ αὐτὸ ἀντικειμένως· οὐ γὰρ ὅτε ὑπάρχει οὐδ' ὡς ὑπάρχει, τότε ϗ τοῦτον οὐχ ὑπάρχει τὸν τρόπον· ἀλλ' ὅμως ἐπειδή ποτε μὴ ὑπάρχει ποτὲ δὲ οὐχ ὑπάρχει, μᾶλλον ἐπὶ τῆς τῶν συμβεβηκότων κατηγορίας ἔχει χώραν ἡ ἀντίφασις ἢ ἐπὶ τῆς τῶν καθ' αὑτὰ ϗ κατ' οὐσίαν ὑπαρχόντων. εἰ τοίνυν οὐσίαν ἐκ τῶν κατηγορουμένων ἀναιροῦσι, ϗ τὴν ἄμεσον ἀναιροῦσι πρότασιν, ἣν καθόλου καλεῖ ϗ ἐν τούτοις ϗ ἐν τοῖς Ἀποδεικτικοῖς· οὐσίαν δὲ ϗ ἄμεσον πρότασιν ἀναιροῦντες κατὰ συμβεβηκός τε τὰς κατηγορίας ποιοῦσι, ϗ ταύτας ἐπ' ἄπειρον. ἀλλ' ἀδύνατον· διχῶς γὰρ τὰ συμβεβηκότα κατηγορεῖται· ἢ γὰρ οὐσίας συμβεβηκός, ὡς ὅταν λέγωμεν "Σωκράτης μουσικός ἐστιν", ἢ συμβεβηκότος συμβεβηκός, ὡς ὅταν λέγωμεν "τὸ λευκὸν μουσικόν ἐστιν", ὅτι τῷ αὐτῷ παιδαρίῳ συμβέβηκεν ἀμφότερα. τοῦτο μὴ οὖν ἐκποδὼν ἡμῖν ἔστω, ἐπεὶ μηδὲ πρόκειταί τι περὶ τούτου σκοπεῖν. τὸ δὲ ἕτερον οὐχ ἕξει πλείω δυεῖν συμβεβηκότων ἐν τῇ αὐτῇ κατηγορίᾳ· ἐὰν μὴ γὰρ εἴπω "Σωκράτης ἰατρός ἐστιν", ἓν ἑνός· ἐὰν δὲ αὐξῆσαι θελήσω, τὴν πρότασιν ποιῶ "Σωκράτης ἄριστος ἰατρός ἐστιν." ἐπὶ πλέον δὲ ἐκτείνειν οὐκ ἔξιν, οὐ γὰρ ἔτι μένει μία ἡ πρότασις. ἢ τοίνυν ἀντιφάσεως μὴ συναληθευούσης ἄμεσος οὐκ ἔστι πρότασις, ἐπεὶ μηδὲ ὅλως καθ' αὑτὸ ἕτερον ἑτέρῳ ὑπάρξει· ἀμέσου δὲ μὴ οὔσης προτάσεως ἐπ' ἄπειρον αἱ κατηγορίαι τῶν συμβεβηκότων· εἰ γάρ τις λέγοι "Σωκράτης ἰατρός", ἐρωτῶ διὰ τί; ὅτι, λέγει μοι, οὐ τῶν καθ' αὑτό τι ὑπαρχόντων τῷ ἰατρῷ (οὐ γὰρ ἔστι ταῦτα), ἀλλ' ὅτι λευκός, εἰ τύχοι· εἶτα κἀγώ· διὰ τί τοι τοῦτο; εἰς ἄπειρον ἀνάγκη ϗ μὴ ἵστασθαι τὰς κατηγορίας τῶν συμβεβηκότων. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· πλείω γὰρ δυεῖν οὐ πέφυκε κατηγορεῖσθαι τῆς οὐσίας· οὐκ ἄρα συναληθεύσει ποτὲ ἡ ἀντίφασις. τί οὖν κωλύει, φαίη τις ἄν, πλείω μὴ δυοῖν ἐν μιᾷ προτάσει μὴ κατηγορεῖσθαι τῆς οὐσίας συμβεβηκότα, πολλὰ δὲ ϗ ἄπειρα κατὰ πᾶσαν τὴν ἀπόδειξιν; ἢ ὅτι πᾶσα ἀπόδειξις ὁρισμός ἐστι μετατεθειμένου τοῦ μέσου, καθὰ πολλαχοῦ δείκνυσιν Ἀριστοτέλης, ὁ δὲ ὁρισμὸς ἄμεσος πρότασις ἢ ὅλως πρότασις μετὰ τοῦ ὁριστοῦ, ὥστε πάλιν ἐν μιᾷ προτάσει πλείω τῶν δύο κατηγοροῖτο ἂν τῆς οὐσίας συμβεβηκότα. ταῦτα μὴ ἐπὶ τοσοῦτον. δείξας δὲ ὁ Ἀριστοτέλης ὅτι τὰ καθ' αὑτὰ μὴ ὑπάρχοντα ϗ τὰ κατ' οὐσίαν κατηγορούμενα πειρῶνται διαγράφειν οἱ τὴν ἀντίφασιν λέγοντες συναληθεύειν, μόνας δὲ τὰς διὰ τῶν συμβεβηκότων ὁρῶσι κατηγορίας, δείκνυσιν ἐφεξῆς ὅτι τὴν ὕλην ἐοίκασιν οἱ αὐτοὶ οὗτοι περιφανταζεσθαι, ἀλλ' οὐχὶ τὰ εἰδοποιούμενα ϗ ὅρον ϗ βεβαιότητα παρὰ τῆς φύσεως ὑποδεξάμενα, πάνυ δαιμονίως ϗ φιλοσόφως τὸ ἄτοπον αὐτῶν ϗ ἀβέβαιον τῆς δόξης ἀπεγράφθαι πρότερον μὴ τὰς οὐσίας, νυνὶ δὲ τὰ εἴδη διοριζόμενος. ϗ γὰρ τῷ ὄντι μᾶλλον ἡ ὕλη δόξειεν ἂν ἐπιδέχεσθαι τὴν ἀντίφασιν ἢ ἄλλο τι τῶν ὄντων· δυνάμει μὴ γάρ ἐστι πάντα, ἐνεργείᾳ δὲ οὐδέν· ὥστε ϗ ἄνθρωπος ϗ οὐκ ἄνθρωπος, ϗ ἵππος ϗ οὐχ ἵππος, ϗ ἕκαστον ϗ οὐχ ἕκαστον. οὐ μὴν οὐδ' ἡ ὕλη κατά γε τὸ ἀληθέστατον δέχεται τὴν ἀντίφασιν ἅμα· κατ' ἄλλο γάρ ἐστιν ἄνθρωπος, ὅτι πέφυκε, ϗ κατ' ἄλλο οὐκ ἄνθρωπος, ὅτι συμβέβηκεν αὐτῇ πρὸ τῆς τοῦ εἴδους παρουσίας ἡ στέρησις. ἀλλ' ὅμως μᾶλλον ἐπὶ τῆς ὕλης ἢ ἐπὶ ἄλλων τινῶν χώραν ἡ ἀντίφασις ἔχει, ὥσπερ ἐπὶ τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων ἢ τῶν κατ' οὐσίαν ὑπαρχόντων. πῶς οὖν ἐπὶ ταύτην ὑποφέρονται τὴν δόξαν; εἰ μὴ τὸ Πρωταγόρου λέγοιεν "ἅπαν ὅπερ ἂν φαίνηται ὁτῳοῦν, τοῦτο ϗ ἔστιν", αὐτόθεν πάντα ἐροῦσιν ἐν πᾶσιν εἶναι, ϗ τὸ τοῦ Ἀναξαγόρου κρατεῖ παρ' αὐτοῖς "ὁμοῦ πάντα χρήματα"· εἰ γὰρ τὸ αὐτὸ λευκὸν ϗ ὠχρὸν ϗ μέλαν, ἐπειδὴ ἄλλῳ ἀλλοῖον φαίνεται, δέχεται δὲ τὰς ἀποφάσεις τὰς τούτων, τὸ αὐτὸ πάντα ἔσται· τοῦτο δὲ ἡ ὕλη τῶν ὄντων. εἰ δὲ λέγοιεν ὅτι καθ' ὃ μὴ θάτερον μόριον, ϗ θάτερον, οὐ κατὰ πάντα δὲ θάτερον, ἀναγκάζονται ϗ οὕτω πᾶσαν ἀντίφασιν ἑκάστῳ νέμειν. εἰ γὰρ ὁ ἄνθρωπος οὐκ ἄνθρωπός ἐστι, πολλῷ πλέον οὐ τριήρης, οὐ τοῖχος, οὐ σίδηρος· αἱ γὰρ τῶν ἄλλων ἀποφάσεις μᾶλλον αὐτῷ προσήκουσι τῆς αὐτοῦ. ὥστε εἰ τὴν ἑαυτοῦ δέχεται, ϗ τὰς τῶν ἄλλων δέξεται. εἰ δὲ καθ' ὃ αἱ ἀποφάσεις, κατὰ τοῦτο ϗ αἱ καταφάσεις, πάντα τε ἔσται ὁ ἄνθρωπος πασῶν ἐπ' αὐτοῦ τῶν καταφάσεων ἀληθευουσῶν ϗ οὐδὲν διὰ τὸ τὰς ἀποφάσεις ἁρμόζειν αὐτῷ τὰς πάντων· ὥστε πάλιν τὸ τοῦ Ἀναξαγόρου κρατῆσαι "πάντα ὁμοῦ χρήματα", κἀκείνου τοῦτο διὰ τὴν τῆς ὕλης φαντασίαν οὕτως ἀποφθεγξαμένου. ἔτι δέ φησιν ἀναγκάζεσθαι τοὺς αὐτοὺς ἄνδρας

1007a 20. 1007b 18. 1007b 22. 1007b 30. 1008a 2.

2 αὐτῶν *C.* ‖ 3 immo τοῦτο δὲ *π.* ‖ 6 fort. καὶ τῷ τοιῷδε. ‖ 11 fort. ὑπάρχειν τέ τινι. ‖ 12 fort. οὐδὲ τοῦτο. ‖ 18 ἐν τούτοις] p. 1007 a34 ex uolgata lectione. ‖ 19 anal. post. I, 4. ‖ 26 ἕτερον] an πρότερον? ‖ 27 ἐν τῇ κατηγορίᾳ *C.* sed cf. u. 38 sq. ‖ 29 τὴν] fort. τοιαύτην τὴν. ‖ 31 εἰ τοίνυν *C.* alterum membrum dissimile u. 39 οὐκ ἄρα . . . ἀντίφασις. ‖ 34 ἐρωτῶ] ἐρῶ *C.* ‖ 35 ὅτι ... τῶν] fort. ὁ δὲ λέγει μοι, οὐχ ὅτι τῶν —. ‖ 37 εἰς ἄπειρον] fort. ὅτως εἰς ἄπειρον ἰέναι. ‖ ἀνάγκη μοι ἵστασθαι *C.* conieceram olim εἰς ἄπ. ἀνάγκη ποιήσασθαι.

1 ἢ ὅτι] cf. infra p. 876 b37. ‖ 9 ὁρῶσι] exspectes προσίενται uel κυροῦσι. ‖ 13 ἀπέστραπται coni. Brandisius. ‖ 15 ἄλλό τι *C.* ‖ 23 ἢ] fort. ἢ ἐπὶ. ‖ 24 ἐπὶ] ὑπὸ *C.* ‖ distinguebatur — δόξαν εἰ μὲν τὸ . . . . 26 καὶ ἔστιν; αὐτόθεν. ‖ 25 ἅπαν] καὶ πᾶν *C.* cf. p. 871 b2. ‖ 35 τῆς αὐτοῦ *C.* ‖ 37 πάντα τε] πάντα *C.* ‖ 38 αὐτῷ edidit Brandisius: αὐτῶν *C.*

καὶ πρὸς τὸ ἕτερον ἴσασθαι τῶν τῆς ἀντιφάσεως ἀξιωμάτων. εἰ γὰρ ἐφ' ὧν ἡ κατάφασις, ἐπὶ τούτου καὶ ἡ ἀπόφασις, ἀνάγκη λέγειν αὐτοῖς μηδ' ἐπὶ παντὸς θάτερον μόριον τῆς ἀντιφάσεως πεφυκέναι λέγεσθαι· εἰ γὰρ ὁ αὐτὸς ἄνθρωπός ἐστι καὶ οὐκ ἄνθρωπός ἐστι, καὶ αἱ τούτων ἀποφάσεις, εἴτε δύο εἶεν αὗται εἴτε μία· τούτων δὲ ἀποφάσεις, ὡς μία, ὅτε ἄνθρωπός ἐστιν ὅτε οὐκ ἄνθρωπός ἐστιν· ὡς δὲ δύο· ἄνθρωπος οὐκ ἔστιν, οὐκ ἄνθρωπος οὐκ ἔστιν. ὁποτέρως δ' ἂν κρατῇ, ὅτε ὁ ἄνθρωπος ἐπ' αὐτοῦ, ἐπειδὴ ἄνθρωπος οὐκ ἔστιν, ὅτε ὁ οὐκ ἄνθρωπος, ἐπειδὴ οὐκ ἄνθρωπος οὐκ ἔστι. χεδὸν οὖν ἐνταῦθα τὸ Πρωταγόρειον πάθος ὁ λόγος ὑπέμεινεν. κἀκεῖνος γὰρ πᾶσαν δόξαν βεβαίαν εἶναι καὶ ἀληθῆ διαχυρισάμενος οὐδὲν ἧττον πᾶσαν ψευδῆ λέγειν ἀναγκάζει διὰ τοὺς ἀντιφάσκοντας ἀλλήλοις. πάντες δὲ ὅτοι τὸν ὅρον τῶν πραγμάτων καὶ τὴν βεβαιότητα σαλεύειν ἐπιχειρήσαντες ἑαυτοῖς περιετράπησαν. οὐ μὴν οὐδὲ ταῦτ' αὐτοῖς Ἀριστοτέλης ἐπιτρέψει. πειρᾶται δὲ προσαναγκάζειν αὐτοὺς ἢ ὅρον τινὰ καταλιπεῖν ἐν τοῖς πράγμασι καὶ μὴ πάντων ἀταξίαν καὶ ἀοριστίαν καταγινώσκειν, ἢ μηδὲ αὐτοὺς λογικοὺς ἢ ὅλως αἰσθητικοὺς εἶναι νομίζειν. ἐρωτᾷ γὰρ αὐτούς, πότερον ἕκαστον τῶν ὄντων πάσας δέχεται τὰς ἀντιφάσεις ἢ οὔ, ἀλλὰ τάδε μὲν τάδε ἄλλας δὲ ἄλλα; εἰ μὲν γὰρ μὴ ἕκαστον πάσας, ἤδη ἄν τις ὅρος ἐν τοῖς πράγμασι φαίνοιτο· αὐτὸ γὰρ τοῦτο τὸ τάδε μὲν εἶναι ἐν τοῖσδε τάδε δὲ μὴ εἶναι, ἰδιότητός ἐστιν ἀφωρισμένης. καὶ εἰ μὴ πᾶσαι δὲ αἱ καταφάσεις, ἀλλ' αἱ ἀποφάσεις πᾶσαι κατὰ τοῦ αὐτοῦ, εὑρεθείη ἄν τι βέβαιον ἐν αὐτοῖς μὴ ὄν. καίτοι γελοιότατόν ἐστι χερήσει μὲν βεβαιότητα διδόναι, εἴδει δὲ μὴ διδόναι· τοῦτο δὲ συμβαίνει, ἐὰν πᾶσαν μὲν κατάφασιν σὺν τῇ ἀποφάσει λέγωσι παρεῖναι, μὴ πάσῃ δὲ ἀποφάσει συνεῖναι κατάφασιν· πῶς γὰρ οὐκ ἄτοπον τὴν ἀπόφασιν βεβαιοτέραν εἶναι καὶ ἀμικτοτέραν καὶ γνωριμωτέραν τῆς καταφάσεως; ἀλλ' ὅμως διδόασί τι καὶ ὡρίσθαι, εἴτε χέρησις εἴθ' ὅ τι ποτέ. ἂν δὲ κατὰ ταὐτοῦ καὶ τὰς καταφάσεις πάσας ἀληθεύειν λέγωσι καὶ τὰς ἀποφάσεις, ἐρωτητέον αὐτούς, εἰ καθ' αὐτὴν ἑκατέρα λεγομένη ἀληθεύει, οἷον "ἔστι τυτὶ ἄνθρωπος", καὶ πάλιν "οὐκ ἔστι τυτὶ ἄνθρωπος", ἢ καθ' ἑαυτὴν μὲν οὐδετέρα τούτων ἀληθεύει, τὸ συναμφότερον δὲ μόνως ποιεῖ τὴν ἀλήθειαν "ἔστιν ἄνθρωπος, οὐκ ἔστιν ἄνθρωπος"; ὁπότερον γὰρ ἂν ἕλωνται, κἂν κοινῇ τῶν θέσεων ἑκατέραν κἂν ἰδίᾳ, συμβήσεται ἄτοπα. εἴτε γὰρ μὴ ἀληθεύουσιν ἰδίᾳ λεγόμεναι, πρῶτον μὲν οὐδὲν σημαίνουσι· κατάφασις γὰρ μὴ ἀληθεύουσα ἢ ψευδομένη σημαίνει οὐδέν. ἔπειτα οὐδὲ ἔσται τι ἐν τοῖς πράγμασιν, εἴπερ μήτε καταφῆσαι ἔστι περί τινος αὐτῶν ἰδίᾳ μήτε ἀποφῆσαι. εἰ δὲ μὴ ἔστι τι, οὐδ' ἄνθρωπος· εἴπερ γάρ τι τῶν ὄντων, ὁ ἄνθρωπος· ὥστε οὐδὲ τὸ φθεγξόμενον οὐδὲ τὸ βαδίζον ἀνθρώπου μὴ ὄντος. ἔτι δὲ τοῦδε παραδοξότερον τὸ πάλιν ἕκαστον πάντα ἓν ἀναφαίνεσθαι· εἰ γὰρ ταὐτὸν ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, καὶ τοῖχος καὶ οὐ τοῖχος, πάντα ἂν εἴη ἅμα· καὶ οὐδὲν ἄρα ἔσται καὶ πάντα ἕν, εἴπερ ἰδίᾳ μὲν αἱ καταφάσεις μηδὲν σημαίνοιεν μηδ' αἱ ἀποφάσεις, συναφθεῖσαι δὲ ἀλλήλαις μόνως ἀληθεύοιεν. εἰ δὲ καὶ διαιροῖεν αὐτὰς ἀπ' ἀλλήλων καὶ λέγοιεν ἀληθεύειν, καὶ πάντα ἂν εἴη τὸ αὐτὸ διὰ τὰς καταφάσεις καὶ οὐδὲν διὰ τὰς ἀποφάσεις. ὥστε τοῦτο μὲν κοινὸν τῶν δύο ὑποθέσεων· ἴδιον δὲ τῆς μὲν τὸ τὰς καταφάσεις καὶ τὰς ἀποφάσεις διαιρουμένας λέγειν μηδὲν σημαίνειν, τῆς δὲ τὸ πάντας λέγειν ἀληθεύειν καὶ πάντας ψεύδεσθαι· εἰ γὰρ πᾶσα κατάφασις ἀληθὴς καὶ πᾶσα ἀπόφασις ἀληθής, ὁ ὁτιοῦν λέγων ἀληθεύει μὲν δι' ὃ λέγει, ψεύδεται δὲ ὅτι καὶ τὸ ἀντικείμενον αὐτῷ ἀληθές ἐστιν· ὥστε καὶ αὐτὸς ἑαυτὸν ὁμολογεῖ ψεύδεσθαι. εἰ γὰρ λέγοι τόδε εἶναι ἄνθρωπον, ὁμολογοῖ δὲ αὐτὸ εἶναι καὶ μὴ ἄνθρωπον, ὁμολογεῖ καὶ ἑαυτὸν ἐψεῦσθαι, ὅτε τὸν μὴ ἄνθρωπον ἄνθρωπον ἔλεγεν ἀφωρισμένως. καὶ δῆλον εἶναί φησιν ὁ Ἀριστοτέλης ὅτι ὁ τοιοῦτος ἀνεπιτήδειος εἰς λόγων κοινωνίαν. ἑαυτῷ γὰρ παρὰ πόδας ἀντιφάσκει ἀναιρῶν ἃ τίθησι, καὶ πάλιν καὶ τὴν ἀντίφασιν αὐτὴν ἀναιρῶν, ἵνα μηδὲν ὡρισμένον ἀπολίπῃ, ὅτως ἑαυτὸν εἰς τὸ ἀόριστον καὶ σκοτεινὸν καὶ ἄτακτον καὶ ἄγνωστον συνελαύνει. ὅμως ἐρωτᾷ πάλιν αὐτούς· ἆρα ὁ μὲν διακεῖσθαι νομίζων τοιῶσδε τὸ ὑποκείμενον, οἷον τεθερμάνθαι, ψεύδεται, ὁμοίως καὶ ὁ μὴ τεθερμάνθαι, ὁ δὲ τὸ συναμφότερον καὶ οἰόμενος καὶ φθεγγόμενος ὅτος ἀληθεύει; εἰ γὰρ μηδ' ὅτος ἀληθεύει, πῶς ἔτι φασὶ τοιαύτην εἶναι τῶν πραγμάτων τὴν φύσιν ὡς ὅτω τε καὶ μὴ ὅτως ἔχειν; ἀλλ' ἆρα οὐδέτεροι μὲν ἀληθεύουσιν, ἵνα μὴ σὺν τῇ ἀληθείᾳ τὸ ὡρισμένον εἰς τὰ πράγματα παρέλθῃ, μᾶλλον μέντοι ὁ τὸ συναμφότερον λέγων ἢ ὁ τὸ μόριον τῆς ἀντιφάσεως; εἰ γὰρ τοῦτο ἤδη ἀναφαίνοιτο ἐν τοῖς πράγμασιν ἀφωρισμένον, ὁ μὲν ἐγγυτέρω χωρῶν μᾶλλον ἀληθεύειν λέγεται, ὁ δὲ ἀποπεπτωκὼς μάλιστα διεψεῦσθαι. εἰ δὲ τολμῶεν ἅπαντας ὁμοίως μὲν ἀληθεύειν ὁμοίως δὲ ψεύδεσθαι φάσκειν, ἀναιροῦσι λοιπὸν καὶ λόγον καὶ διδασκαλίαν καὶ ἀπόδειξιν· εἰ δὲ καὶ ὅτως ὑπολαμβάνοιεν, ὅτ' ἂν ἄνθρωποι λοιπὸν οὐθ' ὅλως αἰσθητικοὶ φαίνοιντο, τὸν φυτῶν δὲ βίον ἂν διαζῷεν. ἀλλ' ἴσως διακεῖσθαι μὲν ὅτως ἀδύνατον, ὡς αἱ ὁρμαὶ καὶ αἱ πράξεις δεικνύουσι, τρεχόντων γὰρ εἰς Μέγαρα τούτων, εἰ τῆς Μεγαρέων δέοντο βυλῆς, φυλαττομένων δέ τι φρέαρ ἀλλ' οὐχὶ νομιζόντων αὐτὸ καὶ μὴ φρέαρ εἶναι, καὶ ὅλως φαραγ-

1008a 7. 1008a 18. 1008a 22. 1008a 27. 1008a 30. 1008b 2. 1008b 12.

1 ἴσασθαι] cf. ad p. 877 b32. ‖ 3 μηδ' ἐπίπαν? ‖ 6 δὲ ἀπόφασις *C*. ‖ ὡς μὲν μιᾶς *C*. ‖ 8 ἀπ' αὐτοῦ *C*. ‖ 16 πειρᾶται] πειρατέον *C*. ‖ 23 fort. ἐστιν ἀφορισμός. ‖ 25 γελοιότερον ἐστι *C*. ‖ 27 σὺν] non delendum cf. p. 877 b1. ‖ 29 ἀπόφασιν . . . . 30 καταφάσεως] κατάφασιν . . . . ἀποφάσεως *C*. ‖ 30 διδόασί τε καὶ *C*. ‖ 31 δὲ κατ' αὐτοῦ *C*. ‖ 37 ἕλωνται καὶ κοινῇ τῶν αἱρέσεων ἑκατέρα καὶ *C*. ‖ 38 λεγόμενα *C*.

3 βαδίζον] non βαδιόμενον sed βαδίσον Syrianus scripsit. ‖ 4 ταὐτὸ edidit Brandisius. ‖ 6 μηδὲν] μὴ *C*. cf. p. 874 a40. b12. ‖ 14 ὁ ὁτιοῦν] ὁτιοῦν *C*. ‖ 22 ἀπολίπῃ. ὅτως distinguit *C*. ‖ 23 mireris locum Arist. p. 1008 a34—b2 ab interprete praetermissum. ‖ 25 ὁμοίως καὶ] scr. καὶ ὁμοίως. ‖ 30 μέντοι] μὲν *C*. ‖ 32 ἤδη ἀντιφαίνοιτο *C*. ‖ ἐγγυτέρῳ *C*: sic ἐγγυτέρωι cod. Florentinus Dionysii de comp. uerb. 3 p. 16 R. ἐγγυτάτωι Parisinus Σ Demosthenis Mid. § 123. cf. Fleckeiseni ann. phil. 1865 p. 250 sq. ‖ 36 corrige εἰ δὲ καὶ ὡς ὑπολ. cf. infra p. 877 b40. ‖ 39 καὶ πράξεις *C*: αἱ insertum. ‖ γὰρ suspectum. ‖ 40 fort. δέοιντο.

γας, κρημνὺς, πάντα τὰ φθαρτικὰ περιεσαμένων ἀλλ' οὐχὶ νομιζόντων αὐτὰ ᾗ σωστικὰ εἶναι, ὥσπερ αὖ πάλιν ἐπιδιωκόντων τὰ σωστικὰ ἀλλ' οὐχὶ φευγόντων ὡς ᾗ φθορᾶς αἴτια· ὡς δῆλον ἐκ τούτων ἅπασι γίγνεται ὅτι οὐδ' οἱ ἐφεκτικοὶ κληθέντες ὕστερον, οὐδ' οἱ πρὸ Ἀριστοτέλους τούσδε χορηγοῦντες τοὺς λόγους περὶ παντὸς ἐπεῖχον ἢ τὰ ἀντικείμενα ἐδόξαζον, ἀλλὰ περὶ ἐνίων ἀναμφισβητήτως ᾗ ἀδιαάκτως εἶχον, ᾗ μάλιστα περὶ τὸ ἄμεινον ᾗ χεῖρον, ἴσως δὲ οὐ δι' ἐπιστήμην ἀλλὰ διὰ δόξαν ὀρθήν. διὸ ᾗ μᾶλλον ὤφειλον ἑαυτῶν ἐπιμεληθῆναι ὡς οὔπω τὸ τέλειον ἐχόντων· ὡς γὰρ ὁ νοσώδης προσεκτικώτερος εἶναι τοῦ ὑγιαίνοντος ὀφείλει περὶ τὰ ὑγιεινά, εἰ μέλλοι ποτὲ παύσασθαι τῆς παρὰ φύσιν διαθέσεως, οὕτως ὁ μήπω κτησάμενος ἐπιστήμην συντείνειν ἑαυτόν ἐστι δίκαιος πρὸς τὴν κτῆσιν
1008b 31. αὐτῆς, ἵνα γένηταί ποτε ἀληθευτικός. ἐπιχειρεῖ δὲ ᾗ οὕτω πρὸς τοὺς πάντα ψευδῆ λέγοντας εἶναι. ἔστω, φησί, πάντα ψευδῆ, ἆρα ᾗ ὁμοίως πάντα ψευδῆ; ᾗ ὁ τὰ δύο λέγων ἄρτια τῷ τὰ τρία λέγοντι ἄρτια ὁμοίως ψεύδεται, ἢ ὁ τὰ δύο λέγων εἶναι πέντε τῷ τὰ χίλια εἰπόντι παραπλησίως ἐξαμαρτάνει; ἢ ἐπὶ μὲν τοῦ προτέρου ὁ μὲν ἀληθεύει ὁ δὲ ψεύδεται, ἐπὶ δὲ τοῦ δευτέρου ὁ μὲν ὀλίγον ὁ δὲ πολὺ παρορᾷ; ἀλλ' ὅμως ψευδέσθωσαν μὲν πάντες διὰ τὴν ὑπόθεσιν, ἀλλ' ἆρα οὐκ ἂν ἐν μὲν ἧττον ἐν δὲ μᾶλλον ἀπεσφάλθαι λέγοι τις ἂν αὐτοῦ τἀληθοῦς; ᾗ μὴν εἰ τοῦτο συγχωρηθείη, τότ' ἤδη εἴπέν τι ὡς ἀληθές, οὗ ὁ μὲν ἧττον ὁ δὲ μᾶλλον ἀποπέπτωκεν. εἰ δέ τις μηδὲ τοῦτον ἡμῶν ἐν τρόπον κατασκευαζόντων εἶναι τὸ ἀληθὲς ἀνέχοιτο, ἀλλ' ἐκεῖνό γε ἂν κερδάναιμεν ἐκ τοῦ λόγου τὸ μὴ ὁμοίως πάντα πρὸς ἀλήθειαν ἢ πρὸς ψεῦδος ἔχειν ᾧ τὸ μηδὲν ὡρίσθαι παρείπετο. διὸ τῆς ἄγαν ἀκράτου παραφροσύνης ἀπαλλαγέντες ἀμυδρὸν μὲν εἰσδέξασθαι τῶν πραγμάτων ὅρον αὐτοὺς ἠναγκάσαμεν, ὅμως δὲ γέγονέ τι τῶν πρόθυρα ᾗ διὰ ταύτης τῆς ἐρωτήσεως. ταυτὶ δὲ λέγοντος τοῦ Ἀριστοτέλους ᾗ διὰ τοῦ μᾶλλον ἀληθοῦς τὸ εἶναι αὐτὸ τἀληθὲς ἐπιχειροῦντος δεικνύναι, θαυμάζω μὲν τῆς ἀγχινοίας ᾗ τῆς ἀποδεικτικῆς ἐπιστήμης τὸν ἄνδρα, ἠβουλόμην δὲ ᾗ περὶ κύκλου ᾗ ἴσου ᾗ τῶν παραπλησίων τὰς αὐτὰς ἀφιέναι φωνὰς τὸν φιλόσοφον· εἰ γὰρ ὁ ἐν οὐρανῷ κύκλος ᾗ μᾶλλον ἴσον, εἴη ἂν ᾗ αὐτοκύκλος ᾗ τὸ αὐτοῖσον. ἀλλὰ ταῦτα μὲν ᾗ εἰς ἑτέραν ὑπερτεθείσθω σχολήν.

1009a 6. Πάλιν δὲ ὁ Ἀριστοτέλης εἰς ταὐτὸν ἄγει τὴν Πρωταγόρου δόξαν τοῖς τὰ μόρια τῆς ἀντιφάσεως συναληθεύειν λέγουσι. δεῖ δὲ ἐπιστῆσαι, μήποτε τούτοις μὲν ᾗ ἡ Πρωταγόρου δόξα ᾗ πᾶσα παραφορὰ παρέπεται ἅτε σύγχυσιν ἐργαζομένοις τῶν ὅλων, Πρωταγόρᾳ δὲ οὐχ ἕπεται τὸ κατὰ τὴν ἀντίφασιν ἁμάρτημα· εἰ μὲν γὰρ τῷ αὐτῷ ᾗ γλυκὺ τὸ αὐτὸ ᾗ οὐ γλυκὺ ἔλεγεν εἶναι, σαφῶς περιέπιπτε τῷ κατὰ τὴν ἀντίφασιν ἁμαρτήματι· εἰ δὲ τῷδε μὲν μὴ γλυκὺ αὐτό φησιν εἶναι τῷδε δὲ γλυκὺ ᾗ ὅλως τὴν ἀλήθειαν ᾗ τὰ πάντα εἶναι πρός τι, οὐκ ἂν ἴσως τὸ κατὰ τὴν ἀντίφασιν ἀξίωμα συνταράττοι. ἔσωσαν δύο οἱ δοκοῦντες ἀντιφάσκειν ᾗ ὁ μὲν λεγέτω ᾗ νομιζέτω τοῦτ' εἶναι λευκὸν ὁ δὲ μὴ εἶναι λευκόν, ἐπισᾶς αὐτοῖς ὁ Πρωταγόρας ἐρεῖ δηλονότι ταυτὶ μὴ μάχεσθαι πρὸς ἄλληλα, ἑκάτερον γὰρ αὐτῶν ἀληθεύειν, ᾗ εἶναι τούτῳ μὲν λευκὸν τὸ ὑποκείμενον τούτῳ δὲ οὐ λευκόν, ταῦτα δὲ οὐκ ἀντίφασιν εἶναι, ὥσπερ οὐδ' εἰ τὸν ὀκτὼ διπλάσιόν τε ᾗ μὴ διπλάσιον λέγει τις, τῶν μὲν τεσσάρων διπλάσιον ἄλλων δέ τινων οὐ διπλάσιον. ταυτὶ μὲν ἐπὶ τοσοῦτον ἠπορήσθω.

Φησὶ δὲ Ἀριστοτέλης τοὺς ἀντιλέγοντας τῷ τῆς ἀντιφάσεως ἀξιώματι διττοὺς εἶναι, ᾗ τοὺς μὲν ἀγωνιστικωτέρων χρῄζειν ἐλέγχων ὅσοι λόγου χάριν ᾗ τῆς παρὰ τοῖς πολλοῖς εὐδοκιμήσεως προΐσανται ταύτης τῆς θέσεως, πρὸς οὓς ᾗ ἤδη ἀπήντησεν ἱκανῶς, ἑτέρους δὲ διαταραχθέντας ἔκ τινων ἀπορίων ᾗ ὥσπερ παρενεχθέντας τῇ ταραχῇ τῆς διανοίας, οὓς ᾗ ὑφηγητικωτέρων ἀξιώσει λόγων, λύων αὐτῶν τοὺς διανοητικοὺς δεσμοὺς ᾗ ἐπὶ τὰς κατὰ φύσιν ἐννοίας ἀνακαλούμενος. ὅτε δὲ ἰατρὸς ὁ τὴν αἰτίαν τοῦ ἀρρωστήματος ἀγνοῶν ἱκανὸς θεραπεῦσαι τὸν κάμνοντα, οὐθ' ὁ τῆς ψυχῆς κηδεμὼν μὴ διαθρήσας πρότερον τὴν ψυχὴν ᾗ τὰς αἰτίας τῆς ψευδοδοξίας ἐπισκεψάμενος δύναιτ' ἂν ἐπὶ τὸ τέλειον ἡμᾶς ἀναπέμψαι. διά τοι τοῦτο ᾗ ὁ φιλόσοφος τὰς αἰτίας τῶν κατὰ τοῦτο ψευδοδοξούντων διερευνώμενος ἀπὸ τῆς τῶν αἰσθητῶν μεταπτώσεως ᾗ συνεχοῦς μεταβολῆς ᾗ τῆς ἐπὶ τἀναντία τροπῆς φησιν αὐτοὺς διεγράφθαι. ὁρῶντες γὰρ ἐκ τῶν αὐτῶν γιγνόμενα θερμὰ ψυχρά, ὑγρὰ ξηρά, σκληρὰ μαλακά, ᾗ πάσας τὰς ἐναντιώσεις, ᾗ προειληφότες ὅτι ἐκ μὴ ὄντος οὐδὲν ἂν γένοιτο, ὑπέλαβον τὴν ὑποκειμένην φύσιν ᾗ θερμὴν εἶναι ᾗ οὐ θερμήν, ᾗ ὑγρὰν ᾗ οὐχ ὑγράν· ** ἔπεισεν ἐν πάσῃ ὁμοιομερείᾳ πάντα λέγειν εἶναι κατ' ἐνέργειαν, δέον μὴ ὑποτίθεσθαι κατ' ἐνέργειαν ἅμα τἀναντία ἀλλὰ δυνάμει· οἱ δὲ ἐνεργείᾳ αὐτὰ ὑπετίθεντο, πρᾶγμα μηδ' ἐπινοηθῆναι σωφρόνως δυνάμενον. διχῶς τοίνυν λεγομένου τοῦ ὄντος, τοῦ μὲν δυνάμει τοῦ δὲ ἐνεργείᾳ, μοναχῶς αὐτὸ λέγεσθαι ὑπελάμβανον. ᾗ πάλιν τὸ μὴ ὄντος διχῶς λεγομένου (μὴ ὂν γὰρ ᾗ τὸ μηδαμῇ μηδαμῶς ὂν ᾗ τὸ μήπω ὄν, ὃ εἰς ταὐτὸν ἔρχεται τῷ δυνάμει

8 ἴσως δὲ οὐδ' ἐπιστήμην *C*: corr. Brandisius. ‖ 22 ἂν αὐτὸν τἀληθοῦς *C*. ‖ 23 συγχωρηθείη τῷ ἤδη εἰπόντι ὡς *C*. ‖ οὗ] οὐχ *C*. ‖ 25 'Vel τὸ εἶναι ἀληθὲς' adnotauit qui p. 872 b8—878 b10 Brandisio transcripsit, num ex marg. *C*? ‖ 27 ἢ τὸ ψεῦδος *C*. ‖ ἔχειν ᾧ] ἐκείνῳ *C*. ‖ 26 ὅτι μὴ ὁμοίως . . . 27 ἐκείνῳ τῷ μηδὲν coniecerat Brandisius. ‖ 28 ἀπαλλαγέντες] addendum φησίν cl. Arist. ἀπηλλαγμένοι. alioquin ἀπαλλαγέντας coniceres. ‖ 35 fort. καὶ τὸ μᾶλλον. ‖ 36 fort. καὶ ὁ αὐτοκύκλος. ‖ 40 πᾶσα παραφορὰ *C*.

5 τῷδε μὲν γλυκὺ *C*. ‖ 7 post ἔσωσαν fort. γὰρ intercidit. ‖ 19 ὥσπερ ἐνεχθέντας *C*. cf. p. 875 b1. 29. 876 a12. ‖ 23 διαθρήσας] διὰ θήρας *C*. cf. Iacobsius ad Philostr. imag. p. 586. ‖ 30 ὑγρὰ om *C*: 'sensus gratia omnino scribendum est ψυχρά, ὑγρὰ ξηρά' recte adnotauit idem de quo supra ad l. a25 dixi. cf. p. 866 b8. ‖ 34 ἔπεισεν *C*: incerta emendatio. possis [ὥς'] ἐπίσης, possunt plura intercidisse ueluti [τοῦτ' ὂν αὐτοὺς] ἔπεισεν κτέ. ‖ ὁμοιομερεῖ *C*: corr. Brandisius. ‖ 36 οἱ δὲ . . . 37 δυνάμενον suspecta. ‖ ἀπετίθεντο *C*: corr. Brandisius.

ὄντι) κᾳ τὲν πρότερον τρόπον μόνως ὑπελάμβανον ϗ τοῦτο λέγεαζ. φήσομεν οὖν πρὸς αὐτοὺς ὅτι τὲ γιγνόμενον ϗ ἐξ ὄντος γίγνεῃ ϗ ἐκ μὴ ὄντος, ἐξ ὄντος τοῦ δυνάμει, ἐκ μὴ ὄντος τοῦ μήπω ὄντος· ἄνθρωπος γὰρ ϗ ἐξ ἀνθρώπου τοῦ δυνάμει ϗ ἐξ οὐκ ἀνθρώπου· τοιοῦτον γὰρ τὲ σπέρμα ϗ πολὺ πρὸ αὐτοῦ ἡ ὕλη. τὲ αὐτὲ οὖν ϗ ἄνθρωπος ϗ οὐκ ἄνθρωπος, ἀλλ' οὐχὶ τὰ ἐνεργείᾳ ἤδη ὄντα, ἀλλὰ τὰ δυνάμει, ϗ ταῦτα ἐπὶ τῶν ἐν γενέσει.
1009a 36. δεῖ δὲ ἐννοεῖν ϗ τὰ θειότατα τῶν ὄντων ϗ νοητὰ ϗ ἀκίνητα, ὅπου ϗ τὲ δυνάμει πᾶν διαγέγραπῃ. καθαραὶ γὰρ ἐνέργειαι τάκεῖ, ἐφ' ὧν οὐδ' ἄχρις ἐμφάσεως ταὐτὲν ϗ ἔςι ϗ οὐκ ἔςι· πέρατα γὰρ πάντα ϗ ὅροι, ϗ τὲ ἀόριςον ἐκεῖθεν ἐξελήλαῃ. δείξας δὲ ὁ φιλόσοφος ἐκ τῶν ἐν γενέσει πραγμάτων διαςραφέντας τοὺς τὴν ἀντίφασιν οἰηθέντας συναληθεύειν τῷ μὴ τὲ δυνάμει τοῦ ἐνεργείᾳ διαςῆσαι, ϗ τοὺς ἀμφὶ τὲν Πρωταγόραν ἐκ τῶν αἰσθητῶν φησιν ἄλλοτε ἀλλοίων φαινομένων ταύτην ἔχειν τὴν ὑπόληψιν, ὡς ἄρα τὲ φαινόμενον ἑκάςῳ τοῦτο ϗ ἔςιν· ὅτε γὰρ πλήθει ϗ ὀλιγότητι τῶν ἀποφαινομένων ἔδει κρίνεαζ τὰ πράγματα, ὅτε ἄλλη τις αὐτῶν ἐπενοεῖτο διάκρισις. σαφῶς τε τὰ αὐτὰ γλυκέα μὲ ἡμῖν τοῖς ὑγιαίνουσι φαίνονῃ, πικρὰ δὲ τοῖς νοσοῦσι, ϗ πικρὰ μὲ ἡμῖν, ἄλλοις δὲ ζῴοις γλυκέα, ὡς ὁ θαλὸς τῆς
1009b 11. ἐλαίας. ὅθεν ϗ ὁ Δημόκριτος ἀπεφαίνετο μηδὲν εἶναι ἀληθὲς ἢ ἡμῖν ἄγνωςον, Ἐμπεδοκλῆς τε ϗ Παρμενίδης εἰς ταὐτὲν ἦγον τῷ φαινομένῳ τὲ ἀληθές· Ἀναξαγόρου τε λόγον ἀπομνημονεύει τοιαῦτα ἡμῖν ἔσεαζ τὰ πράγματα διωχυριζόμενον ὁποῖοί ποτ' ἂν ὦμεν αὐτοί· ϗ Ὅμηρον δὲ φῆσαι τὲν παραφρονοῦντα Ἕκτορα ὁμοίως ἔχειν φρόνησιν εἰ ϗ ἄλλην, ἀλλὰ μὴ τὴν τοῦ ὑγιαίνοντος· "κεῖτο γὰρ ἀλλοφρονέων". ταῦτα δὲ ὅτι μὲ οἱ παλαιοὶ οὐχ ὕτως εἶπον ὡς νῦν ὁ Ἀριςοτέλης ἐκλαμβάνει, πρόδηλον.
1009b 33. αὐτὲς δὲ ὡς τούτων ὕτω διακειμένων οἱ δοκοῦσιν ἡγεμόνες εἶναι τῆς παρ' Ἕλλησι φιλοσοφίας, εἰκότως ἀθυμεῖν φησι τοὺς ἐπὶ ἄγραν τἀληθοῦς ἰόντας, μήποτε τὰ ἀκίνητα διώκουσι. πρὸς οὖν
1010a 1. πάντας αὐτοὺς ὕτως ἀπαντᾷ· πρῶτον μὲ τὰ ὄντα οὐκ ἔςι μόνα τὰ αἰσθητά, ἐν γὰρ τούτοις πολὺ τὲ ἐκ τῆς ὕλης ἀόριςον ϗ τὲ δυνάμει ϗ ἡ τῶν ἀντικειμένων φαντασία, ὡς ϗ τὲν Κρατύλον δοκεῖν τι λέγειν ἐγκαλοῦντα τῷ διδασκάλῳ ὅτι δίς ἔφη μὴ δύναζ ἡμᾶς εἰς τὲν αὐτὲν ἐμπεσεῖν ποταμόν· οὐ γὰρ οὐδὲ ἅπαξ
1010a 15. δυνατὲν εἶναι. ἔπειτα δὲ ὅτι ϗ ἐν αὐτοῖς τοῖς αἰσθητοῖς τὲ μέν τι μεταβάλλει τὲ δὲ μένει· μεταβάλλει μὲ γὰρ ποσότης ϗ τἆλλα πάθη, μένει δὲ τὲ εἶδος τὲ Σωκράτους ἐκ γενετῆς ἄχρι θανάτου· καίτοι οὐδὲ τὲ μεταβάλλον αὐτοῦ πάντῃ οὐ μένει· οὐ γὰρ μεταβέβληκεν ἀλλὰ μεταβάλλει· σαφῶς δὲ τὲ εἶδος ὑπομένει, ὥςε μηκέτι χώραν ἔχειν ἐπ' αὐτοῦ τὲ Σωκράτης ϗ οὐ Σωκράτης. ϗ ταῦτα μὲ περὶ τῶν ἐνύλων. ἔδει δὲ ϗ εἰς τὲν οὐρανὸν
1010a 25. ἀναβλέψαι πλήρη ὄντα θείων ϗ ἀπαθῶν οὐσιῶν, ϗ ὅτε αὐτὲν εἰσδεχόμενόν τι ἀόριςον ἀπὸ τῆς γενέσεως, ὅτε τὰ τῇδε πάντῃ πέρατος ϗ συνοχῆς ἔρημα καταλιμπάνοντα· ἔδει δὲ ϗ τῶν νοητῶν ϗ ἀκινήτων αἰτίων εἰς ἔννοιαν ἐλθεῖν, ἐξ ὧν ἁπάντων δυνατὲν ἦν συλλογίσαζ ὅτι οὐ πᾶν ὕτω τε ϗ οὐχ ὕτως ἔχει, ἀλλὰ τὰ μὲ νοητὰ ϗ τὰ οὐράνια ἔςηκεν, ἕνα ὅρον ϗ μίαν ἀεὶ τάξιν διαφυλάττοντα, τὰ δὲ ἐν γενέσει μικρὰ ὄντα ϗ τῷ ὄγκῳ ϗ τῇ ἀξίᾳ ὡς πρὸς τὲν ὅλον οὐρανὸν ἐνεργείᾳ μὲ οὐ δέχεταί ποτε τὰ ἐναντία, δυνάμει δὲ διὰ τὴν ὕλην. ἐπεὶ εἰ ἐνεργείᾳ ἦν ἐν τοῖς γενητοῖς τὰ ἀντικείμενα, οὐδ' ἂν κίνησις ὤφθη ἐν αὐτοῖς οὐδέ τις τρόπος μεταβολῆς· νυνὶ γὰρ τὲ λευκὸν γέγονέ τε ἐξ οὐ λευκοῦ ϗ μεταβάλλει εἰς μὴ λευκόν. εἰ δὲ κᾳ ταὐτὲν ϗ λευκόν ἐςι ϗ οὐ λευκόν, ϗ ἀγένητόν ἐςι ϗ ἄφθαρτον ϗ πάντῃ ἀμετάβλητον· εἰς ὃ γὰρ μεταβαλεῖ, οὐκ ἔχει· ὥςε συμβαίνει πάντα ἰςάνειν τοὺς ἐνεργείᾳ τὰ ἀντικείμενα φάσκοντας ἐν τοῖς γενητοῖς εἶναι. μεταβολῆς δὲ ἀναιρουμένης οὐδ' ἂν γένεσις οὐδ' ἂν γενητόν τι εἴη· πάντα γὰρ ὑπάρχει πᾶσι. ϗ Πρω-
1010b 1. ταγόραν δὲ διελέγχει πᾶν τὲ φαινόμενον ἀληθὲς εἶναι διϊχυριζόμενον ὡς δύο ψευδεῖς προτάσεις παραλαμβάνοντα· "πᾶσα φαντασία αἴσθησις, πᾶσα αἴσθησις ἀληθής"· δῆλον συμπέρασμα· ἔςι δὲ ἡ μὲ ἐλάττων ὅλη ψευδής, ἡ δὲ μείζων ἐπί τι ψευδής· τῶν γὰρ ἰδίων ἑκάςη γίγνεῃ μᾶλλον ἀκριβής, ὅταν τὲ μεταξὺ μὴ κωλύῃ. ἔτι δὲ καταγελάςους φησὶν εἶναι τοὺς ἀποροῦντας
1010b 3. πότερον οἱ ἐγγὺς ὄντες τῶν αἰσθητῶν ϗ οἱ ὑγιαίνοντες ϗ ἐρρωμενέςεροι ϗ ἐγρηγορότες ἄμεινον αὐτὰ κρίνουσιν, ἢ οἱ πόρρω ϗ νοσοῦντες ϗ ἀλεγεῖς ϗ καθεύδοντες· ὅτε γὰρ ὕτω διάκειῃ (δηλοῦσι δὲ αὐτῶν αἱ πράξεις), ϗ τὰς ἀρχὰς τῆς γνώσεως, ἃς εἰλήφαμεν παρὰ τῆς φύσεως, αἰσθήσεις τε ϗ κοινὰς ἐννοίας ἀποδεικνύναι ἡμᾶς ἀναγκάζουσι, περὶ ἃς κρεῖττον ἁπάσης ἀποδείξεως διακείμεθα. ἔςαι οὖν ἡ μὲ τοῦ τεχνίτου δόξα περί τε
1010b 11. τῶν ἐνεςώτων ϗ τῶν μελλόντων κυριωτέρα τῆς τῶν ἰδιωτῶν, κἂν πολλαπλασίους ὦτοι τύχωσιν ὄντες· ἡ δὲ τῆς ὄψεως κρίσις ἐπὶ χρωμάτων τῆς γεύσεως, ὥσπερ ἡ γεῦσις ἐπὶ χυμῶν κρατεῖ τῆς ὄψεως, ϗ ὕτως ἐφ' ἑκάςων τὲ οἰκεῖον κριτήριον οὐδέποτέ φησι τὲ κρινόμενον ὕτως ἔχειν ϗ οὐχ ὕτω. τί οὖν; τὲν αὐτὲν
1010b 21. οἶνον οὐ νῦν μὲ γλυκὺν νυνὶ δὲ πικρὸν ἡ γεῦσις ἀποφαίνεῃ; ἢ πρῶτον μὲ ἐν ἄλλῳ ϗ ἄλλῳ χρόνῳ (τοῦτο δὲ οὐκ ἀντίφασις), ἔπειτα δὲ οὐδὲ οἶνος ἐςὶ κριτικὴ καθ' αὐτὲ ἀλλὰ γλυκύτητος, ἢ οὐκέτι προσπίπτει ἤτοι τοῦ οἴνου μεταβάλλοντος ἢ χυμοῦ τινος περὶ τὴν γλῶτταν συμπλεκομένου αὐτῇ ϗ διαφθείροντος αὐτήν, ἐπεὶ ἔςτ' ἂν γλυκύτης διαμένουσα προσβάλλῃ τῇ γλώττῃ,

7 ταῦτα περὶ τῶν *C*. ‖ 20 θαλὸς *C*. ‖ 21 ἀληθὲς ἡμῖν *C*: ἢ addidit Brandisius. ‖ 24 ὁποῖοι . . . αὐτοί] errat Syrianus, qui sic debebat scribere ὁποῖά ποτ' ἂν ὑπολάβωμεν αὐτοί. nunc Anaxagorae dat, quod dandum erat Parmenidi. ‖ 25 φῆσαι] φησιν *C*. ‖ 26 fort. del. ἀλλὰ. olim coniciebam Ὅμ. δέ φησι . . . . φρόνησιν εἰπεῖν, ἀλλὰ μὴ —. ‖ 27 haec uerba frustra in Homero quaesiueris. cf. Bonitzius ad met. p. 202. R. Wachsmuthius de Aristotelis studiis Homericis p. 12sq. ‖ 32 fort. μὲν ὅτι ὄντα cf. u. 37. ‖ 36 οὐδὲ γὰρ οὐδὲ *C*. ‖ 37 fort. ἔπειτα διότι.

4 καταλιμπάνοντας. Δεῖ *C*. ‖ 6 ὕτω γε καὶ *C*. ‖ 23 ἀκριβής] ἐγκρατής *C*: an κριτής? ‖ 28 καὶ] αἷ coni. Brandisius. sed distinctio mutanda erat. ‖ 39 immo καθ' αὑτήν.

1010b 26. τὴν αὐτὴν ἡ γεῦσις ἐκφέρει κρίσιν περὶ αὐτῆς. ὅλως δὲ οἱ τὰς θέσεις ταύτας εἰσηγούμενοι λόγοι τὰς μὴ οὐσίας ἐκ τῶν πραγμάτων ἀναιρεῖν ἐπιχειροῦσι, τὰς δὲ ἀναγκαίας προτάσεις ἐκ τῶν ἀποδείξεων· οὔτε γὰρ ἐπὶ τῶν κατ' οὐσίαν ὑπαρχόντων οὔτε ἐπὶ τῶν ἀναγκαίων προτάσεων χώραν ἔχει τὸ οὕτω τε καὶ
1010b 30. οὐχ οὕτω. πρὸς τούτοις δείκνυσιν ὅτι οἱ πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι λέγοντες συναπογεννῶσι τὰ αἰσθητὰ τοῖς αἰσθήσεσιν. ἀναιρουμένων οὖν ζῴων καὶ αἰσθήσεων οὐδὲ τὰ αἰσθητὰ ἔσται, ὥστε οὐδὲ ἔσται πάντα κατ' αὐτοὺς αἰσθητά. καίτοι τὰ κινητικὰ τῶν κινητῶν ἔδει πρότερα εἶναι· νῦν δὲ τὰ αἰσθητὰ καὶ συναπογεννᾶ τοῖς αἰσθήσεσι καὶ συνδιαφθείρει.

1011a 3. Ὅταν δὲ κρατούμενοι τούτοις τοῖς λόγοις ἐρωτῶσι, τίς οὖν ἔσται ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ μή, τὸν φρόνιμον καὶ μή, εἰ μὴ τῶν ἀπορούντων εἶεν, ἐροῦμεν πρὸς αὐτοὺς ὅτι τῶν μὴ κατὰ φύσιν κριτικοί ἐσμεν ὡς γευσικοὶ τῶν γλυκέων, τῶν δὲ τὴν κρίσιν τοῖς ἐπιστήμοσι καταλείψομεν, οὓς ἐκ τῶν ἔργων ἔγνωμεν ἐπιστήμονας ὄντας, ἔχομεν δὲ καὶ κοινὰς ἐννοίας δι' ὧν πολλὰ δυνάμεθα συνορᾶν, καὶ ὁ χρὴ τὰς ἀρχὰς τῆς γνώσεως ἀποδεικτὰς ποιεῖν· εἰ δὲ τῶν ἐριστικωτέρων, τἀληθῆ καὶ πρὸς τούτους δικαιολογησόμεθα· φήσομεν γὰρ αὐτοὺς ἀδύνατα παρ' ἡμῶν ἐπιζητεῖν· ἃ γὰρ ἐμέλλομεν αὐτοὺς δρᾶν εἰς ἀντίφασιν περιστάντες, ταῦτα προλαμβάνοντες αὐτοὶ κατεδέξαντο. καθάπερ οὖν τοὺς ἑαυτοὺς κατακρημνίζοντας ἢ ἄλλως πως ἀποκτιννύντας οὐκ ἔστιν οὐκέτι διὰ κολάσεως ἐπανορθώσασθαι, τὸν αὐτὸν τρόπον οὐδὲ τοὺς λέγοντας ἐν ἀρχῇ τὰ τῶν παραλογωτάτων ἐμφρονέστατα δυνατὸν περιτρέψαι· φθάσαντες γὰρ ἃ ἔμελλεν αὐτοῖς ὁ ἔλεγχος εἰς θεραπείαν προσφέρειν, ἐπὶ τὸ ἀνίατοι γενέσθαι προσίκοντο, καὶ τοῦτο τῆς πολυαράτου σοφίας ἀπολελαύκασι τὸ δυνατώτεροι γενέσθαι τῶν ἐπιχειρούντων αὐτοὺς ἰάσασθαι. πλὴν τά γε ἐγχωροῦντα λέγεσθαι πρὸς αὐτοὺς τοιαῦτά ἐστιν· εἰ πᾶν τὸ φαινόμενον ἀληθές ἐστι, πρός τί ἐστι τὰ πάντα, ἵνα τόδε μὲν ἀληθὲς καὶ τότε καὶ διὰ τῆσδε τῆς αἰσθήσεως τοιῶσδε ἐνεργοῦντι· εἰ δὲ μή, οὐδὲν μᾶλλον ἀληθὲς ἢ ψεῦδος εὑρεθήσεται. εἰ τοίνυν πάντα τὰ φαινόμενα ἀληθῆ, πάντα τὰ φαινόμενα πρός τι, καὶ εἰ μὴ πάντα πρός τι. ἀλλ' ἔστι τι καὶ ἀληθὲς καθ' αὑτὸ καὶ ὡρισμένην ἔχον φύσιν, οὐ πᾶν τὸ φαινόμενον ἀληθές· τὸ γὰρ αὐτὸ τῷδε μὲν λευκὸν τῷδε δὲ οὐ λευκὸν φαίνεται· εἰ μὲν οὖν ἑκάτερος αὐτῶν ἀληθεύσει, πρός τι ἂν εἴη τὰ πράγματα. δῆλον γὰρ ὅτι οὐχ ἁπλῶς ἐστι λευκὸν τὸ ὑποκείμενον, ἀλλὰ τῷδε μὲν λευκὸν τῷδε δὲ οὐ λευκόν· εἰ δὲ ὡρισμένην ἔχει φύσιν τινὰ καὶ εἴη καθ' αὑτὸ λευκὸν ἢ μὴ λευκόν, δῆλον ὅτι ὁ ἕτερος διέψευσται. ἀληθὴς οὖν ὁ λόγος ὁ συνημμένος· εἰ γὰρ πᾶν τὸ φαινόμενον ἀληθές, πάντα πρός τι· ἀλλὰ μὴν οὐ πάντα πρός τι, ὡς ἐπιδείξω, οὐκ ἄρα πᾶν τὸ φαι-
1011b 4. νόμενον ἀληθές. ὅτι δὲ μὴ πάντα πρός τι, δείκνυσιν οὕτως· εἰ τὰ δοξαστὰ αὐτὰ πάρεστι κατὰ τὸ ὑποκείμενον σὺν τῇ δόξῃ, οὔτ' ἂν ἀπροσδόκητόν τι προσπέσοι, οὔτ' ἂν δοξασθὲν ἀτελεύτητον μένοι. ἀλλὰ μὴν ἑκάτερον ἐναργές· τά τε γὰρ δοκηθέντα οὐκ ἐτελέσθη καὶ τῶν ἀδοκήτων πόρος εὑρέθη· οὐκ ἄρα συναποτίκτει τῇ δόξῃ τὸ δοξαστόν· εἰ τοῦτο, οὐ πάντα πρός τι. ἔτι εἰ πάντα πρός τι, οὐκ ἔσται ὁ ἄνθρωπος καὶ δοξάζων καὶ δοξαζόμενον· τὸ γὰρ πρός τι ἑτέρου ἐστίν. εἰ δὲ ὂν αὐτό ἐστι δοξαζομένῳ εἶναι καὶ ἀνθρώπῳ εἶναι (τοῦτο γὰρ ἔχει ἡ ὑπόθεσις καὶ δοξάζοντι καὶ ἀνθρώπῳ εἶναι), οὐ πρὸς ἕτερον ῥηθήσεται· ὃ καὶ τῆς ὑποθέσεώς ἐστιν ἀνατρεπτικώτατον καὶ τῇ ἀληθείᾳ μαχόμενον. ἔτι τῶν πρός τι ὃ ἂν λάβῃς, πρὸς ἓν εὑρήσεις λεγόμενον ἢ πάντως γε πρὸς ὡρισμένα· τὸ δὲ δοξάζον πρὸς τὸ δοξαζόμενον εἰ λέγοιτο, πρὸς ἄπειρα ῥηθήσεται· δοξάζει γὰρ ἵππος κύων ἔλαφος καὶ πᾶν φυτόν. εἰ μὴ οὖν ἄλλο ἦν ἑκάστῳ τὸ εἶναι, πάθημα δὲ κοινὸν αὐτῶν τὸ δοξάζεσθαι, πρὸς ἓν ἐλέγετο τὸ δοξάζον· πρὸς γὰρ τὸ κοινὸν πάθημα τῶν ζῴων καὶ τῶν φυτῶν. εἰ δὲ ταὐτὸν ἑκάστῳ αὐτῶν τό τε εἶναι καὶ τὸ δοξάζεσθαι, εἴγε συναποτίκτει τῇ δόξῃ τὸ εἶδος αὐτῶν, εἴη ἂν πρὸς ἀόριστα λεγόμενον τὸ δοξάζον· οὐκ ἄρ' ἅπαντα πρός τι, οὔτε πᾶν τὸ φαινόμενον ἀληθές.

Τοσαῦτα πρὸς τὰς θέσεις εἰπὼν ταύτας ὁ φιλόσοφος οὐ τὰ περὶ τῆς ἀντιφάσεως μόνα βεβαιοῖ ἀλλὰ καὶ περὶ ἄλλων ἀξιωμάτων διαλέγεται, οἷον ὅτι τἀναντία τῷ αὐτῷ παρεῖναι κατὰ 1011b 15. ταὐτὸν καὶ ὡσαύτως ἀδύνατον, καὶ ὅτι μεταξὺ ἀντιφάσεως οὐδέν· 1011b 23. εἰ γὰρ ἔστι τί, ἀληθεύσει πάντως ἢ ψεύσεται· παντὶ γὰρ ἀποφαντικῷ λόγῳ τοῦτο ὑπάρχει· ἀλλ' οὐδὲν ἄλλο πέφυκεν ἀληθεύειν ἢ ψεύδεσθαι πλὴν φάσεως καὶ ἀποφάσεως· οὐκ ἄρα ἔστι τί. πῶς δὲ αὖται μόναι ἀληθεύουσι; πᾶς ὁ ἀληθεύων ἢ τὸ ὂν εἶναί φησιν ἢ τὸ μὴ ὂν μὴ εἶναι· ἔστι δὲ τοῦ μὲν πρότερον ἀπόφασις ψευδής, τοῦ δὲ δευτέρου κατάφασις ψευδής· οὐδὲν ἄρα μεταξὺ καταφάσεως καὶ ἀποφάσεως, οὐθ' ὡς τὸ φαιὸν λευκοῦ καὶ μέλανος εἶναι λέγεται μεταξύ, οὐθ' ὡς ἵππου καὶ ἀνθρώπου τὸ μηδέτερον ὄν. ὁμοίως δέ φησι χρῆναι καὶ πρὸς τὰς ἄλλας ἴσασθαι θέσεις· μο- 1012a 29. ναχῶς γὰρ κατὰ πάντων οὐδὲν πέφυκε τῶν ὄντων λέγεσθαι· οὔτε ἄρα πάντα ἀληθῆ οὔτε πάντα ψευδῆ, εἶθ' Ἡράκλειτος καὶ Ἀναξαγόρας προεῖσαντο τῶν λόγων εἶτ' ἄλλοι τινές· πρὸς γὰρ τῇ ἄλλῃ 1012b 13. τερατολογίᾳ καὶ ἑαυτοὺς ἀνατρέπουσιν οἱ τοιοῦτοι τῶν λόγων. εἰ γὰρ πάντα ἀληθῆ, καὶ ἃ φάσκονταί σε ψεύδεσθαι πάντως ἀληθῆ. καὶ εἰ πάντα ψευδῆ, καὶ τὸ σὸν δὴ τοῦτο δόγμα ψεύδεται. εἰ δὲ 1012b 18. πάντες μὲν ἀληθεύουσι παρὰ τὸν ἀντιλέγοντα τῷ θαυμαστῷ τούτῳ λόγῳ, πάντες δὲ ψεύδονται πλὴν αὐτοῦ, πολλοὶ καὶ ὡς ἔοικεν κατὰ μὲν τὸν εἰπόντα πάντα ἀληθῆ οἱ ψευδόμενοι· οὐ γὰρ μόνος ὁ ἀντιλέγων αὐτῷ, ἀλλὰ καὶ ὁ τοῦτον ἀποδεχόμενος καὶ ὁ τὸν ἀποδεχόμενον ἐπαινῶν, καὶ τοῦτο εἰς ἄπειρον· ὥστε πολλοὶ ψεύδονται. κατὰ δὲ τὸν εἰπόντα πάντα ψευδῆ πάλιν οἱ ἀληθεύοντες πολλοί·

5 προτάσεων] πρώτων *C*. ‖ 9 fort. ἔσται τὰ πάντα. ‖ deest ἢ uel εἰ ante αἰσθητά. ‖ 27 ἐπὶ τῷ ἀνίατοι γενέσθαι προσήκαντο *C*.

1 πάρεστι] ἅπερ ἐστὶ *C*. cf. p. 874 a27. ‖ 2 προσπέσῃ . . . μένει *C*. ‖ 10 ἀνατρεπτικώτερον *C*. ‖ 11 ὃ ἂν] ὃ ἐὰν *C*: corr. Brandisius. ‖ 18 οὐκ ἄρ'] οὐ γὰρ *C*. ‖ 28 τὸ μὲν πρότερον . . . 29 τὸ δὲ δεύτερον *C*. ‖ 32 conicias ἐνίσασθαι sed cf. p. 874 a1. 879 a26. 880 b17. ‖ 33 οὔτε ἄρα] οὔτε γὰρ *C*. ‖ 37 φάσκονται] fort. ἔφασκον. ‖ 40 ψεύδονται *C*. ‖ καὶ οὕτως ἔοικεν coni. Brandisius.

αὐτός τε γὼ ὗτος ϗ οἱ τούτου θιασῶϑ ϗ οἱ τῶν ἐπαινετῶν
10126 ἐπαινέϑ, ϗ χορὸς οὐκ ὀλίγος ἕψεϑ τῶν ἀληθευσόντων. ἀλλ'
22. οὐδ' εἴ τις πάντα κινεῖϑζ ἢ πάντα ἠρεμεῖν φήσει, ἐφησόμεθα,
οὐδ' εἴ τις τὰ πάντα νῦν μὲ ἠρεμεῖν νῦν δὲ κινεῖϑζ λέγοι. ϗ
γὼ ἐρῶμεν πρὸς αὐτὸν ὅτι ἕνα λόγον κᾳ' πάντων εἰπεῖν τῶν
ὄντων ἀληθῶς οὐχ οἷόν τε. τούτων ὧν τὰ μὲ ἀκίνητα φήσομεν
εἶναι, ὡς τὰ νοητὰ αἴτια ϗ τοῦς πόλους ϗ εἴ τι τοιοῦτον, τὰ δὲ
ἀεικίνητα, ὡς τὰ κατ' οὐρανόν, τὰ δὲ ποτὲ μὲ κινεῖϑζ ποτὲ δὲ
ἠρεμεῖν, ὡς τὰ ἐν γενέσει.

Τοσαῦτα κᾳ' ταύτην διαλεχθεὶς τὴν βίβλον ὁ Ἀριςοτέλης
καταπαύει τὴν περὶ τούτων διδασκαλίαν, διδάξας μὲ περὶ ἃ
ςρέφεϑ ὁ πρῶτος φιλόσοφος, παραςὰς δὲ ϗ τοῖς περὶ τῆς
ἀντιφάσεως ἀξιώμασιν, ἔτι δὲ ἄλλας ἀρχὰς διαλεκτικάς τε
ἅμα ϗ φυσικὰς ὡς οἷόν τε ἦν συγκροτήσας, ϗ ἐπὶ πᾶσιν
ἐκεῖνο παρεγγυησάμενος, μηδένα λόγον ἔν τι τοῖς ὖσι πᾶσιν
ἀποκληροῦντα προσίεϑζ πλὴν εἰ μὴ ὁμωνύμως λέγοι· "πάντα
ἐφίεϑ τἀγαθοῦ" οὐ δεῖ συγχωρεῖν, ὁμώνυμον γὼ τὸ τῆς ἐφέ-
σεως· "πάντα τὰ ὄντα ἔςι" δεῖ συγχωρεῖν· τοῦτο γὼ ταὐτὸν
τοῖς πᾶσι τὸ εἶναι. συνώνυμον δὲ κατηγορίαν ἐπὶ πάντων ὑδε-
μίαν προΐεϑζ δεῖ, πολυειδῶν ὄντων οὕτω τῶν τε ἐγκοσμίων ϗ
τῶν ὑπερκοσμίων.

ΣΥΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΞΕΝΟΥ

ΕΠΙΣΚΕΨΕΙΣ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΠΟΡΙΩΝ ΠΡΟΣ ΤΑ ΜΑΘΗΜΑΤΑ ΚΑΙ ΤΟΥΣ ΑΡΙΘΜΟΥΣ ΤΩΝ ΕΝ ΤΩΙ Μ ΚΑΙ Ν ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΠΡΑΓΜΑΤΕΙΑΣ.

Οὔκ εἰμι τῶν φιλαπεχθημόνων, οὐ μὴν οὐδὲ τῶν ἐν ὀλίγοις ἢ τοῖς τυχοῦσι τὸν Ἀριςοτέλην διδάσκαλον ἐπιγραφομένων, ἀλλὰ τῶν τάς τε λογικὰς αὐτοῦ μεθόδους ὡς ἐπὶ πᾶν τεθαυμακότων ϗ τῶν τὰς ἠθικάς τε ϗ φυσικὰς πραγματείας ὑπερφυῶς ἀποδεχομένων. ϗ ἵνα μὴ νῦν πάντα διαριθμούμενος, ὅσα κάλλιςα ϗ ἄριςα τῷ ἀνδρὶ τῷδε πεφιλοσόφηϑ, μακρὸς εἶναι δόξω, τί οὐ πᾶς τῶν εὖ φρονούντων τὰ ἐν τῇ τελευταίᾳ πραγματείᾳ ταύτῃ περί τε ἐνύλων εἰδῶν ϗ ὁρισμῶν εὐςόχως εἰρημένα περί τε τῶν θείων ϗ ἀκινήτων ἐξηρημένων κόσμου τοῦ σύμπαντος αἰτίων σὺν ἀποδείξεσι ταῖς ἐγχωρούσαις παραδοθέντα, καίπερ ὄντα πάσης συνθέσεως ϗ διεξόδου πυκνοτέρας ὑπέρτερα, δικαίως ἂν ἀγαϑείη ϗ τὸν ἡγεμόνα τῆς τοιαύτης θεωρίας εὐεργέτην τοῦ τῶν ἀνθρώπων βίου κατονομάσειε; τούτων μὲ ὧν αὐτῷ πολλὴ χάρις παρά τε ἡμῶν παρά τε πάντων τῶν συνηϑημένων αὐτοῦ τῆς ἀγχινοίας ὀφείλεϑ. ἐπειδὴ δὲ συμβέβηκε δι' ἅς τινάς ποτ' αἰτίας ϗ ἐν ἄλλοις μὲ μέρεσι τῆς θεολογικῆς πραγματείας, διαφερόντως δὲ ἐν τοῖς τελευταίοις δύο βιβλίοις, τῷ Μ ϗ τῷ Ν, πολλήν τινα καταδρομὴν αὐτὸν ποιήσαϑζ κᾳ' τῶν Πυθαγορείων ϗ Πλατωνικῶν ἀρχῶν οὐδὲν μὲ ἐχέγγυον οὐδὲ ἱκανὸν πρὸς αὐτὰς λέγοντα, τὰ πολλὰ δὲ οὐδὲ πρὸς αὐτάς, εἰ χρὴ τἀληθὲς ἀπροφασίςως εἰπεῖν, ἀπαντῶντα, ἰδίαις δὲ ὑποθέσεσι τὰς ἀντιλογίας προσάγοντα, εὔλογον ὤφθη φειδοῖ τῶν ἁπλουςέρων ἀκροατῶν, ὡς ἂν μὴ τῇ δόξῃ τῇ δικαίᾳ κατεχόμενοι τἀνδρὸς εἰς καταφρόνησιν ὑπενεχθῶσι τῶν θείων πραγμάτων ϗ τῆς ἐνθεοῦ τῶν πρεσβυτέρων φιλοσοφίας, βασανίσαι τὰ ῥηθέντα κριτικῶς ἅμα ϗ ἀδεκάςως εἰς δύναμιν, ϗ ἐπιδεῖξαι τάς τε Πυθαγόρου ϗ Πλάτωνος περὶ τῶν ἀρχῶν θεωρίας ἀνεπτε τῶν θείων ϗ ἀκινήτων ἐξηρημένων κόσμου τοῦ σύμπαντος λέγκτους ϗ ἀπτώτους διαμεμενηκυίας, τάς τ' Ἀριςοτέλους κᾳ' τούτων ἐπιχειρήσεις τὰ πολλὰ μὲ παρὰ θύρας ἀπαντώσας ϗ οὐδὲν τοῖς θείοις ἀνδράσιν ἐκείνοις προσήκοντα σκέμματα διερευνωμένας, ὀλιγάκις δὲ λέγειν μέν τι πρὸς αὐτὰς ϗ ἀποτείνεϑζ προθυμουμένας, ἔλεγχον δὲ οὔτε ἐλάττονα οὔτε μείζονα προσφέρειν δεδυνημένας. ϗ τοῦτο ἀναγκαίως συμβέβηκεν· οὔτε γὼ τὸ ἀληθὲς ἐλέγχεταί ποτε κᾳ' τὸν θεῖον ἐκεῖνον [Πλάτωνα δηλονότι] ϗ τοὺς περὶ τῶν ἀρχῶν λόγους ἐξομοιοῦντες τοῖς πράγμασιν οἱ πατέρες αὐτῶν μονίμους ϗ ἀμεταπτώτους καθ' ὅσον προσήκει λόγοις εἶναι κατεςήσαντο. φροιμίων μὲ ὧν ἄλις.

Ἐπειδὴ δὲ τὴν προαίρεσιν ϗ τὴν ἐπαγγελίαν τοῦ συγ-

3 ἐφησόμεθα] ἐφησθησόμεθα *C*. | b4 πᾶσιν] πάλιν *C*. || fort. λέγοιτο· οἷον "πάντα —. || 6 τἀγαθοῦ δεῖ *C*: interposui ὁ. || 7 ἔςι δὴ συγχωρεῖν *C*. || τοῦτο γὰρ] ὁ γὰρ *C*. cf. p. 867 a6.

Codices ad libros M N praesto fuerunt *A C* (= *B*) *H* et *β*.

12 ἐν λόγοις (*A*)*H* ἐν λογικοῖς *β*. || 14 τὰς λογικὰς *H*. || 17 τί] τίς *BH*. *quotus quisque recte sentientium β*. || 24 κατωνομάσειε *BH*. || 26 διά τινας (*A*)*β*. || 27 ποτ' *C*: ποτὲ *HA*. || 29 τῶν μ̄ καὶ τῶν γ̄· πολὴν *H*. || 30 οὐδὲ om *β*.

14 immo ἐφάνη. || φειδόμενος *H*. || 16 ὑπενεχθῶ *H*. || 18 ἅμα δὲ καὶ *H*. || 20 τάς τ' inserui. || 22 ἐκείνοις ἀνδράσι *Aβ*. || 23 μέν τι *C*: μέντοι *AHβ*. || 25 Plato Gorg. p. 473 B τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται. cf. Syrianus infra ad p. 1083 b13. || 26 ποτε om *H*. || πλάτωνα δηλονότι *Hβ*: πράτωρα δῆλον *A*: om *C* in cuius margine duo uerba euanida conspici Brandisius testatur, scilicet πλάτωνα φησι, ut iam C. Wescher explorauit; qui uir doctissimus in ceteris quoque libris Parisinis omnibus (n. 1893. 1894. 1895. 1897. 1912. 2354) idem illud atque in *Hβ* 'scholion' uerbis scriptoris immixtum legi litteris me humanissimis edocuit. Cf. Syrianus l. s. κατὰ τὸν θεῖον Σωκράτην. || 28 cf. Plato Tim. p. 29 B μονίμους καὶ ἀμεταπτώτους καθ' ὅσον οἷόν τε καὶ ἀνελέγκτοις προσήκει λόγοις εἶναι καὶ ἀκινήτοις. || 29 ὧν om *AHβ*.

γράμματος εἴπομεν, καιρὸς αὐτῶν ἔχεσθαι τῶν ἀγώνων. * πάντως εἴτε ἀγωνιάς τις ἡμᾶς ἀποκαλεῖν θελήσειεν ὡς ἀπολογουμένους πρὸς τὰ κατὰ τῆς καλλίστης καὶ ἀρίστης τῶν φιλοσοφιῶν ἐγκλήματα, εἴτε διαιτητὰς τῶν τε ἁπλουστέρων καὶ νοερωτέρων ἐπιβολῶν τῆς ἐποπτικῆς τῶν ἀπὸ Πυθαγόρου θεωρίας καὶ τῶν λογικωτέρως πρὸς αὐτὰς ἠπορημένων ὑπὸ τοῦ δεινοτάτου τῶν πώποτε ἱστορηθέντων Ἀριστοτέλους· οὐ φευξόμεθα τὴν θέσιν τοῦ ὀνόματος· μόνον εἴη δικαίως καὶ ἐμφρόνως καὶ φιλαλήθως ἐν αὐτοῖς διαγίγνεσθαι. ἀρκτέον δὲ ἐντεῦθεν. προειπὼν ὁ Ἀριστοτέλης ὡς χρὴ περὶ τῶν ἀρχῶν τῶν ἀκινήτων τὰ ἑτέροις δεδογμένα βασανίσαι καὶ διερευνήσασθαι, δύο μέν φησιν εἶναι δόξας περὶ ἀρχῶν, τήν τε τὰ μαθήματα πρεσβεύουσαν καὶ χωριστὴν οὐσίαν αὐτοῖς ἀπονέμουσαν, τήν τε τὰς ἰδέας ἐκτιμῶσαν καὶ πάντα κατ' ἐκείνας καὶ πρὸς ἐκείνας τὴν ὑπόστασιν ἔχειν ὑπολαμβάνουσαν· αὐτῷ δὲ τρία προκεῖσθαι σκέμματα, πρῶτον μὲν εἰ ἔστι τὰ μαθηματικὰ καὶ πῶς ἐστι· δεύτερον δὲ εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ εἰδητικὸς ἀριθμός· τρίτον εἰ ἀρχαὶ τῶν ὄντων ἀριθμοί εἰσι καὶ ἰδέαι. ἐπὶ τούτοις ἀναλαβὼν λέγει περὶ τοῦ πρώτου, διελέγχων μέν, ὡς οἴεται, τοὺς τοῖς μαθήμασιν *οὐσίαν* ἀπονέμοντας, κυρῶν δὲ τὴν περὶ τούτων ἑαυτοῦ δόξαν, ἣ ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν διαστημάτων καὶ χημάτων παρέχει τὴν οἵαν ποτὲ τοῖς μαθήμασιν ὑπόστασιν. πρὶν δὲ αὐτῶν ἅψασθαι τῶν κατὰ τῆς ἀληθεστέρας αὐτοῦ δόξης ἐπιχειρήσεων βέλτιον ἴσως τὴν ἀληθῆ παραδοῦναι περὶ τούτων τῆς ἀρχαίας φιλοσοφίας διάνοιαν, ἵνα καὶ χῶμεν συνιδεῖν εἴτε πρὸς αὐτὴν τὴν θεωρίαν τῶν θείων ἀνδρῶν ὁ φιλεγκλήμων διαμάχεσθαι λόγος, εἴτε πρὸς οἰκείας ὑποθέσεις ἱστάμενος τὰ λεχθέντα μοχθηρῶς ἀνατρέπειν ἐπιχειρεῖ.

Πυθαγόρας ὁ θεῖος καὶ πάντες οἱ γνησίως τἀκείνου δόγματα τοῖς καθαρωτάτοις κόλποις τῆς ἑαυτῶν διανοίας ὑποδεξάμενοι πολλὰς μὲν ἔλεγον εἶναι τάξεις οὐσιῶν καὶ νοητῶν καὶ νοερῶν, διανοητικῶν καὶ φυσικῶν ἢ ὅλως ζωτικῶν καὶ ἔτι σωματοειδῶν· ἡ δὲ τῶν πραγμάτων προόδος καὶ ἡ συμφυὴς ταῖς προόδοις ὕφεσις κατά τινα τάξιν ἐπιτελειουμένη θείαν καὶ τὸ τῆς ἑτερότητος ἐν τοῖς γένεσι τοῦ ὄντος κράτος [τὸ πλῆθος] τὸ τεταγμένον καὶ συνεχὲς ἅμα καὶ διωρισμένον ὑφίστησι τῶν τε ἀσωμάτων καὶ τῶν τὴν αἴσθησιν πληττουσῶν οὐσιῶν. τὰς δ' οὖν ὡς ἐν πλάτει τρεῖς ἔλεγον τάξεις τῶν ὄντων, νοητὴν διανοητὴν αἰσθητήν, εἶναι δὲ καθ' ἑκάστην τὰ εἴδη πάντα μέν, οἰκείως δὲ ἀπανταχοῦ τῇ τῆς ὑπάρξεως ἰδιότητι. καὶ τὰ μὲν νοητὰ παρὰ θεοῖς εἶναι καὶ αἴτια τῶν ἑξῆς ποιητικά τε καὶ παραδειγματικὰ καὶ τελικά· εἰ γάρ ποτε τὰ τρία ταῦτα συντρέχει καὶ ἑνοῦται πρὸς ἄλληλα, καθά φησι καὶ Ἀριστοτέλης, οὐκ ἐν τοῖς ἐσχάτοις ἔργοις τῆς φύσεως τοῦτ' ἂν ὀφθείη γιγνόμενον, ἀλλ' ἐν τοῖς πρωτίστοις καὶ καλλίστοις καὶ ἀρίστοις αἰτίοις τῶν πάντων, ἃ διὰ μὲν τὸ γόνιμον καὶ δημιουργικὸν τῶν πάντων ἐστὶ γεννητικά· διὰ δὲ τὸ τὰ γενηθέντα πρὸς ἑαυτὰ ἐπιστρέφειν καὶ ἑαυτοῖς ἐξομοιοῦν πάντων ἐστὶ παραδείγματα· δι' ἑαυτὰ δὲ ποιοῦντα καὶ τὴν ἑαυτῶν ἀγαθότητα, καθά φησιν ὁ θεῖος Πλάτων, πῶς οὐχὶ τὴν τελικὴν αἰτίαν ἐπιδείκνυσθαι; τὰ μὲν οὖν νοητὰ εἴδη τοιαῦτα ὄντα καὶ τοσούτων ἀγαθῶν ἐξηγούμενα τοῖς ὅλοις τὰς θείας συμπληροῖ διακοσμήσεις, θεωρεῖσθαι δὲ τὰ πολλὰ περὶ τὴν δημιουργικὴν τάξιν τὴν νοεράν. τὰ δὲ διανοητὰ μιμεῖσθαι μὲν τὰ πρὸ ἑαυτῶν καὶ ἐξομοιοῖ τὸν ψυχικὸν διάκοσμον τῷ νοητῷ, περιέχει δὲ πάντα δευτέρως καὶ δημιουργεῖ μὲν καὶ αὐτὰ παρὰ ταῖς θείαις ψυχαῖς καὶ δαιμονίαις θεωρούμενα, γνωσικὰ δὲ μόνον ἐστὶ παρ' ἡμῖν τοῖς τὰς θεωρίας οὐκέτι δημιουργικὰς ἔχουσι διὰ τὴν πτερορρύησιν· ἐπεὶ ὅτι καὶ τὸ ἡμέτερον τελειωθὲν καὶ ἐπτερωμένον μετεωροπολεῖ τε καὶ πάντα τὸν κόσμον συνδιοικεῖ τοῖς θείοις, μαρτυρεῖ καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης. ταῦτα δὴ τὰ διανοητὰ εἴδη ἐν μὲν Τιμαίῳ σαφῶς ὁ Πλάτων ἐντιθέναι φησὶ τὸν δημιουργὸν ταῖς ψυχαῖς δι' ἀναλογιῶν γεωμετρικῶν τε καὶ ἀριθμητικῶν καὶ ἁρμονικῶν αὐτὰς διακοσμοῦντα· ἐν δὲ τῇ κατατομῇ τῆς ἐν Πολιτείᾳ γραμμῆς εἰκόνας μὲν εἶναι τῶν νοητῶν. καὶ διὰ τοῦτό ποτε νοητὰ καλεῖν οὐκ ἀπηξίωσε, προεσάναι δὲ παραδειγματικῶς τῶν αἰσθητῶν· ἐν δὲ Φαίδωνι τῆς ἀναμνήσεως ἡμῖν αἴτια γίγνεσθαι· οὐ μὴν ἄλλων τινῶν αἱ μαθήσεις ἀναμνήσεις ἢ τῶν μέσων εἰδῶν, ταὐτὸν δὲ εἰπεῖν τῶν ἑστώτων καθόλου λόγων, οὐ τῶν ὑστερογενῶν ἀλλὰ τῶν κατ' οὐσίαν προϋπαρχόντων ταῖς ψυχαῖς, ὑφ' ὧν καὶ οἱ τῆς φύσεως ἐμπνεόμενοι λόγοι καὶ ποδηγετούμενοι τὰ καθ' ἕκαστα δημιουργεῖν δύνανται. ἐν μὲν τῇ οὐρανίᾳ φέρε ψυχῇ τὸ πάντας τοὺς ἐν σφαίρᾳ μεγίστῳ κύκλῳ διχοτομεῖν ἀλλήλους προϋπάρχει δραστηρίως καὶ δημιουργικῶς, ὥσπερ ἐν ἡμῖν γνωστικῶς μόνον, ἐν αὐτῷ δὲ τῷ οὐρανῷ ὁ ζωδιακὸς

1 ἀγώνων πάντως, εἴτε **BH**. *certamina. ceterum seu omnino* β. hiatum notaui. ‖ 2 ὡς om **H**. ‖ 6 ὑπορημένων **H**. ‖ 9 ἀρκτέον δὲ ἐντεῦθεν om pr **H**. ‖ 10 δεδειγμένα **BH**β. ‖ 14 ἔχει pr **H**. ‖ 16 δὲ εἰσὶν **H**. ‖ 18 ἀναλαμβὼν **H**. ‖ 19 οὐσίαν inserui cum Bonitzio. ‖ 20 ἢ] ἢ **H**. ‖ 22 *sed priusquam in ueriores sua opinione argumentationes aggrediamur* β. fort. ἀληθ. ἢ αὐτοῦ. ‖ 24 καὶ om **AH**β. ‖ 25 ὁ φιλεγκλημάτων **H** ὄφειλε ἐγκλημάτων **A**. ‖ 26 διαμάχεται **H**β: διαμάχεσθαι **B**. ‖ λόγος **CH**: ὁ λόγος **A**. ‖ 28 τὰ ἐκείνου **A**. ‖ 30 καὶ addendum post νοερῶν. ‖ 32 ὕφεσιν **H**. ‖ 33 ἐπιτελουμένη **H**. ‖ 34 τοῖς συγγενέσι **H**. ‖ κράτος τὸ **C**β κρα τὸ **H**: κράτος καὶ **A**. ‖ τὸ πλῆθος glossema est. ‖ τὸ τεταγμένον καὶ om β. ‖ τὸν τεταγμένον (**A**) τῶν τεταγμένων **H**. ‖ 36 ὡς ἐν πλάτει] cf. mus. Rhen. XXIV p. 311.

2 πάντῃ (*omniquaque*) μὲν β. ‖ 4 ποιητικὰ δὲ καὶ (**A**)**H**. *effectiuus scilicet* (δὴ) *et* β. ‖ 5 καὶ om **A**. ‖ 7 καὶ καλλίστοις om **A**β, post ἀρίστοις collocat **H**. ‖ 9 γενητικὰ **BH**. ‖ τὰ post τὸ om **CH**. ‖ 12 cf. Plat. Tim. p. 29 E sq. ‖ ἐπιδείκνυνται **A**. ‖ 15 *circa intelligibilium ordinem* β. ‖ δὲ νοητὰ (**A**). ‖ 17 μὲν αὐτὰ ταῖς (om καὶ et παρὰ) **H**. ‖ 19 *considerationes tantum non uires operatiuas* β. ‖ 21 μετεωροπολεῖται καὶ **A**. ‖ 22 Pl. Phaedr. p. 246. ‖ δὴ] δὲ **H**. ‖ 23 διανοητικὰ **A** διανοητὰ καὶ **H**. ‖ Pl. Tim. p. 34 C — 36. ‖ ὁ Πλάτων β. ‖ 24 μετρικῶν τε **H**. ‖ 25 αὐτὰς β: αὐτὰ **BH**. ‖ 26 Pl. πολιτ. VI p. 509 D — 511 E. ‖ 27 καὶ ante διὰ om **A**. ‖ οὐκ ἠξίωσε **H**. ‖ προσεσάναι **BH** em. Brandisius. ‖ δὲ post προεσάναι inserui cf. 26 εἰκόνας μὲν —. *cum ut exempla sensibilibus praestent* (προεστῶτα?) β. ‖ 28 Pl. Phaed. p. 72 E sq. ‖ 30 ἑστώτων: cf. S ad 1079 a 10. ‖ 31 οὐ om (**A**)**H**β. ‖ 32 fort. λόγοι ἐμπνεόμενοι. ‖ 34 ψυχῆς **H**.

καὶ ὁ ἰσημερινὸς καὶ ὁ μεσημβρινὸς εἰ τύχοι καὶ οἱ ὁρίζοντες διχοτομοῦσιν ἀλλήλους, τῆς μὲν ψυχῆς ἑνιαίως τὰ πάντα καὶ περιλαβούσης ταῖς ἑαυτῆς διανοήσεσι καὶ δημιουργούσης, τοῦ δὲ οὐρανίου σώματος μεμερισμένως ὧν δεῖ μόνον ὑποδεξαμένου. διὸ καὶ ἀποδείξεις τοῖς ἀστρονόμοις ἐκ καθόλου καὶ μερικῶν προτάσεων γίγνονται, τῆς μὲν καθόλου τὴν αἰτίαν ἐχούσης διὰ τὸ ἐν ψυχῇ τῇ τὸ πᾶν ὑφιστανούσῃ προϋπάρχειν, τῆς δὲ μερικῆς ἐκ τῶν αἰσθητῶν εἰλημμένης· ἀπέθετο γὰρ δὴ καὶ ἐν τοῖς αἰσθητοῖς τὰ πάντα, ὡς ἐνῆν, ὁ μέγας Ἥφαιστος, κατασκευάσας, ὥς φησιν ἡ θεία ποίησις,

"πόρπας τε γναμπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους
ἐν σπῆι γλαφυρῷ".

καὶ ταῦτά ἐστι τὰ τριττὰ εἴδη ἃ οἱ Πυθαγόρειοι τῶν αἰσθητῶν ἀχώριστα αἴτια ᾤοντο εἶναι, τελευταίας εἰκόνας ὄντα τῶν χωριστῶν εἰδῶν καὶ διὰ τοῦτο τοῖς αὐτοῖς ὀνόμασιν οὐκ ἀπαξιοῦντες αὐτὰ προσαγορεύειν. ὑπὸ δὴ τούτων ἡ πεσοῦσα εἰς γένεσιν ψυχὴ διεγειρομένη καὶ ἀνακινουμένη εἰς ἀνάμνησιν μὲν ἔρχεται τῶν ἐκ τῶν μέσων εἰδῶν, ἀνάγει δὲ τοὺς οἰκείους λόγους ἐπὶ τὰ νοητὰ καὶ πρῶτα παραδείγματα· καὶ ὅτως ὄψις καὶ ἀκοὴ συντελοῦσιν εἰς φιλοσοφίαν καὶ τὴν περιαγωγὴν τῆς ψυχῆς. τούτων οὕτω προειλημμένων οὐ διαφωνοῦσι Πλάτων καὶ Πυθαγόρας καὶ οἱ ἀπ' αὐτῶν πρὸς ἀλλήλους περὶ τὴν τῶν εἰδῶν ὑπόθεσιν, ὡς φησιν Ἀριστοτέλης, ἀλλ' οἱ μὲν Πυθαγόρειοι περὶ τῶν αἰσθητῶν πρῶτον διαλεγόμενοι τοῖς αὐτοῖς ὀνόμασιν ἐχρῶντο κατ' ἀναλογίαν αὐτὰ μεταφέροντες ἐπί τε τὰ μέσα καὶ τὰ πρώτιστα τῶν πραγμάτων, ὅθεν καὶ ἔδοξαν, οὐκ Ἀριστοτέλει φαίην ἄν, ἀλλὰ τοῖς ἐπιπολαιότερον τἀκείνων ἱστορήσασι περὶ μόνων τῶν ἀχωρίστων εἰδῶν διαλέγεσθαι. τινὲς δὲ περὶ τοὺς μέσους λόγους τῆς ψυχῆς διατρίψαντες ἀπ' αὐτῶν ὡς εἰκόνων μὲν περὶ τῶν νοητῶν ἐνεδείκνυντο, ὡς δὲ παραδειγμάτων περὶ τῶν ἐν αἰσθήσει φερομένων εἰδῶν· οἳ καὶ δοκοῦσι τοῖς πολλοῖς μόνην πρεσβεύειν τὴν μαθηματικὴν οὐσίαν, ἐπειδὴ μαθηματικοῖς ὀνόμασι τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα τῶν εἰδῶν παρέδοσαν· ἄλλοις δὲ διαστροφωτέροις ἔδοξάν τινες τούτων καὶ συγχεῖν εἰς ταὐτὸ καὶ συμφύρειν τὰ νοητὰ καὶ διανοητὰ τῶν εἰδῶν, οὐδὲν μὲν τῶν διδασκάλων τῆς τοιαύτης θεωρίας τοιοῦτο πεπονθότων, ὑπολήψεως δὲ ψευδοῦς τισιν ἐγγενομένης διὰ τὴν τῶν ὀνομάτων κοινότητα. Πλάτων δὲ κἀν τούτοις τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδεικνύμενος καὶ τοῖς ὀνόμασι διέκρινε τήν τε νοητὴν καὶ τὴν διανοητὴν οὐσίαν, ἵνα μηδὲ οἱ καθεύδοντες αὐτοῦ παρακοῦσαι δυνηθῶσι. διὸ καὶ ὁ Ἀριστοτέλης ὡς δύο χωριστὰς αὐτὸν οὐσίας ὑποτιθέμενον εὐθύνει· πότερον δὲ δικαίως ἢ οὔ, σαφὲς μὲν ἤδη πᾶσι τοῖς ἔμφρασι, δείξει δὲ οἶμαι σαφέστερον ὁ λόγος τὰ μέτρια βασανισθείς.

Τοσοῦτον οὖν προειπόντες ὅτι οὐδὲ περὶ τὰς ὑποθέσεις τῶν εἰδῶν διαφωνοῦσιν οἱ ἄνδρες, εἰ καὶ ἄλλοι ἄλλως περὶ αὐτῶν ἐνεδείξαντο, καὶ ὅτι ὁ πρὸς ὀντιναοῦν αὐτῶν ἕνα διαμαχόμενος πρὸς ἅπαντας τοὺς τῶν εἰδῶν ἀντιλέγει φίλους, κατακολουθήσωμεν λοιπὸν τῇ τε διαιρέσει καὶ τῇ τάξει τῆς Ἀριστοτέλους ἀντιλογίας. καὶ προκείσθω μὲν αὐτῷ τὰ τρία προβλήματα, εἰ ἔστι τὰ μαθήματα καὶ πῶς ἐστιν, εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ τῶν εἰδῶν ἀριθμός, εἰ ἀρχαὶ ταῦτα τῶν ὄντων. διαλεγέσθω δὲ ἐν μὲν τῷ M περὶ τῶν προτέρων δύο, ἐν δὲ τῷ N περὶ τοῦ τρίτου. τῶν δὲ δύο τὸ περὶ τῆς ὑπάρξεως ἢ ἀνυπαρξίας τῶν μαθημάτων ἡγείσθω. σκεψώμεθα δὲ εἰ πρὸς τὸ χωριστὸν τῆς τῶν μαθημάτων οὐσίας ἱκανῶς ἴσασι, μέρους μὲν ὄντος τῶν καθόλου λόγων καὶ τῶν μέσων εἰδῶν τῆς ψυχῆς. εἰς ἔνδειξιν δὲ τῆς νοητῆς πάσης φύσεως εἰωθυίας ὑπὸ τῶν θείων ἀνδρῶν παραλαμβάνεσθαι. χρῆν τοίνυν Ἀριστοτέλη ἐλέγχων αὐτῶν τὴν ὑπόστασιν διαιρετικῷ μὲν τοιῷδε· "εἰ γὰρ ἔστι" φησί "τὰ μαθήματα, ἢ ἐν τοῖς αἰσθητοῖς ἀνάγκη αὐτὰ εἶναι, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· εἰ δὲ μηδετέρως, ἢ οὐκ εἰσὶν ἢ ἄλλῳ τρόπῳ εἰσί"· τῷ τε διαιρετικῷ χρησάμενος ὀρθῶς, πλὴν ὅσον ὑπέθετό τινας καὶ ἐν τοῖς αἰσθητοῖς ἀπολείπειν αὐτά, τό τε ἑπόμενον τῇ ὑποθέσει ἄριστα καὶ συνεωρακὼς καὶ εἰπών· εἰ γὰρ μήτε ἀχώριστα μήτε χωριστὰ τῶν αἰσθητῶν ἐστιν, ἀνάγκη ἢ μηδαμῇ μηδαμῶς εἶναι, ἢ ἄλλῳ τρόπῳ τὴν οἵαν ποτὲ ὑπόστασιν αὐτὰ λαμβάνειν, τουτέστιν ἐξ ἀφαιρέσεως ἐν ἡμῖν γεννᾶσθαι, καθάπερ αὐτῷ καὶ δοκεῖ. μάχεσθαι δὲ τῷ τε ἀχώριστα αὐτὰ εἶναι τῶν αἰσθητῶν καὶ τῷ χωριστὴν ἔχειν οὐσίαν, ἵνα ἢ μηδαμῇ μηδαμῶς ἢ ὡς ὁ πολυθρύλλητος σκινδαψὸς ἢ τὸ αὐτοῦ δὴ τοῦτο κρατῇ τὸ ἐξ ἀφαιρέσεως αὐτὰ τῶν αἰσθητῶν λαμβάνεσθαι. συμπλέκεσθαι δὲ πρώτοις τοῖς μὴ χωρίζουσιν αὐτὰ τῶν αἰσθητῶν, ταῦτα πρὸς αὐτοὺς γράφων·

"Ὅτι μὲν τοίνυν ..... ἢ οὐδὲ αἱ αἰσθηταί". ἐν τούτοις εἴτε ἰσχυρῶς εἴτε μαλακῶς διαγίγνοιτο, πρὸς ἔπος οὐδέν· οὔτε γὰρ τῶν Πυθαγορείων τις οὔτε Πλάτων αὐτὸς οὔτε τῶν κατ

176a 32.

176a 38

1 καὶ ὁ μεσημβρινὸς om *H*. ‖ 3 αὐτῆς ex αὐταῖς corr *H*. ‖ 6 τῆς μὲν γὰρ καθόλου *AH*. ‖ 9 ὡς ἐνῆν] *ut dederat β*. ‖ 11 Hom. Il. Σ 401. ‖ γναφάς θ' *C*. ‖ κάλυκας om *AH*. ‖ 14 τῶν χωρ. εἰδῶν ὄντα *Aβ*. ‖ 16 ὑπὸ] ἀπὸ *BH*. ‖ 17 ἐκ τῶν om *β*. ‖ 18 ἀνάγκει *H*. ‖ 20 προειλημένων *B*. ‖ 23 πρῶτοι *BHβ*. ‖ 25 ἐπὶ τὰ *A*. ‖ 26 ἔδοξεν (*A*)*H*. ‖ φαίην ἄν] φαίην *BH*. ‖ ἐπιπαλαιότερον *H*. ‖ 27 περιμένων τῶν *H*. ‖ 29 νοητῶν ἐδείκνυντο *H*. ‖ 33 διαστροφωτέροις *BH*: *peruerse magis* (διαστροφωτέρως) *β*. ‖ 34 εἰς ταὐτὰ *Aβ* εἰς ταὐτα *H*. ‖ συμφύρει *H*. ‖ 35 τοιοῦτον (*A*)*H*. ‖ 38 φιλανίαν *H* φιλανίαν (*A*).

1 μηδὲ] μὴ *H*. ‖ 3 αὐτοῦ . . . ὑποτιθεμένου *AH*. ‖ 4 τοῖς ρσσι cum hiatu *H*. ‖ 7 καὶ ἄλλοις *Aβ*. ‖ 8 προς ον τινα ὧν *H* πρὸς τινάων *A*. ‖ 9 ἀντιλέγειν *H*. ‖ 12 εἰδῶν *AH* (h. e. εἰδητικὸς ἀριθμός): ἰδεῶν *Cβ*. ‖ 13 εἰ αἱ ἀρχαὶ *A*. ‖ 14 τὸ ῡ *H* ῡ (*A*). ‖ 15 ἀνυπάρξεως *A*. ‖ 21—24 locum Arist. paucis mutatum dedit Syr. ‖ 21 γὰρ ἐστι *BH*. ‖ 25 *supponunt β*. ‖ 26 ἀπολείπει *C* ὑπολείπειν *A permittere β*. ‖ 29 οἵαν ποτε *BH* hic et alibi. ‖ αὐτὰ *CH*: αὐτῶν *A* om *β*. ‖ 30 *ut etiam ei* (καὶ αὐτῷ) *uidetur β*. ‖ 32 μηδαμῇ om *Aβ*. ‖ *sint* (ᾖ) *ut β*: ἢ ὡς ὁ *B* ἢ ὡς (om ὁ) *H*. ‖ 33 κινδαψὸς *Hβ*. cf. Nagelii diss. de blityri et scindapso. Altdorfii 1772, Schneidewinus ad Paroemiogr. I p. 387; adde Bekkeri anecd. Gr. p. 677, 8. ‖ ἢ τὸ] ἤτοι fuit qui coniceret. ‖ τὸ αὐτὸ δὴ *H*. ‖ 37 fort. διαγίγνεται. ‖ 38 τῶν καθ' αὐτὸν *A* τῶ κατ' αὐτῶν *H*.

αὐτὴν Πλατωνικῶν τις τὰ γεωμετρούμενα σχήματα καὶ μεγέθη τοῖς αἰθητοῖς ἐναπέθετο· εἰ δὲ Σεβῆρος ἢ ἄλλος τις τῶν ὕστερον ἐξηγησαμένων τὰ Πλάτωνος ἐκ τῆς παρ' αὐτῷ τῷ Ἀριστοτέλει κατηχήσεως τοῖς μαθήμασι καταχρῶνται πρὸς τὰς ἀποδείξεις τῶν φυσικῶν αἰτίων, οὐδὲν τοῦτο πρὸς τοὺς ἀρχαίους, ὧν νῦν ἐπιχειρεῖ τὰ δόγματα διελέγχειν· ὥστε παρ' ἐκείνων οὐδὲν περὶ τούτων ῥηθήσεται πρὸς αὐτόν. ἐπειδὴ δὲ ἀνέπεμψεν ἡμᾶς καὶ εἰς τὰς ἐν τῷ Β τεθείσας ἀπορίας, ῥητέον πρὸς τάκεῖ [ῥηθέντα], ὅτι οὐδὲ δύο ἅμα στερεὰ κατ' πάντας εἶναι ἀδύνατον· καὶ οὐκ εἰς τοὺς Στωϊκοὺς ἀποβλέπων ἐπιστήσειεν ἄν τις τῷ λόγῳ, οἳ καὶ τοὺς ἐνύλους ὄγκους χωρεῖν δι' ἀλλήλων οὐκ ἀπέγνωσαν, ἀλλὰ μᾶλλον εἰς ἐκείνους οἳ τὸ διάστημα διὰ παντὸς φοιτᾶν ὑποθέμενοι τοῦ κόσμου καὶ δεδέχθαι πᾶσαν εἰς ἑαυτὸ τὴν σώματος φύσιν, οὔτε τέμνειν αὐτό φασιν οὔτε τέμνεται τῷ ἀέρι καὶ τοῖς ἄλλοις συνδιαιρούμενον σώμασιν, ἀλλ' ἀκλινὲς καὶ βέβαιον καὶ ἀκίνητον καὶ πάσης μεταβολῆς ἐξῃρημένον τετάχθαι διὰ παντὸς τοῦ κόσμου, χώραν καὶ ὑποδοχὴν καὶ ὅρον καὶ περιγραφὴν καὶ πᾶν τὸ τοιοῦτον ἐπιφέρον τοῖς τοῦ φαινομένου κόσμου πληρώμασιν. ὅτοι δὴ μαθηματικὸν μὲν ἄντικρυς οὐ φασιν εἶναι σῶμα τὸν τοιοῦτον τόπον καὶ τὸ διάστημα, ἐοικέναι μέντοι τῷ μαθηματικῷ κατά τε τὸ ἄυλον καὶ τὸ ἀκίνητον καὶ τὸ ἀναφὲς καὶ τὸ ἀντιτυπίας ἐλεύθερον, καὶ τὸ πάσης ἅμα καθαρεύειν παθητικῆς ποιότητος· ἔτι δὲ ὥσπερ τὸ μαθηματικὸν σῶμα τοῦ λόγου προβληθέντος ἐν διανοίᾳ κατὰ τὸ πνεῦμα καὶ τὴν ἐν τῷ πνεύματι φαντασίαν ὑφίσταται (ἅμα τε γὰρ ὁ λόγος τῆς σφαίρας εἰ τύχοι πρόχειρος γέγονε καὶ ἡ φαντασία σὺν αὐλῷ τῷ ὄγκῳ τὴν μαθηματικὴν σφαῖραν ἐθεάσατο), οὕτω δὴ καὶ τῇ βουλήσει τε καὶ νοήσει τῆς κοσμικῆς ψυχῆς τοῦτο τὸ σφαιρικὸν ἐν τῷ παντὶ διάστημα σύνδρομον χεῖν τὴν ὑπόστασιν, τῆς ψυχῆς διὰ μὲν τὸ πρὸς νοῦν ὁρᾶν σφαιρικὸν αὐτὸ ποιούσης, διὰ δὲ τὸ πάντα θεωρεῖν τὰ εἴδη χωρητικὸν τῶν πάντων σωμάτων καὶ ἑκάστου καὶ τῶν ὅλων ὡς ἑνός, ἐπεὶ καὶ αὐτῆς αἱ νοήσεις καὶ συνεχεῖς εἰσι καὶ μεταβατικαί, ἐπειδὴ τὰ νοητὰ εἴδη τὰ ἐν τῷ παντελεῖ ζῴῳ καὶ ἥνωται καὶ διακέκριται, καίπερ ὑπὸ μιᾶς φύσεως περιεχόμενα· ὧν δὴ μιμήματα φέρων ὁ κόσμος διαστατῶς αὐτὰ καὶ οὐκ ἀμεγέθως ὑπεδέξατο. ἀλλὰ τοῦ χάριν ὁ σύμπας οὗτος ἀνακεκίνηται λόγος; ὅτιπερ οὔτε κατ' τούτους τοὺς ἄνδρας οὔτε κατ' τοὺς τὰ ἄυλα καὶ ἁπλᾶ τῶν σωμάτων χωρεῖν δι' ἀλλήλων ἀδιαιρέτως ὑπολαμβάνοντας ἀδύνατόν ἐστι δύο ἅμα στερεὰ γίγνεσθαι σώματα, ἀλλὰ δύο μὲν ἔνυλα καὶ ἀντίτυπα τὸν αὐτὸν κατέχειν τόπον ἀδυνατώτατον εἶναί φασι, τὰ δὲ ἄυλα τοῖς φωσὶν ἐοικέναι τοῖς ἀπὸ διαφόρων λαμπάδων πεμπομένοις καὶ διὰ παντὸς τοῦ αὐτοῦ οἴκου μετακεχωρηκόσι καὶ δι' ἀλλήλων ἀσυγχύτως καὶ ἀδιαιρέτως πεφοιτηκόσι· καὶ γὰρ ταῦτα, εἰ καὶ ἀσώματά τις βούλοιτο λέγειν, ἀλλ' οὖν συνδιαστάντα τοῖς σώμασι καὶ συνεκταθέντα κατ' τὰς τρεῖς διαστάσεις οὐ κωλύει τὸν αὐτὸν ἔχειν τόπον ἀλλήλοις τε καὶ τοῖς σώμασι δι' οὐδὲν ἕτερον ἢ ὅτι ἁπλᾶ ἐστι καὶ ἄυλα καὶ οὐ μερίζεται διαιρούμενα, τῇ δὲ ἀρχῇ τῇ ἑαυτῶν συνημμένα καὶ ταύτης ἐξῃρημένα πάρεστι μὲν ἐκείνης ἐλλαμπούσης, ἀπούσης δὲ συναπέρχεται· ἃ δὴ καὶ τὰ ἄυλα σώματα τῶν ψυχῶν ἐξῃρημένα ποιεῖν οὐ κωλύει. ταῦτα μὲν οὖν, ἵνα μὴ μορμολύττωσί τινες ἡμᾶς οἱ θαυμασοὶ τῶν φυσικῶν λόγοι, τὰ ἴδια τῶν ἐνύλων καὶ παθητικῶν καὶ ἀντιτύπων σωμάτων ἐπὶ πᾶσαν τὴν διαστατὴν φύσιν μεταφέροντες· ὅτι γὰρ τῇ ἐξ ἀρχῆς προαιρέσει τοῦ συγγράμματος οὐδὲν συντελεῖ, προειρήκαμεν· οὔτε γὰρ παρὰ τῶν Πυθαγορείων ἢ Πλατωνικῶν λεχθήσεταί τι πρὸς αὐτὸν περὶ τούτων, ἐπεὶ μηδὲ τῶν ἐκείνοις τι δεδογμένων εὐθύνειν ἐπιχειρεῖ, οὔτε αὐτὸς ὁ Ἀριστοτέλης πρὸς τοὺς τὸ διάστημα νῦν πρεσβεύοντας διαμάχεται ἀλλὰ πρὸς τοὺς ἐν τοῖς αἰθητοῖς ἀποτιθεμένους ἕτερα σώματα στερεὰ μὲν διὰ τὸ τριχῇ διεστάναι, μαθηματικὰ δέ· ἧς ὑποθέσεως οὐδένα ἴσμεν τῶν εὐδοκίμων προεστάναι φιλοσόφων· τά τε γὰρ ἐν Τιμαίῳ ῥηθέντα σχήματα πέντε τὰ πρὸς τὴν τῶν κοσμικῶν στοιχείων εἰδοποιίαν παραληφθέντα μαθηματικοῖς μὲν ὀνόμασιν ἡρμήνευται, δραστικὰς δὲ καὶ δημιουργικὰς δυνάμεις τῆς φύσεως αἰνίττεται· τό τε αὐγοειδὲς ἐν ἡμῖν ὄχημα τριχῇ διαστὰν εἴ τις ἀπεφήνατο εἶναι καὶ οὐκ ἀντίτυπον, οὐ γεωμετρούμενον ἄντικρυς εἶναι σῶμα τοῦτο διοχυρίζεται· πῶς γὰρ τό γε ζωῆς καὶ κινήσεως πλῆρες καὶ πάντων ἡμῖν εὐκινητότατον κατ' τὴν συνεγνωσμένην Ἀριστοτέλει κίνησιν ὡς ἀκίνητον ἄν τις ἐν τοῖς γεωμετρουμένοις καταστήσειεν; ἀλλὰ δῆλός ἐστιν αὐτὸς ὁ δαιμόνιος Ἀριστοτέλης μοχθηρὰν ὑπόθεσιν ἐλέγχειν πειρώμενος, ὁ δὲ ἡμέτερος λόγος ἑνὶ τῶν ὑπ' αὐτοῦ ῥηθέντων ἐπιστήσας ὡς οὐκ ὄντι κατ' πάντα ἁπλῶς καὶ ἄνευ προσδιορισμῶν ἀληθεῖ ἐπισκοπείτω καὶ τὸ ἐφεξῆς τούτῳ ῥηθέν, "ὅτι τοῦ αὐτοῦ λόγου καὶ τὰς ἄλλας δυνάμεις καὶ φύσεις

2 ἄλλός τις *BH*. ‖ 5 αἰτιῶν *H*. ‖ 7 ποὸς αὐτὸν ῥηθήσεται *Aβ*. ‖ *misisti* (ἀνέπεμψας) *β*. ‖ 8 ἀπορίας om *H*. ‖ ῥητέον καὶ πρὸς *H*. ‖ ῥηθέντα glossema seclusi. ‖ 9 οὐδὲν δύο *H*. ‖ πάντα εἶναι *A*. ‖ 11 τοῦ ante τὸς exspectes, sed cf. Syr. ad p. 1083 b13 extr. ‖ ἀπέγνωσαν *B* ἐπέγνωσαν *H*. ‖ 13 πᾶσαν] πᾶν *H*. ‖ 15 καὶ ἀκίνητον om *β*. ‖ 18 ἐπιφέρον *Hβ*: ἐπέφερον *B*, uereor ne ex coniectura. ‖ 19 τὸν τοιοῦτον τόπον *C*: τὸν τοιοῦτον *H* τὸ τοιοῦτον *Aβ*. ‖ 20 καὶ τὸ διάστημα om *β*. ‖ 21 καὶ ἀντιτυπίας *C*. ‖ 22 πάσης ανακαθαρεύειν *BH* et qui *depuratum* (ἀνακαθαρεῦον?) uertit *β*. ‖ 29 σχεῖν] *recipit β*. ‖ νῶν *CHβ*: γῆν *A*. ‖ 31 καὶ ἑκάστου] ἰδέαι ἑκάστου *C*: ἰδέαις ἑκ. *AHβ*. ‖ 35 διαστατικῶς *A*. ‖ 36 ἀλλ' ὅ χάριν *BH sed quorsum β*. ‖ 37 τὸς ἄυλα *H*.

3 τὸν αὐτὸν κατέχειν . . . . . 8 οὐ κωλύεται om *A*. ‖ 7 βούλοιο τὸ λέγειν *H*. ‖ ἀλλ' ὅν scripsi cum Bonitzio: *saltem β* ἀλλ' ὁ *CH*. ‖ 9 τόπου *H*. ‖ 11 μὲν *CH*: δὲ *A*. ‖ 13 ποιοῦσιν ὁ *H*. ‖ 14 τινες om *β*. ‖ 15 παθητῶν *C*. ‖ 17 διαιρέσει *A*. ‖ 19 τῶν ἐν ἐκείνοις *BHβ*. ‖ τι om (*A*). ‖ 22 στερεὰ δὲ *BH* στερεὰ *β*: corr. Brandisius. ‖ 24 διεστάναι *BH perstitisse β*: correxi cum Bonitzio. ‖ Pl. Tim. p. 53C—55C. ‖ 25 πέντε τά τε πρὸς *BHβ*. ‖ 26 ἡρμηνεύεται *H*(*A*?) ἑρμηνεύεται *Bβ*. ‖ 27 δρασ. δυνάμεις δε καὶ δημ. *A*. ‖ 31 *omnium quae nostra sunt β*. εὐωνητότατον *H*. ‖ αριστοτέλη *H*: ἀριστοτέλους *A*. ‖ 32 ἄν τις om *AH*. ‖ κατ ἀλλὰ cum hiatu *H*. ‖ 36 ἐπισκοπείτω] ἐπεὶ *BHβ*. ‖ 37 τὸ αὐτοῦ *AH*.

ἐν τοῖς αἰθητοῖς εἶναι καὶ μηδεμίαν κεχωρισμένην". ἄλλας μὴ δυνάμεις βάλλει δηλῶν τὰ πέρατα τούτων, οἷον ἐπίπεδα καὶ γραμμάς, εἰ μὴ ἄρα καὶ τὰ τῇ ὀπτικῇ καὶ τῇ ἁρμονικῇ καὶ ταῖς συζυγίαις ἐπιστήμαις ὑποβεβλημένα περιλαμβάνει· ἀνάγκην δὲ οὐδ' ἡντινοῦν αὐτοῖς ἐπιφέρει τοῦ μηδεμίαν κεχωρισμένην τούτων ὑποτίθεται φύσιν. εἰ μὴ ἄρα ἐν μόνοις τοῖς αἰθητοῖς ὑπετίθεντο ταῦτα εἶναι, ἀλλ' οὐχὶ καὶ ἐν τοῖς ** καὶ ἔξω τῶν φαινομένων ἔν τισι λόγοις τούτων ἀποτελεστικοῖς. καὶ ταῦτα μὴ εἰρῆται καὶ πρότερον ἐν τῷ Β φησὶ πρὸς αὐτούς. ὁ δὲ νῦν ἐγκαλεῖ, τοιοῦτόν ἐστιν· εἰ γάρ, φησί, τὸ ἐν τῷ αἰθητῷ στερεὸν διαιρεθείη, πάντως ἐπιπέδῳ διαιρεθήσεται, οὐκοῦν καὶ τὸ ἐπίπεδον γραμμῇ καὶ ἡ γραμμὴ σημείῳ. ἀλλ' εἰ μὴ ἦν ἀκίνητα ταῦτα, καθάπερ ἐστὶ παρὰ τοῖς γεωμέτραις, οὐδὲν ἂν ἠκολούθησεν ἄτοπον· νυνὶ δὲ ἐπειδὴ ἐν αἰθητοῖς καὶ φυσικοῖς ὑπόκειται σώμασιν ὄντα, κινουμένης τῆς γραμμῆς κατὰ τὴν διαίρεσιν, ἀνάγκη καὶ τὸ σημεῖον διαιρεῖται· διαφέρει δὲ οὐδὲν ἢ αὐτὰ τὰ φυσικὰ σημεῖα καὶ ἀμερῆ λέγειν εἶναι καὶ ἀδιαίρετα ἢ ἐν αὐτοῖς εἶναι τοιαῦτα σημεῖα. δῆλον γὰρ ὅτι τὸ ἕν τινι οὐ διαιρεῖται ἄνευ τοῦ ὑποκειμένου, ὅταν ὡς ἐν ὑποκειμένῳ ἕν τινι λέγηται. ταῦτα μὴ ὁ Ἀριστοτέλης πρὸς ἀπίθανόν τε ἅμα καὶ ψευδῆ μαχόμενος ὑπόθεσιν καὶ διελέγχων αὐτὴν ἀνδρείως καὶ ἀποδεικτικῶς. ἡμεῖς δὲ ὑπονοοῦμεν μὴ παρά τινι τῶν πρεσβυτέρων τὸν ἀμερῆ μὴ ὄντα τῆς φύσεως λόγον, μεριζόμενον δὲ περὶ τοῖς σώμασι πάντῃ τε ἀδιάστατον ἅμα καὶ ἔτι ἀμερῆ λεγόμενον εὑρὼν ἀφορμὴν ἔσχε τοῦ πλάσαι ταύτην τὴν ὑπόθεσιν, εἰ μὴ ἄρα καὶ τοῦ τελείως ἐπεξελθεῖν τῷ διαιρετικῷ παντὶ χάριν εἵλετό τι καὶ πρὸς ταύτην εἰπεῖν τὴν δόξαν.

ἀλλ' ἐπειδὴ πρὸς τοὺς ἐν τοῖς αἰθητοῖς ἀποτιθεμένους τὰ τῇ γεωμετρίᾳ καὶ ταῖς ἄλλαις μαθηματικαῖς ὑποβεβλημένα διείλεκται, ἴδωμεν ὅπως καὶ τοῖς χωρίζουσιν αὐτὰ τῶν αἰθητῶν
10766 προσφέρεται. "ἀλλὰ .. δυνατὸν ἕως τοῦ ὥστε εἶναι γένη
11. τῶν μαθηματικῶν ἀριθμῶν". ἐν δὴ τούτοις πειρᾶται μὴ ὑπόθεσιν ἀρέσκουσαν τοῖς αὐτοῦ πρεσβυτέροις φιλοσόφοις διελέγχειν, λέγει δὲ πρὸς αὐτὴν ἀποδεικτικὸν μὴ οὐδέν, ὅσα δ' ἂν τὸν ἰδιώτην καὶ μὴ παρεπόμενον ταῖς ἐκείνων διανοίαις θορυβήσειεν. εἰ γάρ, φησίν, ἔσται σώματα παρὰ τὰ αἰθητά, ἔσται καὶ ἐπίπεδα διττά, τά τε ἐν τοῖς σώμασιν ἐκείνοις καὶ τὰ καθ' αὑτά· καὶ γραμμαὶ τριτταί, αἵ τε ἐν τοῖς στερεοῖς καὶ αἱ ἐν τοῖς ἐπιπέδοις καὶ αἱ καθ' ἑαυτάς· καὶ κατὰ τὸν αὐτὸν λόγον στιγμαὶ μὴ τετραπλαῖ, μονάδες δὲ αἱ πρὸ τῶν στιγμῶν πενταπλαῖ, καὶ ὅλως ἀεὶ τὰ πρότερα καὶ ἁπλούστερα πολλαπλασιώτερα. ταῦτα δὲ διαβολὴν μὴ ἐργάζεται παρὰ τῷ πολλῷ συρφετῷ τοῦ δόγματος, εἰς ἄτοπον δὲ οὐκ ἔστιν ἀπαγωγή· δέξονται γὰρ οἱ ἄνδρες ἐν τοῖς ὑστιώδεσι λόγοις τῆς ψυχῆς καὶ διακεκριμένως ὑπάρχειν ταῦτα καὶ ἡνωμένως, καὶ οὐδὲν ἄτοπον τὴν στιγμήν, μᾶλλον δὲ τὸν τῆς στιγμῆς λόγον καὶ ἀμιγῆ εἶναι πρὸς τὰ ἑξῆς καὶ συντελεῖν εἰς τὴν τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου καὶ τοῦ τριχῇ διεστῶτος οὐσίαν· τὴν γὰρ τῶν ἀσωμάτων εἰδῶν ἕνωσίν τε καὶ διάκρισιν ἀπανταχοῦ κεχεδὸν οἱ ἄνδρες βεβαιοῦσι καὶ πρεσβεύουσι. καὶ ταὐτὸν ἓν καὶ πλῆθος εἶναι τάχα μὴ καὶ ἐν τοῖς αἰθητοῖς συγκεχωρήται, διαφερόντως δὲ ἐν τοῖς διανοητοῖς εἴδεσι καὶ ἔτι πολὺ πρότερον ἐν τοῖς νοεροῖς ἀποδέδεικται λίαν ἐναργῶς παρὰ τοῖς πρεσβυτέροις, ὑπέμνησαι δὲ μετρίως καὶ παρ' ἡμῶν ἐν τοῖς εἰς τὸ Β γραφεῖσιν, ὅ δὴ καὶ ποῖον μὴ σημεῖον γραμμῆς καὶ ἐπιπέδου καὶ τιμιώτερόν ἐστι καὶ τελειότερον, ποῖον δὲ ἀτελέστερον καὶ καταδεέστερον, εἰπεῖν ἐπειράθημεν· κωλύει γὰρ οὐδὲν τὸ μὴ ὡς ἁπλούστερον εἶναι σεμνότερον καὶ ἀρχηγικώτερον, τὸ δὲ ὡς συντελοῦν εἰς ὅρον τοῦ συνθετωτέρου καὶ περιγραφὴν ὑπάρχειν καταδεέστερον· ὥσπερ δὴ καὶ μονὰς ἡ μέν ἐστι πανταχοῦ ἀριθμοῦ περιέχουσα ἐν ἑαυτῇ παραδειγματικῶς πάντα τὰ εἴδη τῶν τε ἀρτίων καὶ τῶν περιττῶν, ἡ δὲ μόριον εἰ τύχοι πολλοστὸν τῆς ὑποβεβλημένης τοῖς ἀριθμοῖς ποσότητος. εἴρηται μὴ οὖν περὶ αὐτῶν τὸ ἀληθές· εἰ δέ τις καὶ πέρα τοῦ μέτρου τὴν παρὰ τοῖς ἰδιώταις διαβολὴν εὐλαβούμενος μὴ διδοίη πολλαχῶς εἶναι τοὺς τῶν διαστατῶν καὶ ἀδιαστάτων λόγους ἐν τῇ ψυχῇ, δύναιτο ἂν καὶ αὐτὸς λέγειν πρὸς αὐτὸν ὅτι οὐκ ἀνάγκη τέτταρα μὴ εἶναι σημεῖα, τρεῖς δὲ γραμμάς, ἐπίπεδα δὲ δύο, ἀλλ' ὥσπερ τὸ α στοιχεῖον καὶ ἐν συλλαβῇ καὶ ἐν λέξει καὶ ἐν λόγῳ ἓν ὂν τῷ εἴδει καὶ ταὐτὸν θεωρεῖται καὶ τὴν αὐτὴν ἔχει φύσιν ἀπανταχοῦ, οὕτω καὶ ἡ στιγμὴ καὶ ἡ γραμμὴ καθ' ἑαυτάς τε καὶ μετὰ τῶν συνθετωτέρων ἓν καὶ τὸ αὐτὸ εἶδος διασώζουσι· καὶ ὥσπερ ἡ γραμματικὴ τὴν τοῦ καθ' αὑτὸ α δύναμιν κατανοήσασα οἷδε καὶ τὸ ἐν συλλαβῇ καὶ τὸ ἐν λόγῳ, τοῦτον τὸν τρόπον καὶ τῶν ἐπιστημῶν αἱ μαθηματικαὶ τὰ καθ' ἑαυτὰ ἐπιστάμεναι καὶ τὰ μεθ' ἑτέρων γινώσκουσιν. ἀποκεκρίσθω οὖν αὐτῷ καὶ πρὸς τὴν ἄφυκτον ὡς οἴεται πρότασιν· ἠρώτησε γὰρ περὶ ποῖα τούτων ἔχουσιν αἱ ἐπιστῆμαι. πόθεν δὲ καὶ γένη πολλὰ εἶναι τῶν μαθηματικῶν ἀριθμῶν συλλογίζεται; γένη μὴ γὰρ ἀριθμῶν πολλὰ συγχωρητέον εἶναι

2 ἄλλας . . . 4 περιλ. ex Alexandro p. 701, 20 petita. ‖ 2 ἄλλας μὲν δυν. om β. ‖ 4 περιλαμβάνειν *AHβ*. ‖ *necessitatem* β ἀνάγκη *BH*: correxi cum Bonitzio. ‖ 6 ἀποτίθεσθαι *BH*: correxi ex β, cf. infra l. 14. ‖ 7 unius uocabuli iacturam notat *B*, continuat *H*: *in immaterialibus* β. fort. διανοητοῖς. ‖ 9 καὶ πρότερον om β. ‖ 11 γραμμὴ *H*. ‖ 12 ἀλλ' εἰ μὲν ἦν om β. ‖ ταῦτα sic *H*. ‖ 13 γεωμέτροις *H*. ‖ 17 ταῦτα σημ. *BHβ*: correxi cl. Alex. p. 702, 24. ‖ σημεῖα om *H*. ‖ 19 λέγεται (*A*)*H*. ‖ 28 ὑποβεβλημένα *Hβ*: ἀποβεβλ. *B*. cf. b22. ‖ 30 γένη ἄπειρα τῶν scr. ‖ 37 γραμμαὶ διτταὶ ἔν τε τοῖς *H*. ‖ καὶ ἐν τοῖς ἐπιπέδοις *BH*: αἱ inserui cum β.

2 πρότερα] *priora* β πρῶτα *B* πρῶ cum hiatu H litterarum *H*. ‖ ταύτην διαβολὴν β. ‖ 3 τῷ π. συρφετῷ: Plato Gorg. p. 152 C. ‖ 4 ἀγωγὴ *H*. ‖ 5 ὑπάρχει *H*. ‖ 7 sq. εἰς τὸν γραμμῆς *AH*. ‖ 8 αἰτίαν *BHβ*. ‖ 14 cf. p. 843 b1—14. 863 a27 sq. ‖ 16 ποῖον δὲ ἀτελέστερόν ἐστι καὶ τελειότερον. ποῖον δὲ ἀτελέστερον καὶ καταδεέστερον, εἰπεῖν ἐπιάθημεν *H*. ‖ 20 πραγματικῶς *H*. ‖ 21 τῶν ἀρτίων *H*. ‖ καὶ τῶν *H*: καὶ *B*. ‖ ἡ δὲ] εἰ δὲ *H*. ‖ 23 μέτρου *CH*: μετρίου *A* ut legitur p. 849 a17. (*immoderate* β). ‖ 24 μὴ δεδοίη *H* μηδὲ δοίη *A*. ‖ 25 καὶ ἀδιαστάτων om *AHβ*. ‖ 27 ἡ δὲ γραμμαὶ· ἐπίπεδα δύο *H*. ‖ 32 δύναμιν α *B* δύναμιν ἄλφα *H*. ‖ οἷδε] οἱ δὲ *H*. ‖ 34 μαθηματικαὶ καὶ τὰ *B*: καὶ om *H*. ‖ καθ' αὑτὰ *H*. ‖ 37 πολλαὶ *H*. ‖ 38 συλλογίζεται . . . ἀριθμῶν om *A*.

παρ' ὅσον ἑκάστη τάξις τῶν ὄντων οἰκείοις ἀριθμοῖς διακεκόσμηται· μαθηματικῶν δὲ γένη, εἰ μόνας τὰς μοναδικὰς μαθηματικὰς εἶναί τις λέγοι ἀλλὰ μὴ καὶ τὴν αἰτίαν αὐτῶν τὴν ἐν διανοίᾳ, πῶς ἂν εἴη πολλά; εἰ μὴ ἄρα καὶ τὰς στιγμὰς μονάδας εἶναι βούλοιτο καὶ τετραχῶς αὐτῶν ὁρωμένων ἐκ πασῶν αὐτῶν ἀριθμὰς πλέκοι· τοῦτο δὲ σκῶμμα ἂν εἴη μᾶλλον ἢ ἔλεγχος.

10766 39. "ἔτι ἅπερ .... κίνησιν". πάντων ἔν τε ταῖς θείαις καὶ οὐρανίαις ψυχαῖς καὶ ἔτι ἐν ταῖς ἡμετέραις οἰκείως παρ' ἕκαστα ὡς περιεχομένων τῶν εἰδῶν καθόλου, πρὶν καὶ τὸ σωματοειδὲς τοῦ κόσμου μερικῶς αὐτῶν ἀντιλάβηται, γελοῖον ἐφ' ἑκάστῳ ζητεῖν, πόθεν ἔσται ἄλλος οὐρανός, ἢ πόθεν ἔσται ἄλλος ἥλιος ἤ τι τῶν εἰς τὴν ἐμφανῆ συντελούντων διακόσμησιν. ὅτι δὲ ταῦτα οὐ μοναχῶς ἀλλ' ὀλίγου δεῖν λέγειν ἀπειραχῶς ἐν τοῖς οὖσιν ἔστι, πάλαι καὶ πρόπαλαι θεολόγων τε καὶ φιλοσόφων διεχωριζομένων οὐδὲ ἀκολουθεῖν ἐθέλει. ἀλλ' ὡς ἄτοπον προφέρει τὸ καὶ ἕνα μόνον οὐρανὸν ὑπὲρ τοῦτον εἶναι τὸν αἰσθητόν. ἐὰν δέ τις οὐρανοῦ τε ὑπὲρ ἀστρονομεῖν λέγῃ τὴν τοῦ μὴ πλαστῶς φιλοσοφοῦντος ψυχὴν καὶ πάντα τὰ ὄντα νοητῶς θεωρεῖν, ἴσως ἀγανακτήσει, μήτε ταῖς ἰδέαις προσιθέμενος μήτε ἐνεργείᾳ τὴν διανοητικὴν ψυχὴν ἔχειν τὰ εἴδη βουλόμενος, ἀλλ' εἴπερ ἄρα, δυνάμει. πῶς οὖν ἔτι αἱ ἀποδείξεις ἐκ τῶν πρώτων καὶ οἰκείων αἰτιῶν ἔσονται τοῖς ἀστρονόμοις, εἰ μὴ ἐκ τῶν καθόλου λόγων, οὓς ἔχουσιν αἱ μὴ ἡμέτεραι γνωστικῶς, αἱ δὲ θεῖαι γνωστικῶς τε ἅμα καὶ δημιουργικῶς, προΐοιεν; ἢ γὰρ τοῦ ἀποδεικνύναι τι τοὺς ἀστρονόμους καὶ τοὺς μαθηματικοὺς πάντας καὶ πρὸς τούτοις τοὺς φυσικοὺς ἀπογνωστέον, καὶ τοῦ τὰς ἀποδείξεις ἐξ αἰτίας γίγνεσθαι οὐ τῆς τοῦ συμπεράσματος μόνης, ἀλλὰ καὶ τῆς τοῦ πράγματος ἀποστατέον, ἢ μέχρι περ ἂν ἀμφότερα ταῦτα μένῃ, δεῖ καὶ τὰς αἰτίας ἐν καθόλου τισὶ λόγοις προϋπάρχειν τῶν κατ' οὐρανὸν καὶ κοῦ πᾶσαν τὴν φύσιν ἐπιτελειουμένων. ὅλως δὲ οἱ τὰ μὴ αἰσθητὰ συγχωροῦντες εἶναι καὶ ὄντως εἶναι λελήθασι τὴν ψυχὴν ἀτιμοτέραν τῆς ὕλης ἀπο-

1077a 4. φαίνοντες, ὥς πού φησι καὶ ὁ γενναῖος Ἀμέλιος. "ὁμοίως .... ἕκαστα". καὶ οὐδὲν ἄτοπον ἐν λόγοις εἶναι πάντα ταῦτα καὶ ἐν τοῖς εἰδώλοις τῶν λόγων, τοῖς φανταστοῖς, οὐ μόνον πρὸ τῶν αἰσθητῶν ἀλλὰ καὶ πρὸ τῶν φυσικῶν λόγων τῶν διαμορφούντων τὰ αἰσθητά. ὁ δὲ τούτων συγχωρουμένων ἐπάγει ὥς τι τῶν ἀτοπωτάτων τὸ καὶ ζῷα ἄλλα ἔσεσθαι, εἴπερ καὶ αἰσθήσεις· ὅτι δὲ τὸ αὐτοζῷον πάντα ὅσα νοητὰ ζῷα ἐν αὐτῷ περιέχον αἴτιόν ἐστι τῶν τε ἐν τῷ ψυχικῷ διακόσμῳ ζῴων καὶ τῶν ἐν τῷ αἰσθητῷ, πάλαι λέγοντος αὐτῷ τοῦ διδασκάλου ὡς μηδὲ ἀκηκοὼς εἰδέναι τι περὶ τῶν τοιούτων προσπεποίηται. δυνατὸν μὴ ὂν καὶ τοῖς συνημμένοις αὐτοῦ μὴ ἐπιτρέπειν· οὐ γὰρ εἰ τὰ αἰσθητὰ αἰτίας ἔχει προϋπαρχούσας, ἤδη συζυγεῖ ταῖς αἰτίαις τῶν αἰσθητῶν ἡ αἴσθησις, οὐδ' εἰ αἰσθησίς ἐστιν ἑτέρα ἐν ψυχῇ καὶ νῷ δημιουργικῷ, ἤδη τοῦτο καὶ ζῷον ἀποφαίνεται τὸ αἰσθανόμενον· οὐ γὰρ ἴσως πᾶν αἰσθητικὸν ζῷον ἀλλὰ τὸ ἔξωθεν πᾶν ἅμα καὶ κινούμενον· οὐδὲ πᾶσα αἰτία αἰσθητοῦ αἰσθήσει λεπτή, ἀλλ' ἥτις ἀτομός ἐστι καὶ σύνεστι τῷ οἰκείῳ ἀποτελέσματι. δυνατὸν δὲ καὶ συγχωρήσαντα πᾶσι τούτοις, ἐπειδὴ καὶ αἰσθήσεις οὐ κοῦ τὴν λογικὴν ἐπιτελεῖσθαι μόνην τοῦ παντὸς ψυχήν, ὡς ὁ Τίμαιος παραδίδωσιν, ἀκηκόαμεν· ἀλλὰ γὰρ καὶ δημιουργικήν τινα παρὰ τοῖς θεολόγοις αἴσθησιν ὑμνουμένην πεπιστεύκαμεν εἶναι, ἧς καὶ οἱ κατ' οὐρανὸν εἴδωλον ἔχουσιν, αἴσθησιν καὶ αὐτοὶ τοῖς κόσμοις ἐπάγοντες κοῦ τὸ λόγιον ** δέχεσθαι τὸ ἑπόμενον, τὸ καὶ ζῷα ἕτερα εἶναι. καὶ ἵνα μὴ νῦν τὰ παρ' ἄλλοις εἰρημένα μαρτυρῶμαι, αὐτὸς ἐν τῷ Κ τὸν πρῶτον νοῦν ζῷον ἐκάλεσε· δῆλον οὖν ὅτι τῶν ἄλλων ἡμῖν ἕκαστον εἰ καὶ μὴ πρῶτον, ἀλλ' οὖν ζῷον νοερὸν καλεῖν οὐκ ἂν ἴσως ἀπαξιώσειε. καὶ ἐν τοῖς Ἠθικοῖς δὲ τὸν κυρίως ἄνθρωπον νοῦν εἶναι σαφῶς ἠβούλητο. εἰ τοίνυν ὁ μὴ νοῦς ὁ ἐν ἡμῖν ἄνθρωπός ἐστιν ὁ κυρίως, πᾶς δὲ ἄνθρωπος ζῷον, οὐκ ἄδηλον τὸ συναγόμενον. δεδέγμεθα οὖν πάλιν τὸ εἶναι καὶ ἄλλα ζῷα παρὰ τὰ αἰσθητά, ἑτέρως μέντοι εἶναι καὶ οὐχ οὕτως ὡς τὰ αἰσθητά· ὧν εἴ τις τὰς γνώσεις αἰσθήσεις ἐθέλει καλεῖν καὶ τὰ γνωστὰ αἰσθητά, οὐς αἴτια μέντοι τῶν κυρίως αἰσθητῶν, φθόνος οὐδεὶς τῶν ὀνομάτων· μόνον δηλώσω σαφῶς, ἐφ' ὧν ἑκάστοις αὐτῶν κεχρήμεθα. "ἔτι γράφεται .... αἰσθητῶν". τὸ μὴ 1077a 9. "γράφεται" δείκνυται δηλοῖ· τὸ δὲ ἐπιχείρημα πᾶν τοιοῦτον· εἰ δείκνυταί τινα παρὰ τοῖς μαθηματικοῖς καὶ τοῖς φυσικοῖς διὰ τῶν καθόλου λόγων καὶ διά τινων ἀξιωμάτων (οἷον διὰ τοῦ "ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενά ἐστιν ἴσα" καὶ διὰ τοῦ

3 εἶναι om *Cβ*. ‖ λέγοι *Hβ*: λέγει *B*. ‖ αἰτίαν om *B*. ‖ 8 ὡς om *β*. deesse aliquid uidetur; fort. ὡς προείρηται. ‖ 13 ἀπειραχῶς (*A*)*H*. ‖ 15 ἐθέλειν *H*. ‖ προφέροιτο· καὶ *H*. ‖ οὐρανὸν μόνον *Aβ*. ‖ 17 ὑπὲρ ἀστρονόμων *H* ὑπεραστρονομεῖν *B*. cf. supra p. 849 b 6. ‖ 19 *cum .... ideis assentiat β*: ἰδέαις τιθέμενος *BH*, cf. p. 843 b 18. fuit qui τὰς ἰδέας τιθέμενος coniceret. ‖ διανοητὴν *BH intellectualem β*. em. Bonitzius. ‖ 20 δυνάμει *A*. ‖ 21 αἰτίων *H* ut olim conieceram: καὶ αἰτίων *Bβ*. ‖ 24 εἰ γὰρ *β*. ‖ 28 ταῦτα μὲν δὴ καὶ *β*. ‖ καὶ αἰτίας *AH*. ‖ 30 ἐπιμελουμένων *H*. ‖ 31 ὄντως] ὅτως *BHβ*. ‖ 32 uidetur alterum intercidisse membrum, cf. l. 30 τὰ μέν.

4 καὶ ἐν τῷ (om. τῶν) *H*. ‖ 6 εἶναί τι *B*: εἶναι *H* τι *β* qui sic uertit *ut et qui ipse ac si nihil de huiuscemodi rebus audiuisset, ita finxit*. ‖ 7 συνημένοις *B*. ‖ 8 συζυγεῖται ταῖς *AH*. ‖ 9 οὐδ' εἰ αἴσθησις om *H*. ‖ ἐστιν ἑτέρως *AHβ*. ‖ 11 fort. πᾶν τὸ αἰσθητικόν. ‖ 12 ἅμα κινούμενον *BH*: καὶ cum *β* (*quod extrinsecus est pariter ac mouetur*) et Bonitzio inserui. ‖ πᾶσαι αἰτίαι *H*. ‖ 13 ἥ τις *H* εἴ τις *Aβ*. ‖ 14 αἴσθησις *BH* αἴσθησιν *β*. ‖ 15 μόνον *H*. ‖ ὁ om *A*. ‖ Pl. Tim. p. 37. ‖ 17 ὑμνομένην *H*. ‖ ἧς] οἷς (*A*)*H*. ‖ 18 *simulachrum habentes sensum ipsi quoque mundis inferunt β*. ‖ 19 κατὰ τὸ λόγιον *BH*: *rationabiliter β*. Syr. Chaldaicum oraculum respicere uidetur cuius mentio extat apud Proclum ad Crat. p. 56 Boiss. καὶ ἡ μυστικωτάτη παράδοσις καὶ αἱ παρὰ τῶν θεῶν φῆμαι λέγει ὡς "δυὰς παρὰ τῷδε κάθηται" καί φησιν ... "νῷ μὲν κατέχειν τὰ νοητά, αἴσθησιν δ' ἐπάγειν κόσμοις". ‖ δέχεσθαι *Bβ* δεδέσθαι *H*: hiatum notaui; forsitan Syr. scripserit ὥστε δεδόσθαι κτλ. ‖ 20 παρ'] πάλαι (*A*). *ab aliis β*. ‖ 21 immo Λ 7 p. 1072 b 29. ‖ οὖν om *H*. ‖ 23 eth. Nicom. Z 2 p. 1139 b 4 sq. c. 6. ‖ 24 νοῦν] *intellectualem β*. ‖ 26 πάλαι *C*. ‖ 32 εἰ] ἐπεὶ Alexander p. 705, 32 unde εἰ ... p. 884 a 4 χωρισὰ Syr. compilauit. ‖ 33 καὶ τοῖς φυσικοῖς om Alex. ‖ διὰ τῶν καθόλου λόγων om *H*. ‖ 35 καὶ διὰ τοῦ om *β*.

"ἐὰν τέτταρα ᾖ ἀνάλογον, τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐςὶ τῷ ὑπὸ τῶν μέσων" καὶ ἄλλων πολλῶν τοιούτων), ἀνάγκη, φησίν, ὄντων μεγεθῶν καὶ ἀριθμῶν χωριςῶν καὶ τὰ ὑπὸ τῶν τοιούτων ἀξιωμάτων δηλούμενα εἶναι χωριςά, ὑπέρτερα μ̄ ὄντα τῶν μεγεθῶν καὶ τῶν ἀριθμῶν τῶν μαθηματικῶν, κυλλότερα δὲ τῶν ἰδεῶν, ὡς μεταξὺ τετάχθαι τοῦ τε αὐτομεγέθους καὶ τοῦ μαθηματικοῦ μεγέθους. τοῦτο δὲ αὐτὸς μ̄ ὡς ἀδύνατον ἀποδοκιμάζει, ἵνα τὸ ἡγούμενον ἀνέλῃ, τὸ εἶναι χωριςὰ τὰ μαθηματικά. ἔςι δέ πως ἀληθές· τῶν γὰρ ἐν ψυχῇ λόγων οἱ μέν εἰσιν ἁπλούςεροι καὶ καθολικώτεροι καὶ τῶν ἄλλων περιληπτικώτεροι καὶ διὰ τοῦτο τῷ νῷ προσεχέςεροι καὶ τῶν μερικωτέρων σαφέςεροι καὶ γνωριμώτεροι, οἱ δὲ πᾶσι τούτοις ἀπολειπόμενοι καὶ ὑπὸ τῶν πρεσβυτέρων συνεχόμενοι καὶ συντιθέμενοι καὶ πληρούμενοι· τί οὖν ἄτοπον, μᾶλλον δὲ πῶς οὐκ ἀναγκαῖον, εἴπερ τότε ἀληθεύουσιν αἱ ἔννοιαι ὅταν ἐφαρμόζωσι τοῖς πράγμασιν, ἀληθοῦς ὄντος τοῦ ἀξιώματος τοῦ λέγοντος "ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἔςαι ἴσα" εἶναί τινα λόγον ᾧ τοῦτο πρώτῳ ὑπάρχει, ὃς οὔτε μεγέθους ἐςὶ λόγος οὔτε ἀριθμοῦ οὔτε χρόνου, περιεκτικὸς δὲ τούτων ἁπάντων καὶ τῶν ἄλλων ὅσοις ὑπάρχειν τὸ ἀξίωμα πέφυκεν, εἶναι μέντοι οὐκ ἐν τόπῳ οὐδ' ὅλως ἐν τοῖς αἰθητοῖς; πῶς γὰρ τό γε καθόλου καὶ ἁπλούςατον καὶ διὰ τοῦτο ἀναπόδεικτον εἴη ἂν ἐν ὕλῃ τῇ τὴν ἄτομον τῶν εἰδῶν ἔμφασιν ἀγαπητῶς ἐπιδεχομένῃ; εἰ γὰρ δὴ μὴ τοῦτο καταδεξαίμεθα, πῶς ἂν ἔτι σωθείη τὸ πᾶσαν αἰτίαν ἀποδεικτικὴν πρώτῳ ὑπάρχειν τινί, ᾧ καὶ συνεξισοῦται καὶ καθόλου ἐςίν, ὡς εἴωθας αὐτὸς ἐν τοῖς Ἀποδεικτικοῖς τὸ καθόλου θεωρεῖν; διὰ ποίαν δὲ αἰτίαν ἔτι σαφέςερα ἔςαι καὶ γνωριμώτερα τῶν μερικωτέρων καὶ ἀποδεικτῶν τὰ ἀξιώματα, εἴπερ ἀπὸ τῶν τελευταίων αὐτὰ δι' ἐπαγωγῆς ἡμεῖς ὑφίςαμεν οὐκ ὄντα πρότερον; πῶς δὲ συμφωνοῦμεν κατ' αὐτά, εἰ μὴ κατ' οὐσίαν ἡμῶν ἐν ταῖς ἐννοίαις προείληπτο; ἃ γὰρ δὴ λαμβάνομεν ἐκ τῶν αἰθητῶν, περὶ ταῦτα οὐκ ἀνάγκη ἡμᾶς ὁμογνωμονεῖν, οἷον ὡς εἰ ἐγὼ μ̄ τὸ τοῦ Σωκράτους ἔχοιμι φάντασμα, ὁ δὲ τὸ τοῦ Ἀλεξάνδρου· πῶς δέ, τὸ σὸν δὴ τοῦτο καὶ πάντων ὡς εἰπεῖν ἀληθέςατον, ἡ κατ' ἐνέργειαν ἐπιςήμη ἡ αὐτὴ τῷ ἐπιςητῷ, εἰ μὴ πάσῃ γνώσει σύςοιχον εἴη τὸ γνωςόν, καὶ διαφέροντως τῇ τῶν ἀξιωμάτων ἐννοίᾳ συνυπάρχοι καθολικώτατος λόγος, πρῶτος δεχόμενος τὴν τοῦ ἀξιώματος ἐπιβολὴν καὶ περίληψιν; ὡς γὰρ αὐτὸ τἀγαθὸν τὴν νόησιν καὶ ὑφίςησι καὶ ἑνοῖ πρὸς τὸ νοητόν, καὶ ὡς τἀγαθοῦ τόκος τε καὶ ἔκγονος ὄρεξιν καὶ ὀρεκτὸν ὑφίςησί τε κᾧ ταὐτὰ καὶ συνταττει πρὸς ἄλληλα, οὕτω καὶ ὁ τὸ μέσον ἀμφοῖν ἀναπληρῶν πλάτος, ὁ πολυτίμητος νοῦς, ἐπιςήμην καὶ ἐπιςητὸν παράγει καὶ εἰς ταὐτὸν ἄγει καὶ πρὸς ἄλληλα συμπλέκει, οὐδαμοῦ θάτερα πρὸ τῶν ἑτέρων ὑφιςάς, ἵνα μὴ καὶ τὰ ὑποςάντα κολοβὰ ᾖ καὶ ἀτελῆ καὶ διάκενα. ἀλλ' ἵνα μὴ περὶ ταῦτα διατρίβοντες ἔξωθεν ἄλλην θεωρίαν συνεπεισφέρωμεν, πῶς ἔτι, τὸ ὑπὸ σοῦ διαρρήδην συγχωρούμενον, νοῦς τὰς ἀρχὰς ἐνδίδωσι τῆς ἀποδείξεως τῇ ψυχῇ, εἰ μὴ κατ' οὐσίαν αὐτὰς ἐννοίαις ἡμῶν εἴημεν προειληφότες; οὐ γὰρ δὴ ὧν ἡ γένεσις κάτωθεν, τούτων ὁ νοῦς ἡμῖν χορηγὸς γίγνεται. ἢ οὖν κύκλῳ ἡ ἀπόδειξις ἀπὸ μ̄ τῶν μερικωτέρων λαμβανόντων ἡμῶν καὶ ὑφιςάντων τὰ ἀξιώματα, ἀπὸ δὲ τῶν ἀξιωμάτων ἀποδεικνύντων τὰ μερικώτερα· ἢ ἐπεὶ ἐκ προτέρων αἱ ἀποδείξεις, ἀπὸ νοῦ μ̄ αἱ ἁπλούςεραι τῶν ἀξιωμάτων ἔννοιαι, ἀπὸ τούτων δὲ συντιθεμένων ἡ ποικιλία τῶν εἰδῶν ἐν ἡμῖν ὑφίςαται· πάλιν μ̄ καὶ αὕτη κᾧ νοῦν καὶ ἀπὸ νοῦ (τί γὰρ ὧν ἔχομεν κατ' οὐσίαν οὐκ ἐκεῖθεν;), ἀλλὰ γὰρ καὶ διὰ τῶν ἁπλουςέρων εἰδῶν καὶ λόγων τῶν μερικωτέρων παραδεχομένων τὴν ὑπόςασιν. καὶ οὕτω λέγοντες μόνως ἡμῖν αὐτοῖς συμφωνήσομεν, ὅταν ἀπ' αἰτίων τῶν πρώτων τὰς ἀποδείξεις ἀποτελεῖσθαι λέγωμεν. "ὅλως δὲ ... ἐμψύχου". ἐκεῖνοι μ̄ οὔτε ἑαυτοῖς οὔτε τοῖς πράγμασιν ἀσύμφωνοι· οὔτε γὰρ ἀτελὲς τὸ ἐν τῇ διανοίᾳ εἶδος τοῦ μεγέθους οἷον εἶναι ἢ τὸ ἐν τῇ φαντασίᾳ τῷ εἴδει τούτῳ μέγεθος συνυφιςάμενον, οὔτε ἄψυχον· πῶς γάρ, ὅ γε ἐν τῇ ψυχῇ ἵδρυται; ἡμεῖς δὲ πῶς ἡμῖν αὐτοῖς συνῳδὰ πρεσβεύσομεν, ὅταν καὶ αἴτια λέγωμεν εἶναι τῶν πραγμάτων, δι' ὧν αἰτίων καθ' αὐτὰ ὑπαρχόντων ἀποδείξεις, καὶ μὴ διδῶμεν οὐσίαν τούτοις (εἰ μὴ ἄρα τὸ ἀνούσιον τῆς οὐσίας αἴτιον), ὅταν τε πρότερα μ̄ τῇ φύσει τὰ καθόλου πολλάκις ἀποφαινώμεθα εἶναι ὡς συναναιροῦντα μ̄ οὐ συναναιρούμενα δέ, καὶ πάλιν αὐτὰ ταῦτα ἐξ ἀφαιρέσεως τῶν αἰθητῶν τὴν ὑπόςασιν ἔχειν διαχωριζώμεθα; εἰ μ̄ γὰρ διττὸν τὸ καθόλου, τὸ μ̄ αἴτιον τοῦ αἰθητοῦ τὸ δὲ ὑςερογενές, φίλα ἂν λέγοις καὶ τῷ πατρὶ καὶ πᾶσι τοῖς ἀπὸ Πυθαγόρου· καὶ δέχου καὶ τὸ μέγεθος εἶναι διττόν, τὸ μ̄ ἐν λόγῳ διανοητικῷ, ᾧ καὶ τὸ φανταςικὸν εἶδος αὐτοῦ συνυφίςαται, τὸ δὲ ἐξ ἀφαιρέσεως τοῦ αἰθητοῦ, καὶ περὶ μ̄ τὸ ἐξ ἀφαιρέσεως μὴ λέγε διατρίβειν τὴν γεωμε-

1077a 14.

1 ἴσόν ἐςι (*A*)*H*. ‖ 2 τοιοῦτον *H*. ‖ 3 τὰ ἀπὸ *B* τὸ ἀπὸ *H*. ‖ 5 κοιλότερα *BH depressiora β*. ‖ 7 δοκιμάζει *Aβ* δοκιμάζειν *H*. ‖ 9 ἀληθέσι *H*. ‖ 10 παραληπτικώτεροι *H*. ‖ 14 οὐκ om *β*. ‖ 16 καταλιπόμενα *H* ἀπολειπόμενα *C*. ‖ 17 ᾧ τοῦτο scripsi cum *β*: ᾧ τούτῳ *C* ὡς τοῦτο *AH*. ‖ πρώτῳ scripsi cum *β* cf. infra l. 24: πρώτως *B* πρώτ ς sic *H*. ‖ ὑπάρχοντα *A*. ‖ 18 λόγος om *H*. ‖ 22 ἀγαπητῶς] *diligenter β*. ‖ 23 μὴ om *AHβ*. ‖ 24 πρώτῳ scripsi cum *β*: πρώτως *BH*. cf. Ar. anal. post. I 4 p. 73 b40. ‖ ὑπάρχει *H*. ‖ ᾧ *C*: ὡς *AHβ*. ‖ συνεξισοῦσθαι *Aβ*. ‖ 26 τὸ καθόλου *β* ut Brandisius coniecerat: τοῦ καθ. *BH*. ‖ 27 ἀποδεικτικῶν *AH*. ‖ 29 κατὰ ταυτά *H*. ‖ 33 ὁ δὲ τοῦ *BH*. ‖ 36 ἔννοια *H*. ‖ συνυπάρχει *AHβ*. ‖ 37 ἐπιβολὴν *H*.

2 ἔγγονος *BH foecunditas β*. cf. Plat. rei p. VI p. 507 A. ‖ ὄρεξιν καὶ ὀρεκτὸν cum *β* Bonitzius: ὅρασιν (ὅρασις *H*) καὶ ὁρατὸν libri. ‖ 6 συνιςὰς *A*. ‖ 9 πῶς ἔςι τὸ *Aβ*. ‖ ὑπό σου *BH*. ‖ 12 ἡμῖν ὁ νοῦς *AHβ*. ‖ 13 ἀπὸ τῶν *A*. ‖ 18 ἔχομεν *Hβ* ἔχοιμεν *B*. ‖ ante ἀλλὰ hiatus subesse videtur. ‖ 20 μόνον *A*. ‖ 21 ἐπιτελεῖσθαι (*A*)*H*. ‖ λέγομεν (*A*) λέγων *H*. ‖ 22 μὲν ὅτι ἑαυτοῖς *CH*. ‖ 24 οἶονται *Aβ* οἷόν τε *CH*. ‖ 25 ὅ γε Bonitzius: οὔτε *BH*. *quo enim pacto? cum in anima locentur? β*, unde εἴ γε conieceram. ‖ ἐν ψυχῇ *H*. ‖ 27 εἶναι λέγωμεν *A* εἶναι λέγομεν εἶναι *H*. ‖ 28 δίδομεν *BHβ*. ‖ 29 οὐσίας *CHβ*: αἰτίας *A*. ‖ πρότερον μὲν *A*. ‖ 30 ὡς om (*A*)*H*. ‖ συναιροῦντα (*A*). ‖ 31 συναιρούμενα (*A*)*H*. ‖ 33 *dices β*: λέγοι *BH*. ‖ 35 καὶ φανταςικὸν *BH*: τὸ addidi. ‖ 37 λέγειν *A*, *H*.

τρίαν· ὐδὲν γὰρ ἔχει ἀκριβὲς μετὰ τοῦ μηδὲν ἑωρακέναι ἡμᾶς ποτε μήτε πολύγωνα τοσαῦτα καὶ τοιαῦτα, οἷα ἐπίπεδα ἡ γεωμετρία θεωρεῖ, μήτε πολύπλευρα οὕτω ποικίλα *οἷα* ἡ στερεομετρία ἐπισκέπτεται, ἢ γωνιῶν διαιρέσεις ἢ πλευρῶν ἢ ἐμβαδῶν καὶ ὅσων λόγοι μέν εἰσι πλήρεις θεωρημάτων, ὕλη δὲ ἀνεπίδεκτος· περὶ δὲ τὰ φανταστὰ διατρίβειν φαθί, καθόσον ταῦτα τοῖς ὑσιώδεσι λόγοις τῆς διανοίας παρυφίσταται, ἐξ ὧν καὶ τὴν ἀποδεικτικὴν αἰτίαν κομίζεται, μᾶλλον δὲ τὴν μὴ γεωμετρίαν αὐτὰς τὰς ἀμερεῖς λόγους τῆς ψυχῆς βούλεται θεωρεῖν, ἀδυνατοῦσαν δὲ χρῆται ταῖς ἀφανταστοις νοήσεσιν ἐκτείνειν τὰς λόγους εἰς φανταστὰ καὶ διαστατὰ σχήματα καὶ μεγέθη, καὶ οὕτως ἐν ἐκείνοις αὐτὰς θεωρεῖν· καθάπερ καὶ μὴ ἀρκούσης αὐτῆς τῆς φαντασίας καὶ ἐπὶ τὸ ἀβάκιον ἔρχεται κἀκεῖ καταγράφει τὸ θεώρημα καὶ οὐ δήπου τότε προηγούμενος αὐτῇ λόγος τὸ αἰσθητὸν καὶ ἔξω κείμενον ἑλεῖν, ἀλλὰ τὸ ἔνδον τὸ φανταστόν, ὅ μίμημα ἄψυχον τὸ ἔξω· οὕτως ὅν καὶ ὅταν περὶ τὸ φανταστὸν διατρίβῃ, οὐ κατὰ προηγούμενον λόγον περὶ αὐτὸ στρέφεται, ἀλλὰ δι' ἀσθένειαν νοήσεως οὐ δυναμένη τὸ ἀφάνταστον εἶδος ἑλεῖν ἐν τῷ φανταστῷ τοῦτο θεωρεῖ. τεκμήριον δὲ μέγιστον τὸ καθόλου μὴ εἶναι τὴν ἀπόδειξιν, πᾶν δὲ τὸ φανταστὸν μερικὸν ὑπάρχειν· οὐδὲ ἡ σπουδὴ ἄρα ἡ προηγουμένη περὶ τὸ φανταστὸν ἦν, ἀλλὰ περὶ τὸ καθόλου καὶ πάντῃ ἄυλον. εἰ δὲ μόνως τὸ καθόλου, πῶς καὶ ὑστερογενὲς καὶ αἴτιον τοῦ μερικωτέρου, δυσχερῶς ἄν τις ἀποδείξειεν, εἰ δεῖ δυσχερὲς λέγειν τὸ ἀδύνατον.

1077a 20. "ἔτι τίνι .... συμμένειν". τοῦτο διὰ μέσου μὴ ἔοικεν εἰρῆσθαι· ἀναδραμεῖν γὰρ πάλιν ἐπὶ τὸ πρότερον ἑαυτοῦ ἐπιχείρημα, ἐν ᾧ ἐζήτει πῶς ἀτελέστερά τε ἅμα καὶ πρότερα τῶν αἰσθητῶν τὰ μαθηματικά. ζητεῖ δὲ ἐν αὐτῷ τί τὸ αἴτιον τοῖς μαθηματικοῖς μεγέθεσι τῆς ἑνώσεως· τοῖς μὴ γὰρ αἰσθητοῖς φύσις ἢ ἔνυλον εἶδος ἢ κόλλα ἢ δεσμός, τοῖς δὲ μαθηματικοῖς τί; ῥητέον ὅν πρὸς αὐτὸν ὅτι οἱ μὴ ἀμερεῖς λόγοι τῶν μεγεθῶν κρείττους ** εἴδει συνυφισάμενα φανταστὰ μεγέθη τῆς τε αὐτῶν αἰτίας τῆς ἀμεροῦς ἐξηρτημένα οὐ μήποτε διασκεδασθῇ, καὶ ἔτι ἐν ψυχῇ ὄντα

1077a 24. συνέχεται ὑπ' αὐτῆς μᾶλλον ἢ τὰ αἰσθητά. "ἔτι αἱ γενέσεις .... μᾶλλον". ἄνεισι μὴ ἐπὶ τὸ ἐξ ἀρχῆς, ἐν ᾧ τὸ αἰσθητὸν πρότερον ὂν ἐδείκνυ τοῦ μαθηματικοῦ τῇ οὐσίᾳ. δείκνυσι δὲ οὐ τὸ προκείμενον ἑαυτῷ, γένεσιν παραλαμβάνων ὅλως ἐπὶ τῶν ἀγενήτων (ἀγένητα γὰρ τὰ μαθηματικά), ἀλλ' εἴπερ ἄρα, ὅτι τοῦ ἐν τοῖς αἰσθητοῖς ἐπιπέδου τὸ σῶμα καὶ πρότερον τῇ οὐσίᾳ καὶ τελειότερον. "καὶ ὅτι ἔμψυχον ... ἀξίωμα". ὁρᾷς γὰρ τὴν ἐν τῷ ἀβακίῳ γραμμὴν καὶ τὸ ἐν τῇ τέφρᾳ ἐπίπεδον· ἐπεί τί ἂν εἴη τῶν ἐν ψυχῇ κειμένων ἐμψυχότερον; "ἔτι τὸ μὴ ... πάσχειν". καὶ τοῦτο κατασκευαστικὸν τοῦ δευτέρας εἶναι τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα τῶν σωμάτων· εἰ μὴ γὰρ οὐσίαι, φησί, καὶ αἱ γραμμαί, πῶς οὐσίαι, ὡς εἶδος ἢ ὡς ὕλη; εἰ δὲ ἀνούσιοι, δεύτεραι τῶν οὐσιῶν. ῥητέον ὅν ὅτι αἱ μὴ ἀδιάστατοι ὡς λόγοι καὶ εἴδη οὐσίαι, αἱ δὲ ἐν τῇ φαντασίᾳ αἱ διαστατὰ ὡς ὕλαι τῶν εὐθειῶν ἢ τῶν περιφερῶν. εἰ δὲ καὶ ὅλην τὴν φανταστὴν οὐσίαν ὡς ἐν ὑποκειμένῳ φαίη τις εἶναι τῇ φαντασίᾳ ἢ τῷ πνεύματι, ἐκείνων μὴ ἂν αὐτῶν ἀναγκάζοιτο δευτέραν αὐτὴν ἀποφαίνεσθαι καὶ ἀτελεστέραν, οὐ μέντοι τῆς αἰσθητῆς οὐσίας· οὐ γὰρ πᾶν τὸ ἐν ὑποκειμένῳ ὂν δεύτερον ἐστινοσοῦν οὐσίας, ἐπεὶ οὕτω καὶ αἱ ἀρεταὶ τῆς ψυχῆς αἵ τε ἐπιστῆμαι καὶ λίθων καὶ τῶν ἄλλων ἐνύλων σωμάτων ἂν εἶεν δευτεραι· ἀλλ' ἐκείνης μὴ ἐν ᾗ ἔχει τὸ εἶναι δεύτερον, ἄλλης δὲ καταδεεστέρας οὔτε δεύτερον οὔτ' ἀτελέστερον, εἰ μή τις ὁμόσε χωρῶν ὡς οὐδὲν ἄτοπον ὂν καὶ ἐπιστήμην καὶ ἀρετὴν [ἀντιδιαταττόμενος τῷ θείῳ Πλάτωνι] σώματος εἶναι φαίη καταδεεστέρας· ἀλλ' οἶμαι ψυχὴ μὴ καὶ τὰ ψυχῆς πάντα πρεσβύτερα σώματος καὶ τῶν τοῦ σώματος, αὐτῶν δὲ τούτων ψυχὴ μὴ τῶν ἐν αὐτῇ ποτὲ μὴ ὄντων, ποτὲ δὲ μὴ ὄντων ἐνεργείᾳ πρεσβυτέρα, σῶμα δὲ τῶν συμβεβηκότων αὐτῷ σεμνότερον· τὰ δὲ ἐν ψυχῇ ὄντα ἢ ἀεὶ ἢ ποτὲ τῷ σώματι παραβάλλειν μὴ πλημμελὲς ᾖ, καὶ ἔτι τοῦδε πλημμελέστερον τὸ παραβάλλοντα προτιθέναι τῶν ἐν ψυχῇ τὴν ὑπόστασιν ἐχόντων τι ἔνυλον σῶμα ὡς τελειότερον αὐτῶν καὶ ἐμψυχότερον· τοῦτο γάρ ἐστι τὸ πάντων θαυμαστότατον, εἰ ἐμψυχότερόν ἐστι τὸ σῶμα τούτων οἷς τὸ εἶναι ἐν ψυχῇ ἐστιν εἶναι. "τῷ μὴ ὅν .... λέγεται". ἐν τούτοις τῷ μὴ λόγῳ συγχωρεῖ εἶναι πρότερα τὰ μαθηματικὰ τῶν αἰσθητῶν, ἐπειδὴ τὸ αἰσθητόν τις ὁριζόμενος σῶμα δεῖται τῶν διαστάσεων αἳ ὁρίζουσι τὸ μαθηματικόν, τῇ οὐσίᾳ δὲ οὐκέτι. καίτοι κατὰ τοὺς κανόνας αὐτοῦ τοὺς ἐν τῷ Z παραδοθέντας ἐπὶ τῶν ἁπλῶν οὐσιῶν (ἁπλᾶς δὲ λέγω τὰς ἄνευ τῶν συμβεβηκότων θεωρουμένας) τὸ τῷ λόγῳ πρότερον καὶ τῇ οὐσίᾳ πρότερον ὂν ἀποδείκνυται· τὰ γὰρ τῷ λόγῳ πρότερα τῷ εἴδει πρότερα ἐν ἐκείνοις εἶναι ἐλέγετο, τὰ δὲ τῷ εἴδει πρότερα τῇ οὐσίᾳ πρότερα· ἐξ ὧν ἀμφοτέρων οὐκ ἄδηλόν ἐστι τὸ συναγόμενον. καὶ ὁ ἐν τούτοις δὲ τοῖς ῥητοῖς αὐτοῦ κανὼν δείκνυσιν ὅτι τὰ μαθηματικὰ

1077a 28. 1077a 31. 1077a 36.

2 καὶ τὰ τοιαῦτα *BH*. ‖ 3 οἷα inseruit Bonitzius. ‖ 4 καὶ] ἢ *BHβ*. ‖ ὅσον *H*. ‖ 6 τὰ om *AH*. ‖ φαθί] φασὶ *BHβ*. ‖ 7 ὧν κατὰ τὴν *AHβ*. ‖ 11 αὐτὰς *Hβ*: αὐτὰς *B*. ‖ 12 αὐτῆς om *β*. ‖ 16 περὶ τὸ αὐτὸ *AH*. ‖ 17 δυναμένης *H*. ‖ 18 εἶδον *H*. ‖ 21 *at si uno modo uniuersale dicatur β*: fort. μοναχῶς. ‖ 22 πῶς τὸ ὑστερογενὲς *AHβ*. ‖ 26 ζήτει *H*. ‖ ἅμα] ἀλλὰ *A*. ‖ 27 αὐτῷ *CH*: ταὐτῷ *A in hoc β*. ‖ 28 φύσις] immo ψυχὴ cf. Alex. p. 707, 19. ‖ 30 κρείττους εἰ *Bβ* κρείττους *H*. hiatum notaui, εἴδει ex εἰ restitui, cf. p. 884 b24. ‖ 31 τῆς τε δι' αὐτῶν *BH*. δι' aut ex δὲ ortum aut ex correcto ἀτ(ῶν) relictum deleui cum *β*. ‖ 35 ὂν inserui, cf b34.

2 ἐν τέφρᾳ *A*. ‖ 3 ἐν ψυχῇ *CH*: ἐν τῇ ψυχῇ *A*. ‖ 4 τὸ δευτέρας *BHβ*: correxerunt Brandisius et Bonitzius cl. Alex. p. 708, 13. ‖ 6 ὕλη ἢ ἀνούσιοι *H*. ‖ 8 fort. φανταστὰ καὶ διαστατά. ‖ 9 *circularium β* περιφερειῶν *BH*. ‖ οὐσίαν] αἰτίαν *BHβ*. ‖ 16 ἄλλως *H*. ‖ 17 ὡς] εἰς *BHβ*. ‖ ἐπιστήμων *H*. ‖ 18 ἀντιδιατ. τῷ θείῳ Πλάτωνι glossema uerbi ὁμόσε χωρῶν (cf. p. 868 a15) seclusi. ‖ ἀντιδιαλαττόμενος *H*. ‖ 19 ψυχῆς μὲν *H*. ‖ μὲν κατὰ ψυχῆς *CH*. ‖ πρεσβύτερος *H*. ‖ 21 ἐν αὐτῇ *Hβ*: ἐν ἑαυτῇ *B*. ‖ ποτὲ μὲν γὰρ ὄντων *AH*. ‖ 22 fort. τὸ δὲ τὰ ἐν. ‖ 25 προτιθέναι *H*. ‖ 27 *quorum essentia est in anima constituta β*. ‖ 30 *sensibile corpus quis definiens tribus eget dimensionibus* (τριῶν pro τῶν) *β*. ‖ 31 διαστάσεων ἀεὶ ὁρ. *AH*. ‖ δὲ οὐκ ἔστι pr *H*. ‖ 32 met. Z 10. ‖ 34 τὸ ante τῷ om *A*. ‖ ὂν om *AH*.

πρεσβύτερά ἐςι τῶν αἰθητῶν ὑ τῷ λόγῳ μόνῳ (τȣ̃το μὴ γὰρ συγκεχώρηκε ϗ αὐτός), ἀλλὰ ϗ τῇ ὑσίᾳ· τῷ γὰρ εἶναι ὑπερβάλλει. ὄντος μὴ γὰρ τȣ̃ τριχῇ διαςατȣ̃ τȣ̃ μᾶ ἀντιτυπίας ἀνάγκη εἶναι ϗ προεῖναι τὸ τριχῇ διαςατὸν ϗ ἔτι τὸ διχῇ ϗ πολὺ πρότερον τὸ μίαν ἔχον διάςασιν· τȣ́των δὲ ὄντων ὐκ ἀνάγκη τὸ αἰθητὸν εἶναι. ἀλλ' ἵνα ταῦτα παρῶμεν, τί ἐςι τὸ ϗ ἐκ τῶν παραδειγμάτων αὐτῷ συναγόμενον; τί δὲ ἄλλο γε ἢ ὅτι τὸ τῷ λόγῳ πρότερον ὑ πάντως ϗ τῇ ὑσίᾳ πρότερον, ὑ μὴν οτι ϗ ὕςερον· τὸ γὰρ λευκὸν πρότερον ὂν τῷ λόγῳ τȣ̃ λευκȣ̃ ἀνθρώπȣ ὑ πρότερόν ἐςι κατ' αὐτὸν τῇ ὑσίᾳ. καίτοι φαίη τις ἂν ὅτι εἰ ϗ μὴ ἀνθρώπȣ πρότερον ἀλλ' ȣ̃ν λευκȣ̃ ἀνθρώπȣ πρεσβύτερον εἶναι ὀφείλει· ὅμως τȣ̃το μὴ συγκεχωρήθω ϗ κείθω εἶναί τινα ἃ τῷ λόγῳ πρότερα ὄντα τῇ ὑσίᾳ σύνδρομά ἐςι τȣ́τοις ὧν ἦν τῷ λόγῳ πρότερα· τί ȣ̃ν ἐκ τȣ́των συνάγομεν; ἢ ὅτι τὰ γεωμετρȣ́μενα πρότερα ὄντα τῷ λόγῳ τῇ ὑσίᾳ ȣ̃τε πρότερά ἐςιν ȣ̃τ' ὕςερα τῶν αἰθητῶν; καίτοι πᾶς ὁ λόγος ἐπικεχειρῆθ ὡς ἐξ ἀφαιρέσεως τῶν αἰθητῶν λαμβανομένης τῆς μαθηματικῆς ὕλης· διὸ ϗ τοιȣ́τῳ ἐχρήσατο συμπεράσματι "ὥςε φανερὸν ὅτι ȣ̃τε τὸ ἐξ ἀφαιρέσεως πρότερον ȣ̃τε τὸ ἐκ προθέσεως ὕςερον". ἀλλ' ὅμως ϗ τȣ̃το προαρπάσας ψεῦδός τε ὂν ϗ τῶν ἐν ἀρχῇ προκειμένων εἰς ζήτησιν ὁρῶμεν ὅσον συνήγαγεν· εἰ δέ γε τὰς διαςάσεις, περὶ ἃς τῷ ὄντι ἡ γεωμετρία τετεύτακεν, ᾑβȣ́λετο σκοπεῖν ὀρθῶς, κᾶ πάντα ἂν αὐτὰς εὗρε πρεσβυτέρας τȣ̃ ἐνύλȣ σώματος, εἰ τὰ ἄυλα τῶν ἐνύλων ϗ τὰ καθόλȣ τῶν ἐν μέρει ϗ τὰ ἀίδια τῶν φθαρτῶν
1077b πάντες ὁμολογȣ́μεν εἶναι πρεσβύτερα. "ὅτι μὴ ȣ̃ν ... ἱκα-
12. νῶς". αὐτὸς μὴ ὡς ἐπὶ δεδειγμένοις τȣ́τῳ χρῆθ τῷ συμπεράσματι. ἡμεῖς δέ, ὅτι οἱ μὴ λόγοι αὐτῶν ὑσίαι ἀμερεῖς ϗ αἰτίαι τῶν φανταςῶν ϗ τῶν αἰθητῶν διαςατῶν, εἰς δύναμιν ἡμετέραν ἐπεδείξαμεν· αἱ δὲ ἐν τῇ φαντασίᾳ τοῖς ἀμερέσι λόγοις μορφαὶ ϗ διαςάσεις συνυφιςάμεναι ὅτιπερ ὡς ἐν ὑποκειμένῳ εἰσὶ τῇ ψυχῇ πρεσβύτεραι ȣ̃σαι ϗ αὐταὶ σώματος ϗ τῶν τȣ̃ σώματος παθημάτων, ϗ τȣ̃το μετρίως συνεςήσαμεν. ἐπεὶ δὲ ϗ τὸ ἔναγχος εἰρημένον αὐτῷ περίληψιν ἐποιήσατο κᾶ τὸ συμπέρασμα, ὑπομνηςέον ὡς αἱ ἐν τοῖς αἰθητοῖς διαςάσεις πρότεραι μὴ τῷ λόγῳ τῶν σωμάτων ἐδείχθησαν, τῇ δὲ ὑσίᾳ ὐχ ὕςεραι, ταύτας δὲ ϗ ἀνυσίȣς λέγειν ἄτοπον ἴσως ὐδέν. "ἐπεὶ δ' ὐδ' ἐν ... ἡ ὁμαλής". εἰπὼν πῶς ὐκ οἴεθ εἶναι
10776 τὰ μαθηματικά, νῦν πειρᾶθ λέγειν ποίαν ἄν τις αὐτὰ νομίσειεν ἔχειν ὑπόςασιν. ἀρέσκει ȣ̃ν αὐτῷ μήτε καθ' αὐτὰ ὑφεςάναι τὰ μαθηματικὰ μεγέθη ϗ σχήματα μήτε ἐν τοῖς αἰθητοῖς εἶναι ἄλλα ὄντα παρὰ τὰ αἰθητά, ἀλλ' ἐκ τῶν αἰθητῶν κᾶ ἀφαίρεσιν ἐπινοεῖθ· ὥσπερ γὰρ ϗ τὸ καθόλȣ, φησίν, ἐν τοῖς μαθήμασιν ὑ περὶ κεχωρισμένων ἐςὶ παρὰ τὰ *αἰθητά* μεγέθη ϗ [τȣ́ς] ἀριθμȣ́ς, ἀλλὰ περὶ τȣ́των μέν, ὐχ ᾗ δὲ τοιαῦτα, οἷον ὅταν λέγωμεν "ἐὰν πρῶτον πρὸς δεύτερον ϗ τρίτον πρὸς τέταρτον τὸν αὐτὸν ἔχῃ λόγον, ϗ ἐναλλὰξ ληφθέντων σωθήσεθ τὸ ἅμα τὸν αὐτὸν ἔχειν λόγον", ȣ̃τω, φησί, ϗ περὶ μεγεθῶν ἡ μαθηματικὴ διαλεγομένη περὶ αἰθητῶν μὴ διαλέγεθ, ὐχ ᾗ δὲ αἰθητά. ἡμεῖς δὲ ϗ πρότερον μὴ ἐνέςημεν πρὸς τȣ̃το τὸ ἐπιχείρημα εἰπόντες ὅτι ϗ κατ' αὐτὸν δεῖ τι περιληπτικώτερον εἶναι τῶν μεγεθῶν ϗ τῶν ἀριθμῶν, ϗ νῦν δὲ τὸ αὐτὸ τȣ̃το λέγομεν. εἴπερ γὰρ τὸ καθόλȣ ἐςὶν ᾧ πρώτῳ ὑπάρχει, ἀνάγκη ἐκεῖνο εἶναι παρὰ τὰ εἰδικώτερα αὐτȣ̃· ὑ γὰρ δὴ τῷ μὴ ὄντι πρώτῳ τι ὑπάρχει. εἰ δὲ τὸ καθόλȣ φησί τις ἐν αὐτοῖς εἶναι τοῖς εἰδικωτέροις, τὸ κατατεταγμένον ὁρᾷ, ὃ μόριόν ἐςι τȣ̃ ὑποκειμένȣ, ϗ ὐ τὸ ἀκατάτακτον, ὃ πανὸς τȣ̃ εἴδȣς κατηγορεῖθ. πλὴν ἀγαθείη ἄν τις τὸν Ἀριςοτέλην ϗ ἐν τȣ́τοις τῆς ἀκολȣθίας συντάττοντα τὰ καθόλȣ τοῖς μαθηματικοῖς· ὡς γὰρ τὰ καθόλȣ ἐςίν, ȣ̃τω ϗ τὰ μαθηματικά. ἔςι δὲ κᾶ μὴ τὸ ἀληθὲς ἄμφω ἐν τοῖς ὑσιώδεσι λόγοις τῆς ψυχῆς, κατ' αὐτὸν δὲ ἐν τοῖς αἰθητοῖς ϗ ἐν ἐπινοίαις ἀφαιρȣ́σαις τῶν αἰθητῶν τὰς κοινȣ́τητας. ἐπεὶ δὲ ϗ κινήσεως ἐμνημόνευσε λέγων ὅτι πολλοὶ περὶ κινȣμένων εἰσὶ λόγοι ὐκ ȣ̃σης κινήσεως κεχωρισμένης (ὅταν γὰρ λέγωμεν "τὰ ἰσοταχῶς κινȣ́μενα ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάςημα διέξεισιν", ὐδὲν μὴ ἀπτόμεθα τῶν ὑποκειμένων πραγμάτων, ἀλλὰ περὶ τῆς κινήσεως αὐτῶν διαλεγόμεθα μόνης, ὑ μὴν διὰ τȣ̃το ϗ κίνησιν εἶναι κεχωρισμένην ὑπολαμβάνομεν)·

1 μόνον *AHβ*. ‖ 2 καὶ ante τῇ om *Aβ*. ‖ 3 διαςατȣ̃ μετὰ *BH*: τȣ̃ addidi. ‖ *Cum enim est trifariam dimensum cum contrarietate β*. ‖ 4 post διαςατὸν deest τὸ μαθηματικὸν uel διανοητὸν uel simile quid. ‖ καὶ ἔςι *H*. ‖ 7 αὐτῷ] αὐτῶν *BHβ*. ‖ 8 τὸ ante τῷ om *AH*. ‖ πρότερόν ἐςιν (ἐςὶ *H*) ὑ π. *AH*. ‖ 9 ὅτι coni. Bonitzius: ἔτι *CH* ἐςὶ *A*. *non ob hoc tamen posterius est β*. ‖ 10 ἀνθρώπȣ πρότερον *BHβ*: ὑ addidi, item Bonitzius. ‖ πρότερόν γε ἐςὶ *A*. ‖ τις ὅτι *BH*: inserui ἂν. ‖ 16 καίτοι πᾶς . . . . 17 αἰσθητῶν om *A*. ‖ καίτοι οἰκείως ὁ *H*. ‖ 20 προαρπάσαι *H*. ‖ ψεῦδός τι ὂν *A*. ‖ 21 κειμένων (*A*)*β*. ‖ 22 *sed si quis β*. ‖ 23 τετεύτακεν *H* τελεύτακεν *C*: πραγματεύεται *Aβ*; item, ut Ruhnkenius testatur ad Timaei lex. p. 255, cod. Meermannianus, 'ubi ex alio codice pro πραγματεύεται reposita est uera lectio τετεύτακεν, cum hoc scholio: Τετεύτακεν. πραγματεύεται, διατρίβει ἢ φροντίζει. παρὰ δὲ Φερεκράτει ἡσυχάζει. σημαίνει δὲ καὶ σκευωρεῖται'. Cf. p. 850 b20 et infra p. 887 b36. ‖ 26 *omnes fatentur β*. ‖ 27 ἐπιδεδειγμένοις *B* ἐπιδεδειγμένων *Hβ*. ‖ τȣ́των *β* (*ac si haec demonstrata sint, sic utitur conclusione*). ‖ 28 ὅτι εἰ μὲν *AH*. ‖ 34 ἐπὲ δὲ *Hβ*: ἐπειδὴ *B*. ‖ περίληψιν] fort. πρόληψιν.

2 πρότερον μὲν *AH*. ‖ 3 ἀνυσίȣς Bonitzius: *non substantialis* (sic) *β* ἀνοσίȣς *BH*. ‖ 5 ποῖαν (*A*)*H*. ‖ 7 σχήματι *H*. ‖ 8 εἶναι ἄλλα *C*, Alex. p. 710, 23: ἄλλα εἶναι *H* ἀλλὰ εἶναι *Aβ*. ‖ ἀλλὰ ἀπὸ τῶν Alex. ‖ 9 γὰρ τὸ *AHβ*. ‖ 10 κεχωρισμένον *BHβ*: cl. Alex. p. 711, 7 correxit Bonitzius. ‖ αἰσθητὰ cl. Alex. p. 711, 8 addidit Bonitzius. cf. infra l. 15. ‖ 11 τὸς inclusi cl. Alex. ‖ 12 ὅταν μὲν λέγωμεν *A*. ‖ πρὸς τὸ δεύτερον *AH*. ‖ 13 ἔχει (*A*)*H*. ‖ καὶ ἐναλλὰξ . . . . 14 λόγον om *A*. ‖ 14 ἔχειν λόγον *β*, Alex. p. 711, 5: λόγον *CH*. ‖ 15 δὲ τὰ αἰσθητά *AH*. ‖ 16 cf. p. 885 b29 sqq. ‖ 17 ὅτι καὶ τȣ̃το δεῖ περιληπτικώτερον *BHβ*: τι interposui. ‖ 21 πρώτῳ *β*: πρώτως *BH*. ‖ ὑπάρχειν *H*. ‖ 22 ὁρᾷ om *β*. ‖ 23 καὶ om *β*. ‖ ἀκατάτακτον *H* *inconiunctum β*: ἄτακτον *B*. cf. p. 854 a6 et infra p. 889 a2. ‖ 25 *ut eius* [scr. *enim*] *uniuersalia sunt, inquit, sic et mathematica. β*. ‖ 27 ἄμφω τοῖς *BH*: ἐν interposui cum *β*, item Bonitzius ‖ 31 ἐν ἴσῳ λόγῳ Alex. p. 711, 19 hinc emendandus.

ῥητέον ὧν ὅτι πρῶτον μὴ ὐχ ὅμοιόν ἐςι τὸ περὶ τὴν κίνησιν τοῖς χήμασιν· ὁ μὴ γὰρ μὴ βυλόμενος εἶναι κίνησιν ἔξω τῶν αἰθητῶν ὐκ ἐννοεῖ τὴν ἐν τοῖς ἀκινήτοις ἀκριβεςέραν, ὁ δὲ γεωμέτρης ἐπινοεῖ τῶν φαινομένων χημάτων ἀκριβέςερα· ἔπειτα δὲ ὅτι καὶ τὸ πᾶν λαμβάνει ψευδῶς· ἔςι γὰρ καὶ κίνησις ἐν ἀσωμάτοις καὶ χῆμα καὶ μέγεθος, ὐ τοιαῦτα δὲ οἷα ἐν τοῖς αἰθητοῖς. ἁπλῶς δὲ πρὸς ἅπασαν αὐτῆ τὴν δόξαν τῦτο ῥητέον ὅτι μήτε τεθεάμεθα πάντα τὰ χήματα ἢ πάντας τὺς ἀριθμὺς ἐν τοῖς αἰθητοῖς, περὶ ὅσα καὶ ὅσυς αἱ μαθηματικὴ διατρίβυσι, μήτε δυνατόν ἐςιν ἀκριβείᾳ τοσαύτῃ χρῆθαι τὰ ἐκ τῶν αἰθητῶν εἰλημμένα. εἰ δὲ ὅτι ἡμεῖς αὐτοῖς προςίθεμεν τὸ ἐνδέον καὶ ἀκριβέςερα ποιῦμεν καὶ ὕτω θεωρῦμεν, ἀποφαίνοιτο, πρῶτον μὲν πόθεν δυνάμεθα αὐτὰ τελειῦν, ἀναγκαῖον εἰπεῖν· ὐ γὰρ ἂν ἄλλην αἰτίαν ἀληθεςέραν εὕροιμεν τῆς ὑπὸ τῶν παλαιῶν εἰρημένης, ὅτι κατ' ὐσίαν ἡ ψυχὴ προείληφε πάντων τὺς λόγυς. ἔπειτα δὲ ἐάν τι προθῶμεν τοῖς ἀφαιρεθεῖσιν ἐκ τῶν αἰθητῶν, ὐκ ἀκριβέςερον αὐτὸ καὶ ἀληθέςερον ἀλλὰ πλασματωδέςερον ἀποτελῦμεν. τὸ γῦν εἶδος τῦ Σωκράτυς ἀναμαξάμενός τις εἰ μὴ οἷον ἐκ τῦ αἰθητῦ Σωκράτυς ἐδέξατο, διαφυλάττοι τῇ φαντασίᾳ, μᾶλλον ἂν αὐτῦ τυγχάνοι τῆς γνώσεως· εἰ δὲ ἐπὶ τὸ εὐπρεπέςερον μεταρρυθμίζειν αὐτὸ θελήσειε, πᾶν μᾶλλον ἂν ἢ τὸ Σωκράτυς εἶδος ἔτι παρ' ἑαυτῷ θεωρήσειεν. ἐπὶ δὲ τῶν ἴσων καὶ ὁμοίων ἀριθμῶν καὶ χημάτων ὐ ταὐτὸν τῦτο πεπόνθαμεν, ἀλλ' ὅσῳ ἂν ἐπὶ τὸ ἀκριβέςερον καὶ τελειότερον αὐτὰ παράγωμεν, τοσῦτῳ μᾶλλον ἐγγυτέρω τῦ ἀμερῦς αὐτῶν εἴδυς ἐρχόμενα σαφέςερα ἡμῖν καὶ εὐγνωςότερα γίγνεθαι. ὅλως δὲ ἀναμιμνήσκεθαι μὴ ἀπὸ τῶν αἰθητῶν συγχωρητέον ἡμῖν τὴν διάνοιαν, μόρφωμα δὲ ἀπ' αὐτῶν εἰσθέχεθαι μὴ ὐδὲ θεμιτὸν ἢ λέγειν· ἄχρι γὰρ φαντασίας χωρεῖν δύναθαι τὰ δι' αἰθήσεως εἰς ἡμᾶς εἴδη παραπεμπόμενα, ἃ δὴ καὶ ἐν αὐτῇ τῇ φαντασίᾳ ἄτομα μένειν ἐθέλει καὶ τοιαῦτα οἷα εἰσελήλυθεν· ὅταν δὲ ἡ ἔννοια λοιπὸν ἀπὸ τύτων ἐπὶ τὸ καθόλυ καὶ ἐπὶ τὰ τῷ ἀκριβεῖ λόγῳ θεωρητὰ μεταβαίνῃ, δῆλη ἐςὶ τὰ ἑαυτῆς ἐπισκεπτομένη· διὸ καὶ ζηλωτὴ αὕτη ἡ ἐνέργεια καὶ ὐ πολυπράγμων καὶ διεγερτικὴ τῦ τῆς ψυχῆς ὄμματος τυφλυμένυ καὶ κατορυττομένυ διὰ τῶν πολλῶν ἐπιτηδευμάτων· ὃ περὶ τὰ ἐξ ἀφαιρέσεως διατρίβυσα πότ' ἂν κατεπράξατο; τὐναντίον μὴ ὧν ἐποίησεν ἄν· ἐτύφλωσε καὶ τὸ βλέπον τῆς διανοίας καὶ προσήλωσε τῷ σώματι καὶ κατέχωσεν ἂν αὐτῆς τὴν ἐπὶ τὰ ὄντως ὄντα μεταβατικὴν ὁρμήν, εἰ καθάπερ φησὶν ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, νοητὰ ἄττα ἑαυτῇ ἀναπλάσασα, ὐκ ὄντα τῇ οἰκείᾳ φύσει νοητά, περὶ αὐτὰ ταῦτα μάτην ἐσκιαμάχει. εἰ μὴ γὰρ ἀνύσια μὴ ἐοικότα δὲ τοῖς νοεροῖς εἴδεσιν αὐτὰ εἶναι ὑπετίθεντο, μάλιςα μὴ καὶ αὐτὸ τῦτο θαυμαςὸν ἦν, πῶς ἐκείνοις ἔοικεν ἃ μὴ ἔςιν ὐσιώδη. ὐ μὴν ἀλλ' ὑπελείπετο λέγειν αὐτοῖς ὅτι γυμνασαμένη περὶ αὐτὰ ἡ διάνοια συνάπτεθαι δυνήσεταί ποτε καὶ τοῖς νοητοῖς εἴδεσι, καθάπερ οἱ ῥήτορες μελετήσαντες πλασματώδεις τινὰς λόγυς πρὸς τὺς ἀληθινὺς ἀγῶνας παρασκευὴν ἴχυσι διὰ τὸ ἐοικέναι τὰ πλάσματα ταῖς δικανικαῖς περιςάσεσιν. ἐπειδὴ δὲ ὅτε ἰδέας εἶναι βύλονται ὅτε τὰ μαθηματικὰ τῶν θείων εἰδῶν εἰκόνας εἶναι ὐδ' ὅλως εἶναι πλὴν ἐξ ἀφαιρέσεως τῶν αἰθητῶν, ὐχ ὁρῶ πῶς ἂν πρὸς ἀναγωγὴν ψυχῆς ἡμῖν ὁτιῦν συντελέσειε κῆ ταύτας τὰς ὑποθέσεις ἢ γεφύραις ἀναλογήσειε μεθιςάσαις ἡμᾶς ἀπὸ τῶν αἰθητῶν ἐπὶ τὴν ἀληθινὴν νόησιν, πῶς τε ὐκ ἄμεινον τὸ αἰθητὸν μέγεθος, ὡς πέφυκε, δι' αἰθήσεως καταλαμβάνειν, ἢ ὑποσυλήσαντας αὐτὸ τῦ ὑποκειμένυ προςιθέναι μὴ αὐτῷ τὴν μήτε ὑπάρχυσαν μήτε ὑπάρξαι δυναμένην ἀκρίβειαν, ἐπισκέπτεθαι δὲ αὐτὸ ὐχ ᾗ ὑφέςηκεν ἀλλ' ᾗ μήτ' ἔςι μήτ' εἶναι δύναθαι· διὸ καὶ αὐτὸς ὁ Ἀριςοτέλης τῦθ' ὑφορώμενος μὴ περὶ αἰθητὰ φὰς διατρίβειν τὴν γεωμετρίαν χείρονα τῆς αἰθήσεως αὐτὴν ὁμολογεῖν ἀναγκαθῇ, ὐ περὶ αἰθητά φησι διατρίβειν αὐτὴν ἀλλ' ἢ κῆ συμβεβηκός· ὥσπερ γὰρ ὐδὲ τὸν ἰατρὸν περὶ τὰ λευκά, κἂν πάντα τὰ ὑγιεινὰ λευκὰ ᾖ, ἀλλὰ περὶ τὰ ὑγιεινά, ὕτω καὶ τὴν γεωμετρίαν περὶ τὰ μεγέθη καὶ χήματα, κἂν μηδὲν ἔξω τῶν αἰθητῶν μέγεθος ἢ χῆμα τὴν ὑπόςασιν ἔχῃ. ἀλλὰ πρῶτον μὴ ὐδ' ἂν περὶ τὰ ὑγιεινὰ διέτρεχεν ἰατρικὴ μὴ προσποιυμένη τὰ ἐν οἷς ἔςιν, εἰ μὴ ἑκάςυ εἴδυς λόγον εἶχεν ἡ ψυχή, ὃν ἀνελίττυσα ὑφίςῃ τὴν περὶ αὐτὸ ἐκεῖνο ἐπιςήμην· πόθεν γὰρ οἱ καθόλυ λόγοι καὶ παρὰ τοῖς ἰατροῖς καὶ παρὰ τοῖς ἄλλοις ἐπιςήμοσιν, εἰ μὴ ἐκ τῆς τῦ θεωρητῦ αὐτοῖς εἴδυς ἀνελίξεως; ἔπειτα δὲ ὐδὲ ὅμοιόν ἐςι πάντῃ τὸ παράδειγμα. ἡ μὴ γὰρ ἰατρικὴ ποιητική τις ὅσα τέχνη καὶ αἰθητὸν ἔχυσα τέλος ἀναγκαίως περὶ αἰθητὰ τετεύτακεν, ἡ δὲ γεωμετρία θεωρητική τις ὅσα φιλοσοφία καὶ κατ' αὐτὸν εἰ μὴ περὶ ὄντα τρέφεθαι

1 ὧν om *β*. ‖ 7 μήτε θεάμεθα *H*. ‖ 10 εἰλημένα *BH*. ‖ 11 αὐτοῖς om *β*. ‖ 12 ἀποφαίνοιτο] *si respondeat β*. ‖ 17 αὐτῷ καὶ *CH*. ‖ 19 διαφυλάττειν *AH*. ‖ 20 μεταρυθμίζειν *B*. ‖ 21 τῦ σωκράτυς *H*. ‖ 23 *non hoc ipsi patimur β*. ‖ 24 *deducimus β*: περιάγωμεν *CH* περιάγομεν *A*. ‖ 27 συγχωρητέον om *β*. ‖ 28 ὐδὲ *C*: ὐ *AH* et qui *nefas est dicere* uertit *β*. ‖ 32 immo ἐπὶ τὰ καθόλυ. ‖ μεταβαίνει *AH*. ‖ 33 δῆλος ἐςὶ *A*. ‖ ζηλωτὴ] num ζωτικὴ? ‖ αὕτη] ἅμα pr *H*. ‖ 34 διεγερτικὴ *Hβ*: διεργετικὴ *B*. ‖ 35 cf. Plat. rei p. VII p. 533 D. ‖ 36 ὃ παρὰ *H*. *quod quando natura operari posset, si circa — β*. ‖ 37 *faceret potius, obcaecaretque partem intellectus quae uidet β*.

2 ὄντος *H*. ‖ 3 Alex. p. 712, 14—20. ‖ *intelligibilia quaeque seipsa effingens β*. ‖ 5 *sed similia β*: ἐοικέναι δὲ *BH*. ‖ 6 αὐτοὶ *H*. ‖ 7 ἀπελείπετο *H* ἐλείπετο *A*. ‖ 9 καὶ τοῖς *CH*: τοῖς *Aβ*. ‖ 10 τινὰς om *H*. ‖ 13 ὐδὲ τὰ *A*. ‖ ὅδ' ὅλως libri. ‖ 15 ὁτιῦν] ἔτ' ἂν *H* ἔς' ἂν *B* *eo usque β*. fuit qui ἔτι coniceret. ‖ 16 *similia sint β* ἀναλογήσει *BH*. ‖ μεθιςὰς *H*. ‖ 19 ὑπομένυ *H*. ‖ 21 αὐτῷ *AH*. ‖ 25 ἀλλ' ἦν *H*. ‖ ὥσπερ ὐδὲ *BHβ*: inserui γὰρ. ‖ 27 περὶ τὰ *H*: περὶ *B*. ‖ 28 σχήματα ὑπόςασιν ἔχει *H*. ‖ 29 ὐδ' ἂν *CHβ*: ὐδὲν *A*. ‖ *implicaret se medicina non magnificiens ea β*. ‖ 30 *nisi ... haberet in anima β*. ‖ 31 ὑφίςῃ euanidum in *C*, *constituit β*. ‖ ἐπιςήμη *H*. ‖ 32 οἱ] ἡ *H*. ‖ ἰατρικοῖς *A*. ‖ 33 ἐκ τῆς] ἐκ συχνῆς (*ex frequenti ... reuolutione*) *β*. ‖ 34 πάντῃ τὸ *C* πάντῃ *H* *omnino β*: πᾶν τὸ *A*. ‖ 36 τετάτεικεν (*A*). cf. supra ad p. 886 a23. ‖ θεωρή τις *H*. ‖ 37 φιλοσοφία suspectum. ‖ καὶ om *A*.

ϗ κρειττόνως ὄντα ἢ ϟ τὰ αἰθητά, ὐδὲν ἂν σπυδαῖον διαπράττοιτο. ἐπὶ τύτοις ἡ μ τῶν ὑγιεινῶν ἐπιςήμη ὐδὲν ἔχει περὶ τῶν λευκῶν ὅσον ἐπὶ τοῖς ἑαυτῆς θεωρήμασι διηχυρίσαθζ, γεωμετρία δὲ περὶ τῶν κατ' ὐρανὸν ἀποδείκνυσιν· ὐ γὰρ ἄν, εἴ γε μὴ περὶ τὺς τελειοτέρυς λόγυς ϗ περιληπτικωτέρυς αὐτῶν ἀνεςρέφετο· πόθεν γὰρ διὰ τῦ καθόλυ τὲ ἐν ὐρανῷ μερικὸν ἀποδείκνυθ, εἰ μή τι τῶν καθόλυ τῶν ἐν ὐρανῷ τὴν αἰτίαν εἶχεν, ἢ ἔςι μ ϗ ἐν ταῖς ἡμετέραις ψυχαῖς θεωρητικῶς, ἐν δὲ ταῖς ὐρανίαις ϗ δημιυργικῶς. ϗ τοσαῦτα μ ϗ πρὸς τῦτο τὲ ἐπιχείρημα. ἐπειδὴ δὲ περὶ τὰ καθ' αὑτὰ τοῖς μεγέθεσιν ὑπάρχοντα πραγματευομένης τῆς γεωμετρίας φησὶν ὅτι δύναθ, ϗ εἰ μὴ χωριςὰ εἴη τῶν αἰθητῶν τὰ μεγέθη, περὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα τοῖς ἀχωρίςοις διατρίβειν (ϗ γὰρ ἄλλοις ἀχωρίςοις, φησί, καθ' αὑτά τινα ὑπάρχει· τὲ γὰρ θῆλυ ϗ τὲ ἄρρεν ἀχώριςα μ τῶν ζῴων, ἴδια δέ τινα ἔχει πάθη, οἷον τὲ μέν ἐςι γεννητικόν, τὲ δὲ θρεπτικὸν ϗ ὑποδεκτικὸν τῶν σπερματικῶν λόγων), ῥητέον ὅτι πρῶτον μ ϗ τὲ θῆλυ ϗ τὲ ἄρρεν πανταχῦ ἐςι ϗ ὐκ ἐν τοῖς αἰθητοῖς μόνοις ζῴοις· ϗ γὰρ ἐν θεοῖς ϗ ἐν τοῖς κρείττοσιν ἡμῶν γένεσι, ϗ ὐδ' ἂν ἡ θνητὴ φύσις αὐτὰ ἔχε σύν τινι ἰδιότητι μὴ ἄνωθεν προελθόντα. ἔπειτα τί ἀποδείκνυθ τῶν κατ' ὐρανὸν ἢ τῶν θείων διὰ τῆς ἀκριβῦς τῶν τῆδε ἀρρένων ἢ θηλέων κατανοήσεως, ὥσπερ διὰ τῶν γεωμετρυμένων τὰ κατ' ὐρανόν; εἰδὼς δὲ πάλιν, ὡς ὅσον διαφέρυσι κατ' ἀκρίβειαν αἱ γεωμετρικὴ μέθοδοι, τῦτο ὐκ ἂν ἔχον, εἰ μὴ περὶ σπυδαῖα ϗ καθαρὰ διέτριβον ὑποκείμενα, τὲ ἁπλύςερον αἰτιᾶθ τῶν ὑποκειμένων τῆς ἀκριβείας. πρὸς ὃ εἴποιμεν ἂν ὅτι εἰ μ τὲ ἁπλύςερον τῦτο ϗ τῇ ὐσίᾳ εἴη πρότερον ϗ τιμιώτερον τῦ συνθετωτέρυ, δέχοιτ' ἂν ἀκριβῆ θεωρίαν, ὥσπερ ἡ ὁμαλὴς τῶν ὐρανίων κίνησις τῆς σκολιωτέρας ϗ πολυσυνθέτυ τῶν θνητῶν ζῴων μεταβάσεως μᾶλλον γιγνώσκεθ· εἰ δὲ τὲ ἁπλύςερον τῦτο ἀτελέςερον εἴη τῦ συνθετωτέρυ, πῶς ἂν ἐπιδέξαιτο πλείυς ϗ σεμνοτέρυς ϗ ἀληθεςέρυς λόγυς; ὅτε γὰρ περὶ λευκότητος ὅτε περὶ εὐωδίας τοιαύτας ἀποδείξεις ἔςι ποιήσαθζ, καίτοι πᾶσαι μ ποιότητες, πᾶσαι δὲ χέσεις ἁπλύςεραί εἰσι τῶν πεποιωμένων ϗ τῶν τὴν χέσιν ἀναδεξαμένων σωμάτων. ὥςε τῶν δύο τὲ ἕτερον, ἢ ὐκ εἰσι τῶν φυσικῶν λόγων αἱ μαθηματικὴ δείξεις ἀκριβέςεραι, ἢ περὶ μᾶλλον ὄντα διατρίβυσιν αἱ μαθηματικὴ τῆς φυσικῆς· ὐ γὰρ ἔχει λόγον τὲ μᾶλλον ὂν ἀμυδρότερον εἶναι πρὸς γνῶσιν, ὐδὲ τὲ ἧττον ὂν ἐναργέςερον γιγνώσκεθαι· ἀλλὰ ϗ ὅτε τῦτο συμβαίνει περί τι τῶν νοητῶν, διὰ τὴν ἡμετέραν ἀθένειαν γίγνεθ, ὐ διὰ τὴν τῦ πράγματος ἰδιότητα· τὲ γὰρ τῦ θείυ Πλάτωνός ἐςι κἀν τύτοις ἀληθέςατον ὅτιπερ ὡς ἕκαςον ἀληθείας τε μετέχει ϗ τῦ ὄντος, ὕτω ϗ σαφηνείας ϗ γνώσεως. ταὐτὸν δὲ τύτῳ ϗ ἐν τῷ ἐλάττονι ᾱ σαφῶς εἴρηθ τύτῳ τῷ φιλοσόφῳ· ὥςε χρὴ τῶν κοινῶν δογμάτων αὐτῦ τε ϗ τῦ Πλάτωνος μὴ ϟ τὲ σμικρότατον ἡμᾶς ἀφίςαθζ. "ὁ δ' αὐτὲς ... ὡσαύτως". ὅτι μ ὐ περὶ τῦ τῆς ὄψεως εἴδυς ὁ ὀπτικὸς ὐδὲ περὶ τῦ τῆς φωνῆς ὁ ἁρμονικὸς ἐπισκέπτονθ, ἀλλ' ὁ μ περὶ ἀκτίνων, ὁ δὲ περὶ τῶν πρός τι ἀριθμῶν, ἅ πέρ ἐςι καθ' αὑτὰ πάθη τῆς ὄψεως ϗ τῶν φωνῶν, συγκεχωρήθω. ἀλλ' ὅμως ἐκεῖνό γέ ἐςιν ἀληθὲς ὅτι ἡ μ ὀπτικὴ τὰς ἀκτῖνας τὰς πεμπομένας ἀπὸ τῦ αὐγοειδῦς ἡμῶν πνεύματος ἐπὶ τὰ ὁρατὰ ἀφομοιοῖ ταῖς γραμμαῖς ταῖς ἐν τῇ φαντασίᾳ ϗ ἐν αὐτῷ τῷ πνεύματι τὴν ὑπόςασιν ἐχύσαις· διὸ ϗ αὐτὲς ἐν ἄλλοις ὁ Ἀριςοτέλης ταῖς φυσικαῖς γραμμαῖς ὡς μαθηματικαῖς ἔφη κεχρῆθζ τὲν ὀπτικόν, ὀρθῶς γε τῦτο ποιῦντα, ϗ ἐπὶ τὰ προσεχῆ παραδείγματα τὰς εἰκόνας ἐπανάγοντα, ἐπεὶ μηδὲ ὅλως ἦν γνῶναι τὲ ἀπεικαθέν, εἰ μὴ τῇ πρὸς τὲ αἴτιον τὲ παραδειγματικώτερον ἀναφορᾷ. ὁ δέ γε ἁρμονικὸς ϗ αὐτὲς τὺς ἐν ὑποκειμένῳ ϗ ἐν ἄλλοις τὴν ὑπόςασιν ἔχοντας ἀριθμὺς ἐπὶ τὺς χωριςὺς ἀναπέμπει, ϗ ποιητικὺς αὐτῶν ὄντας ϗ παραδειγματικὺς ϗ ἐκεῖθεν ἀκριβείας ϗ ὐκ ἀλλαχόθεν μεταχεῖν δυναμένυς. ὁμοίως ϗ ὁ μηχανικὸς τὴν ὕλην χηματίζων ἐπανάγει πᾶσαν ἑαυτῦ τὴν ποίησιν ἐπὶ τὰ ἄυλα χήματα ϗ ἐν φαντασίᾳ μ διαςατῶς, ἐν διανοίᾳ δὲ ἀμερῶς τὴν ὑπόςασιν ἔχοντα· πᾶσαι γὰρ αὖθ αἱ μέθοδοι, ϗ εἰ τῇ ὕλῃ προςρέχυσι ϗ πρὸς τὰ ἔξω ῥέπυσιν, ἀλλ' ὖν ὑπὸ τὰς μαθηματικὰς πράττυσαι πρὸς ἐκείνας ἀναφέρονθ ϗ παραδείγμασι κέχρηνθ τοῖς ἐκείνων θεωρήμασιν. "ὥςε εἰ ... ψευσεθ". ἐν τύτῳ τῦτο συμβαίνειν φαμέν, ὐ δι' ἣν αὐτὲς αἰτίαν

1078a 14.

1078a 17.

1 κατὰ om β. ‖ σπυδαίυ H. ‖ 2 εἰ μὲν H. ‖ μὲν om β. ‖ 3 ἑαυτοῖς H. ‖ 4 ὐ γὰρ ἄν] ὐκ ἂν BH. *quod utique non posset, nisi* — β. ‖ 5 μὴ om H. ‖ περὶ om A. ‖ ἀτελειοτέρυς H. ‖ λόγυς καὶ περιληπτ. om A, καὶ περιληπτ. om β. ‖ 6 διὰ τὸ καθόλυ AH. ‖ τῶ ἐν H. ‖ 8 εἶχε ἢ (A)H. ‖ ἢ] ἃ (*quae etiam . . . sunt*) β. ‖ μὲν om β. ‖ ἐν δὲ . . . δημιυργικῶς om Aβ. ‖ 9 καὶ πρὸς CH: πρὸς Aβ. ‖ 15 οἷον C: ὧν AHβ. ‖ 16 γεννητικὸν H. ‖ ὑποδεκτικὸν Hβ: ὑποδεικτικὸν B. ‖ σπερμ. λ. cf. Laertius Diog. VII 157. ‖ 17 καὶ ἄρρεν C. ‖ 20 σύν τινι ἰδιότητι om AHβ. ‖ 21 ἡ τῶν (A)H. ‖ τῶν τῇδε om β. ‖ 23 ὡς ante ὅσον interposui. ‖ *cum etiam norit iterum quantum distent in certitudine geometricae doctrinae a sensibilibus, quod utique non haberent, nisi circa* — β. ‖ 26 πρὸς ὃν BHβ. ‖ εἴπωμεν H. ‖ 27 ὅτι om H. ‖ 31 τῦτο om β. ‖ ἐπιδείξαιτο H. ‖ 33 ποιήσασθαι CH: χρήσασθαι Aβ. ‖ 35 πεποιωμένων H ut coniecerat Bonitzius: πεποιημένων B *affectis* β.

4 ὐδὲ ἧττον H. ‖ 5 ὅτε (*sed et cum hoc accidit*) β: ὅτι BH. ‖ 7 τὸ γὰρ τῦ CH: τῦ γὰρ A. ‖ Plat. rei p. VI p. 511 E. ‖ 8 ἀληθείας μετέχει AHβ. ‖ 9 γνώσεως: hinc male p. 865 b8 rem administrasse arguor, edendum ibi erat τοσύτῳ καὶ ἀληθείᾳ καὶ γνώσει [ἐναργείᾳ]. ‖ fort. ταὐτὸν δὲ τῦτο. ‖ met. α 1 p. 993 b30. ‖ 11 καὶ Πλάτωνος C. ‖ μὴ CHβ: τὸ μὴ A. ‖ 12 ἡμᾶς φίςασθαι H. ‖ 12—16 cf. Alex. p. 714, 26. ‖ 15 ἅπερ ἐςί B. ‖ 16 ἐςὶ τἀληθές A. ‖ 17 ἀκτίνας BH. ‖ 18 πνεύματος Hβ: πνεύμονος B. ‖ 20 cf. anal. post. I 7 p. 75 b 16 al. ‖ 22 ἐπὶ τῇ προσεχῆ H. ‖ 23 ὅλως] ἄλλως BHβ. ‖ 24 *ad causam exemplarem* β. ‖ ἀναφορά H. ‖ 30 ἐν τῇ φαντασίᾳ H. ‖ 34 κέχρηται BH: cum β correxerunt Brandisius et Bonitzius. ‖ 35 fort. εὖ γε τῦτο· συμβαίνειν δέ φαμεν.

ἐπιφέρει, ἀλλ' ἐπειδὴ μέτεισιν ἀπὸ τοῦ κατατεταγμένου χήματος ἐπὶ τὸ ἀκατάτακτον, καὶ ἀπὸ τοῦ μερικοῦ καὶ ἐνύλου ἐπὶ τὸ καθόλου καὶ ἄυλον, ἐν ᾧ καὶ ἡ ποικιλία τῶν λόγων καὶ τῶν θεω-
1078a 19. ρημάτων ἀναφαίνεται τὸ πλῆθος. "ὥσπερ .... ψεῦδος". οὐχ ὅμοιον τοῦτο ἐκείνῳ· τῆς μὲν γὰρ καταγραφείσης τὸ ποσὸν εἰς τὴν πρότασιν οὐ παραλαμβάνει, τῶν δὲ καθόλου μέμνηται καὶ ἐκ τῶν καθόλου πλέκει ἡ ἀπόδειξις· ὥςε περὶ αὐτῶν ἐςιν ὁ προηγούμενος λόγος τῷ μαθηματικῷ καὶ οὐχὶ περὶ τῶν ἐν τοῖς αἰσθητοῖς
1078a 21. μεγεθῶν τε καὶ χημάτων. "ἄριςα δ' ἂν .... χωρίσας". τοῦτο ὅ τι πάντως ἀληθές· τὸ γὰρ ἐν ὑποκειμένῳ ἔχον τὸ εἶναι καὶ μίαν αἰτίαν μὴ ἔχον χωριςήν, ἐν τῷ ὑποκειμένῳ ἂν μᾶλλον ἄριςα ὀφθείη· οἷον ἡ Σωκράτους μορφὴ ἐν τῷ Σωκράτους σώματι μᾶλλον ἂν ὀφθείη καὶ ἐναργέςερον ἢ εἴ τις ἀποδιαλαβὼν αὐτὴν καθ' αὐτὴν ἐπισκέπτοιτο. καὶ ὅτε δὲ τοῦτο συμβαίνει (συμβαίνει γὰρ ἐπὶ πασῶν ἐν τοῖς σώμασι κοινοτήτων), δι' ὃδὲν ἄλλο ἡ ἀρίςη κατανόησις αὐτῶν γίγνεται χωριζομένων ἢ διότι ἔχομεν ἑκάςων εἴδη παρ' ἡμῖν αὐτοῖς, ἅπερ ἀνελίττοντες τὰς
1078a 22. περὶ ἕκαςον ἐπιςήμας ἀπογεννῶμεν. "ὅπερ ὁ ἀριθμητικὸς .... τὸ δ' ὑλικῶς". ἔνςασιν ἐνταῦθα κομιζομένην πρὸς τὴν ἑαυτοῦ δόξαν ἐθέλει διαλῦσαι· εἰ γάρ, φασί, μὴ συγχωρεῖς εἶναι χωριςοὺς ἀριθμοὺς μηδὲ χήματα, περὶ μὴ ὄντων οἱ μαθηματικοὶ διαλέγονται· ὅτε γὰρ περὶ τῶν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς, ἐπειδὴ τὰ τοιαῦτά ἐςιν ἔνυλα, ὅτε περὶ χωριςῶν, ἐπεὶ μηδ' ὅλως χωριςά· περὶ μὴ ὄντων ἄρα. ὁ δέ φηςι περὶ μὴ ὄντων μὲν ἐνεργείᾳ, δυνάμει δ' ὄντων. πῶς οὖν δυνάμει ἐςὶ ταῦτα καὶ οὐκ ἐνεργείᾳ, διδάςκων τῷ ἀνθρώπῳ χρῆται παραδείγματι, καί φηςιν ὅτι εἷς μὲν καὶ ἀδιαίρετον ὁ ἄνθρωπος ἐνεργείᾳ, τουτέςιν ἓν τῷ ὑποκειμένῳ· ἀλλ' ὁ μὲν ἀριθμητικὸς προσελθὼν αὐτῷ τὸ μοναδικὸν αὐτοῦ καὶ τὸ ἄτομον θεωρεῖ, ὁ δὲ γεωμέτρης τὸ χερεὸν αὐτοῦ καὶ τὸ πάντῃ διαςατὸν ἐπισκέπτεται· ὑπάρχει γὰρ αὐτῷ καὶ ταῦτα· οὐ προσποιεῖται οὖν αὐτοῦ ὁ γεωμέτρης τὸ ἀδιαίρετον, ἀλλὰ ταῦτα ἃ ὑπάρχει μὲν αὐτῷ μετὰ τοῦ ἀδιαιρέτου, ὑπάρξειε δ' ἂν καὶ εἰ μὴ ἦν ἀδιαίρετος· ὥςε ὀρθῶς ἀποφαίνεται τριχῇ αὐτὸν εἶναι διαςατὸν καὶ ἐπ' ἄπειρον τμητὸν καὶ ὅςα ὅλως περὶ τῶν χερεῶν ὁ γεωμέτρης λέγει τε καὶ δείκνυσι. πρὸς ἃ ῥητέον ὅτι πρῶτον μὲν τί τὸ ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν ἄγον τὸ χῆμα καὶ τὸ μέγεθος; οὐ γὰρ δὴ τὸ δυνάμει φυλάξας δυνάμει νοεῖ ὁ γεωμέτρης, ἀλλ' ἐνεργείᾳ αὐτὸ ποιήσας· εἰ δὲ τοῦτο, μορφοῖ αὐτὸ καὶ ἀκριβέςερον ποιεῖ καὶ τελειοῖ. πῶς ἂν οὖν δύναιτο ταῦτα ποιεῖν μὴ ἔχων τὰ ἐνεργείᾳ ἐν ἑαυτῷ; σὸν γάρ ἐςιν, ὦ Ἀριςότελες, ὅτι ὑπὸ μόνου τοῦ ἐνεργείᾳ τὸ δυνάμει τελειοῦται καὶ εἰς ἐνέργειαν ἄγεται. ἔπειτα δὲ οὐδὲ πάντα ἀπὸ τῶν αἰσθητῶν δύναται λαμβάνειν ἡ γεωμετρία· πολλὰ γὰρ χήματα καὶ πάθη θεωρεῖ χημάτων, ἃ ὁ αἰσθητὸς κόσμος οὐχ ὑποδέδεται. εἶτα εἰ ἐνεργείᾳ μέν ἐςιν ἐν τοῖς αἰσθητοῖς ταῦτα (οὕτω γὰρ ὁ Ἀφροδισιεὺς τοῦτο τὸ ῥητὸν ἐξηγεῖται), δυνάμει δὲ θεωρεῖται καθ' ἑαυτά, πῶς ἀκριβέςερόν ἐςι τὸ δυνάμει τοῦ ἐνεργείᾳ; ὃ δὴ καὶ εὐλαβηθεὶς ὁ νεώτερος Ἀριςοτέλης ὁ ἐξηγητὴς τοῦ φιλοσόφου Ἀριςοτέλους, ἀνάπαλιν ἔφη λέγειν τὸν φιλόσοφον, δυνάμει μὲν εἶναι ἐν τοῖς αἰσθητοῖς τὸ ἕν, ὃ ἐπισκέπτεται ὁ ἀριθμητικός, καὶ τὸ χῆμα τὸ γεωμετρικόν, ἐνεργείᾳ δὲ ὑπὸ τῶν ἐπιςημῶν θεωρεῖσθαι. καὶ ἠβουλόμην ἐγὼ μᾶλλον οὕτως εἰρῆσθαι τῷ φιλοσόφῳ ὡς ὁ Ἀφροδισιεὺς ἐδοκίμασεν, ἵνα τά τε ἄλλα καθαρωτέρα γίγνηται αὐτῷ ἡ δόξα καὶ σὺν πλείονι παρρησίᾳ λέγειν αὐτὸν ἀπαιτῶμεν, τί τὸ τελειῶσαν τὴν δύναμιν καὶ εἰς ἐνέργειαν περιςῆσαν. "ἐπεὶ δὲ . . . 1078a
31. τρόπον τινά". ἐν τούτοις ἀποτείνει μὲν πάνυ δεόντως πρὸς Ἀρίςιππον καὶ εἴ τις ἄλλος ἀπεσκορακίζε τὰ μαθήματα μηδενὸς αὐτὰ καλῶ ἢ ἀγαθοῦ νομίζων ςοχάζεσθαι. καί φηςι τοῦ χρησίμου μὲν καὶ συμφέροντος τοῦ ἐν τοῖς πρακτοῖς (τοῦτο γὰρ νῦν ἀγαθὸν καλεῖ) μὴ μετεῖναι τοῖς μαθήμασιν, ἐπεὶ μηδὲ τὴν ἀρχὴν πολιτική τις ἕξις ἦν ἡ μαθηματική· τοῦ μέντοι καλοῦ μάλιςα τοὺς μαθηματικοὺς ἔχεσθαι περὶ τὰ σύμμετρα καὶ ὡρισμένα καὶ εὔτακτα διατρίβοντας· κἂν γὰρ μὴ ὀνομάζωσι τὸ καλὸν ἐν τοῖς συμπεράσμασιν, ἀλλ' ὅν δήλη ἐςὶν αὐτῶν ἡ πραγματεία πᾶσα συμμετριῶν καὶ ὁμοιοτήτων καὶ ἀναλογιῶν καὶ τάξεων ςοχαζομένη· πολλὰ δὲ καὶ ἐν τῇ φύσει τέλος ποιεῖται τὸ καλὸν καὶ τὸ εὔτακτον καὶ τὸ ὡρισμένον. ταῦτα τοίνυν ἀποδεξάμενοι τοῦ Ἀριςοτέλους πρῶτον ἀξιώσομεν αὐτὸν εἰπεῖν, πόθεν τὸ καλὸν καὶ τὸ σύμμετρον καὶ τὸ ὡρισμένον ἐπιπρέπει τοῖς μαθήμασι; τὰ μὲν γὰρ αἰσθητά, κἂν οὐράνια ᾖ, μερικώτερον τούτων μετέχει καὶ οὐ σὺν ἀκριβείᾳ τοιαύτῃ, τὰ δὲ νοητὰ κρείττονά ἐςι ταύτης τῆς διαιρέσεως καὶ ἀνελίξεως τῶν λόγων. λείπεται δὴ οἶμαι μέσην αὐτὰ φύσιν ἔχοντα τῶν τε νοητῶν εἰδῶν καὶ τῶν ἐνύλων μεμερίσθαι μὲν μᾶλλον τῶν νοητῶν καὶ διῃρῆσθαι καὶ πεπλη-

2 ἐπὶ τὸ . . . ἐνύλου om *H*. ‖ μερικοῦ ἐνύλου *Bβ*. ‖ 10 ὅτι *C*: ὅτι *AHβ*. ‖ 11 ἔχων *H*. ‖ 13 ἦ] εἰ *H*. ‖ 14 ὅτε] ὅτι *BHβ*. ‖ 16 αὐτῷ (*A*)*H*. ‖ 17 ἑκάςῳ εἴδει *A* ἐν ἑκάςῳ εἴδει *CH*: correxi cum *β*, item Bonitzius. ‖ 19—35 ex Alex. p. 715, 13sq. sublata. ‖ 20 φηςὶ (*A*)*Hβ*. ‖ 23 τὰ τοιαῦτα scripsi cl. Alex. p. 715, 16: *μὴ τοιαῦτα BH. quia huius ipsa materialia non sunt β*. ‖ 26 ἀνθρώπου *β* ἀνῶ *H* ἄνω *A*. ‖ 27 ὅτι hinc adde Alexandro p. 715, 26. ‖ ὁ ἄνος *H*. ‖ 32 ταῦτα ὑπάρχει *AHβ*. ‖ μὲν γὰρ αὐτῷ *β*. ‖ μετὰ om *H*. ‖ ὑπάρξει *CH*. ‖ 33 ἀδιαίρετος Alex. p. 716, 2. 4: ἀδιαίρετα *BH indiuisibile β*. ‖ 34 ὅλως] fort. ἄλλα. ‖ 35 λέγεται καὶ pr *H*. ‖ 36 μέν τι *H* μέντοι *A*.

1 *geometra, sed cum ad actum ipsam duxerit β*. ‖ 3 μὴ ἔχοντα ἐνεργείᾳ ἑαυτῷ *H*. ‖ 4 μόνον *H*. ‖ 5 πάντως *β*. ‖ 7 ὑποδέχεται *Aβ*. ‖ εἰ om *H*. ‖ 8 Ἀφροδισιεύς? at tu cf. u. 11 et 15. ‖ 9 δὲ om *H*. ‖ καθ' ἑαυτὸ *BH seorsum β*. ‖ 11 ὁ νεώτερος Ἀρις. scilicet ipse Alexander p. 715, 19sqq., cf. Zeller hist. philos. Gr. III, 1 p. 696. ‖ ἀριςοτέλης ἐξηγητὴς *H*. ‖ 15 ἠβουλόμην (*uolo β*) cf. Baeumleinius de modis Gr. p. 146 sq. ‖ ὡς ἀφροδισιεὺς *H*. ‖ 16 καθαρώτερα *H*. ‖ *eius opinio β*. ‖ 17 πλ. αὐτὸν παρρησίᾳ λέγειν (λέγει *H*) αὐτὸν *AH*. ‖ 19—30 ex Alex. p. 716, 11—25 conpilata. ‖ 22 μὲν om *H*. ‖ τοῦ ante ἐν Bonitzius ex Alex. 716, 15 adiecit: om *BH*. ‖ ποακτικοῖς *Aβ*. ‖ 23 καλεῖν *H*. ‖ 25 καὶ εὔτακτα καὶ ὡρισμένα Alex., cf. infra l. 30. ‖ 28 πασῶν *β*. ‖ 29 τέλος om *β*. ‖ 30 ἀποδεξάμενοι *H*. ‖ 32 ἐπιτρέπει *BH accommodetur β*. ‖ 36 εἰδῶν om *H*. ‖ 37 μεμερίσθαι δὲ μᾶλλον *AH*.

θύνθαι, ἡνῶᾳ δὲ τῶν αἰθητῶν ἐπὶ πλέον ϗ τετάχθαι ϗ μεμετρῆᾳ, καθολικοῖς τισι λόγοις ϗ ἀύλοις εἴδεσι διαπρέποντα ϗ τοῖς αἰθητοῖς τὴν προσεχῆ διακόσμησιν ἐπιφέροντα. ἐφ' ἅπασι δὲ τούτοις παρρησιασόμεθα πρὸς αὐτόν, ὑκ ἀλλαχόθεν εὐτέλειαν *ἐγκαλεῖν* τοῖς μαθήμασι φήσαντες τοὺς ὑπεριδόντας αὐτῶν ἢ ἐκ τοῦ μὴ δοῦναι αὐτοῖς ὑσίαν ἀφωρισμένην ἀλλὰ φαντασίας ἀθύρματα τῶν αἰθητῶν αὐτὰ παρασπωμένης ὑπολαβεῖν εἶναι· ἣν εἰ ἀκυρώσειεν αὐτὸς ὑπόληψιν, κατεγνωκὼς ἔςαι τῶν ἀνεπαιθήτως μ̄ ἐχηκότων τοῦ κάλλους τῶν μαθημάτων, ἀκολουθότερον δὲ ταῖς ἑαυτοῦ ὑποθέσεσι περὶ αὐτῶν δοξασάντων· περὶ ἀνύσια γ̄ πράγματα ϗ ὑςερογενῆ ϗ τῶν αἰθητῶν ἀφομοιώματα τί ἂν εἴη κάλλους ἢ τάξεως ἐχόμενον; τὴν γ̄ τῶν εἰκαςῶν ἀμυδρότητα ϗ ὑδένειαν ϗ ἀγνωσίαν εἰς πάντα πάντως, εἰ ϗ μὴ ἀλλαχόθεν, ἀλλ' ὅν ἐκ τῶν ἐν τῇ Πολιτείᾳ διαιρέσεων τῆς γραμμῆς ἀκριβῶς κατανενοήκαμεν· εἰς ἃ εἴ τις ἀποπέμψαιτο τὰ μαθήματα ὡς τῶν αἰθητῶν εἰκόνας ὄντα, ποίαν ἔτ' ἂν ἀπόδειξιν ἢ τάξιν ἢ ὅρον ἢ κάλλος ἀπονείμειε τῆς πρὸς ἑαυτὴν συμφωνίας ἀντεχόμενος; δήλη μ̄ ὖν ἡ ἀνάγκη τοῦ λόγου, κἂν ἡμεῖς μηδὲν ἐπιφέρωμεν· ὅμως δὲ ῥηθεῖσα μᾶλλον ἢ σιωπηθεῖσα γενήσεται σαφεςέρα. εἰ μ̄ γ̄ ἐκ τῶν αἰθητῶν τὸ ὑποκείμενον τοῖς μαθήμασιν, ὑδὲν ἔχει κάλλος ὑδὲ εὔτακτον ὑδὲ ὅροις διακεκοσμημένον· τὸ γ̄ ἔσχατον κάλλος ϗ ἡ ἀμυδροτάτη τάξις ϗ οἱ τελευταῖοι ὅροι ἐν τοῖς αἰθητοῖς ὑπῆρχον· μ̄ δὲ τὴν αἰθητὴν φύσιν εἴ πέρ τί ἐςιν, ἀκαλλὲς αὐτὸ εἶναι ϗ ἄτακτον ἀνάγκη ϗ ἀόριςον ϗ ἀνύσιον. εἰ δὲ κάλλος ϗ ὅρος ϗ ἀναλογιῶν παντοδαπῶν ϗ ποικιλίας θεωρημάτων ϗ θαυμαςῆς τάξεώς ἐςιν ὑποδοχή, κρεῖττόν τε ἂν εἴη ϗ πρεσβύτερον τῶν αἰθητῶν ϗ τῷ παντὶ τιμιώτερον, ὅσῳ τὸ ἀεὶ κ̄ τὰ αὐτὰ ϗ ὡσαύτως ἔχον τῶν ποτὲ μ̄ ὧδε ποτὲ δὲ ἑτέρως διακειμένων· ϗ γ̄ εἴ τι ἐν τοῖς αἰθητοῖς ἀεὶ ὡσαύτως, ὑκ ἀλλαχόθεν ἢ ἐκ τῶν μέσων λόγων τῆς ψυχῆς προσεχῶς παραγέγονε.

10786 7. "Περὶ μ̄ ὖν .... εἰρήθω". εἶναι μ̄ αὐτὰ δέδωκεν αἰδούμενος ϗ τὰς ἐν αὐτοῖς ἀποδείξεις ϗ τὴν κοινὴν ϗ ἀδιάςροφον περὶ αὐτῶν ἔννοιαν, ἐξ ἀφαιρέσεως δὲ εἶναι, ὃ ταὐτὸν τῷ ἀμυδρότερον εἶναι ϗ εἰδωλικώτερον τῶν αἰθητῶν, πρότερα δὲ τῷ λόγῳ τῶν αἰθητῶν, ὑ μέντοι γε τῇ ὑσίᾳ. ϗ περὶ μ̄ ὧν αὐτὸς εἶπε, δῆλον οἶμαι γεγενῆᾳ πᾶσι τοῖς ἀγχινυσεροις· εἰ δέ τις αὐτοῖς τοῖς γνησίοις τῶν Πυθαγορείων συγγένοιτο δόγμασιν, εἴσεται λαμπρῶς ϗ τῆς μαθηματικῆς ἁπάσης ἐπιςήμης τήν τε ὑσίαν ϗ τὴν δύναμιν ϗ τὰς ἐνεργείας, ϗ τίς μ̄ αὐτῆς ἡ κοινὴ θεωρία ϗ ἐπὶ πόσα διατείνυσα γένη· τίνες δὲ ἀρχαὶ τῶν οἷον μαθημάτων, ϗ τίνι διαφέρυσι τῶν ἄλλων ἀρχῶν οἷαι ἑτέρων ὑσιῶν ἀρχαί, πῶς τε κοινὴν τὴν αἰτίαν αἱ τοιαῦται παρέχονται πρὸς ὅλα τὰ μαθήματα· τίνες δὲ πάλιν αἱ ἴδιαι ἑκάςων ἀρχαὶ τῶν μαθημάτων, οἷον ἀριθμῶν ϟημάτων ἁρμονίας, ϗ τίνα ἔχυσαι τὴν καθ' ἑαυτὰς ἰδιότητα ϗ τὴν πρὸς ἀλλήλας διαφορὰν ϗ τὴν πρὸς πάσας τὰς ἄλλας ἀρχὰς τῶν ὅπως ποτὲ ὄντων· τίνα κοινῶς ὑπόκειται τοῖς μαθήμασι περὶ ἃ ποιοῦνται τὴν πραγματείαν οἱ Πυθαγόρειοι, ϗ πῶς ἔνεςι περὶ αὐτὰ καθόλυ τὴν θεωρίαν ποιεῖᾳ· τίς ἀρίςη χρῆσις τῆς περὶ τὰ μαθήματα σπυδῆς ϗ πρὸς τί τέλος ἀναφέρειν δεῖ τὴν ἀρίςην περὶ αὐτὰ πραγματείαν ϗ τί ἑκάςῃ τῶν μαθηματικῶν ἐπιςημῶν ὑπόκειται οἰκεῖον ἐπιςητόν· τί τὸ κοινὸν κριτήριον τῶν μαθημάτων πάντων, ϗ πῶς ἀπὸ τῆς τομῆς εὑρίσκεται τῆς γραμμῆς, ἣν Ἀρχύτας παραδίδωσι, πότερον ἐν ψυχῇ πρώτῃ τῶν μαθημάτων ἡ ὡρισμένη ὑσία ἢ ϗ πρὸ ψυχῆς, ἐπειδὴ ψυχὴ μ̄ κίνησις, ταῦτα δὲ ἀκίνητα· ὅτι τοὺς κυρίως μαθηματικοὺς λόγους ἡ τῆς ψυχῆς ὑσία πλήρωμα ἑαυτῆς ποιεῖται, καθὰ ϗ Πλάτων ϗ πρὸ Πλάτωνος Τίμαιος ὁ Πυθαγόρειος ἀνέδειξε· τί τὸ ἔργον τῆς μαθηματικῆς θεωρίας ϗ πῶς παραγίγνεται ϗ πῶς συμφωνόν ἐςι ϗ τῷ τῆς μαθηματικῆς ὀνόματι, ἅτε τὴν ὅλην ἀνάμνησιν ἡμῖν τῶν εἰδῶν ἐμποιοῦν· τίνες αἱ δυνάμεις τῆς μαθηματικῆς ἐπιςήμης ϗ τίνας ἔχυσι τάξεις ἐν ἑαυταῖς ϗ κ̄ πόσας διαφορὰς διαιροῦνται ϗ ποσαχῶς νοοῦνται· τίνα ϟοιχεῖα ϗ γένη τῆς μαθηματικῆς ἐπιςήμης, ϗ πῶς μ̄ ϟοιχεῖα πῶς δὲ γένη τὰ αὐτὰ καθ' ὁμοιότητα τῶν τοῦ ὄντος γενῶν, τίνι δὲ διέςηκε ταῦτα τῶν τε νοητῶν ϗ τῶν γενητῶν ὑσιῶν· περὶ ὁμοιότητος ϗ ἀνομοιότητος τῆς μαθηματικῆς τίνες τέ εἰσι ϗ ἐπὶ πόσον διατείνυσι, πῇ τε διαφέρυσι τῶν τε νοητῶν ϗ αἰθητῶν ὁμοιοτήτων τε ϗ ἀνομοιοτήτων· πῶς δίκει πρὸς πᾶσαν φιλοσοφίαν ἡ τῶν μαθήματων γνῶσις, πόσα τε ταῖς τέχναις ἀγαθὰ συμβάλλεται ταῖς τε ὅλαις ϗ ταῖς κ̄ μέρος διωρισμέναις, ὥσπερ ταῖς θεωρητικαῖς ϗ νοητικαῖς ϗ πρακτικαῖς· τίς ἡ τάξις τῆς ἐν τῇ μαθηματικῇ ἀγωγῆς, ϗ εἰ τήν τε κ̄ φύσιν ἔχει τάξιν ϗ τὴν πρὸς μάθησιν, ϗ εἰ συμφωνεῖ ἑκατέρα τάξις πρὸς τὴν ἑτέραν· τίνες οἱ ἴδιοι τρόποι τῆς Πυθαγορικῆς παραδόσεως τῶν μαθήματων, ϗ πῶς αὐτοῖς ἐχρῶντο ϗ πρὸς τίνας, ϗ ὅτι τὸ οἰκεῖον προσέφερον ἀεὶ τοῖς τε πράγμασι ϗ τοῖς μαν-

2 διαπρέποντα] *decenter perdurantia* β. ‖ 4 παρρησιασώμεθα **H.** ‖ 5 εὐτέλειαν **Hβ** ἐντέλειαν **B.** ‖ ἐγκαλεῖν interposui: *tradidisse* β om **BH.** ‖ 8 εἰ κυρώσειεν **BHβ.** ‖ 9 et 12 κάλλυς **B.** ‖ 10 ἑαυτοῦ] ἑαυτῶν **BHβ.** ‖ 17 ἔτ' ἂν **CH:** ἂν ἔτ' ἂν **A.** ‖ ἀπονέμεις **H.** ‖ 18 ἑαυτοὺς **H.** ‖ 24 ἀκάλὲς **BH.** ‖ 25 εἰ δὲ] καὶ **H.** ‖ ὅρων **H.** ‖ 28 *et tanto praestantior quanto* β. ‖ 29 τοῦ .... διακειμένυ β. ‖ 31 προσεχῶς om β. ‖ 34 περὶ αὐτὸν **H.** ‖ 35 τῷ] τὸ **H.** ‖ εἰδωλικώτερα β. ‖ 37 δῆλα β. ‖ 38 γνησίως **H.**

3 οἷον **CH** *tantum* β: οἵων **A.** ‖ 9 ὁπῶς ποτε (**A**)**H.** ‖ 12 πρὸς τί **Hβ**: πρὸς τὸ **B.** ‖ 14 οἰκεῖον **CH**: ὑχ οἷον **Aβ.** ‖ ἐπιςητῶν **A.** ‖ 16 cf. Ioa. Lyd. de mens. II 8 p. 21 ed. Bonn. Ἀρχύτας δὲ τῆς ψυχῆς τὸν ὅρον ὑκ ἐν τετραγώνῳ ἀλλ' ἐν κύκλῳ ἀποδίδωσι διὰ τούτων· ψυχὰ τὸ αὐτὸ κινοῦν. ἀνάγκα δὲ τὸ πρῶτον κινοῦν, κύκλος δὲ τοῦτο [ἢ σφαῖρα]. ‖ πρώτη **B** *potentia* β. ‖ 18 ὅτι cf. infra l. 39. ‖ κυρίως **H.** ‖ 19 ὑσίας **H.** ‖ 20 cf. Tim. Locr. 4 p. 96. ‖ 23 ἡμῶν **H.** ‖ ἐποίυν **H.** ‖ 27 τίνι τε διές. **H.** ‖ 32 πόσα τε] πόσα **BHβ.** ‖ 33 ταῖς τε ὕλαις **AH.** ‖ 34 θεωρηταῖς καὶ νοηταῖς β. ‖ νοητικαῖς] fort. ποιητικαῖς. ‖ 36 πρὸς μάθησιν **Hβ**: προμάθησιν **B.** ‖ 38 πρὸς τίνα β. ‖ 39 *afferebant* β: προέφερον **BH.**

θάνυσι· τίς ἡ κῷ τοῦ Πυθαγορείου διαίρεσις τῆς ὅλης μαθηματικῆς ἐπιστήμης εἰς γένη τε καὶ εἴδη τὰ κυριώτατα· τίς ἡ ὁριστικὴ τῆς μαθηματικῆς μέθοδος καὶ πῶς γιγνομένη, τί τε ὄφελος εἰς ἐπιστήμην συμβάλλει, καὶ τίς ἡ ἀποδεικτική, καὶ πότερον ἀφ' ἑαυτῆς ἢ ἄλλοθεν ταύτην κομίζει· τίνες ἀρχηγέται τῆς κῷ Πυθαγόραν μαθηματικῆς ἐπιστήμης προηγήσαντο· τίς ἡ ἰδιάζουσα κατ' ἐκεῖνο τὸ διδασκαλεῖον ἐγένετο μελέτη τῆς μαθηματικῆς· τί ἀπαιτεῖν χρὴ παρὰ τοῦ μαθηματικοῦ τοῦ ὄντως πεπαιδευμένου, καὶ πῶς δεῖ κρίνειν αὐτοῦ τὴν θεωρίαν καὶ ἐκ τίνων ὅρων τὴν ὀρθότητα παραλαμβάνειν· πῶς ἐνίοτε καὶ περὶ τῶν πρώτων νοητῶν καὶ περὶ τῶν αἰθητῶν μαθηματικῶς διαλεγόμεθα καὶ διὰ τί τοῦτο πέφυκε γίγνειν· ταῦτα δὴ πάντα καὶ πρὸς ἔτι τούτοις τὰς καθ' ἑκάστην θεωρίαν τῶν μαθημάτων ἀποδείξεις παρ' αὐτῶν τις τῶν ἡγεμόνων τῆς μαθηματικῆς ἐπιστήμης ὑποδεξάμενος καὶ πείρᾳ μαθών, ὅπως ἐξ αὐτῶν ὄργανόν τι τῆς ἑκάστου ψυχῆς ἐκκαθαίρεταί τε καὶ ἀναζωπυρεῖται, ἀπολλύμενον καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὂν σωθῆναι μυρίων ὀμμάτων, αἰχνυθείη ἂν τὸ σῶζον ἡμᾶς καὶ ὅτω γλαφυρὸν καὶ λόγοις ἐπιστημονικοῖς καὶ νοεροῖς καὶ * διαπεποικιλμένον τῆς θεωρίας εἶδος εἰς ἀνύσιον καθέλκειν ὑποκείμενον. εἰ δέ τινι καὶ τῆς ἀνελίξεως καὶ τῆς διεξοδικωτέρας ὑφηγήσεως ὧν ἀνεγράψαμεν προβλημάτων ἔρως ἐνέσται φιλομαθής, ἐντυχὼν ὅτος ταῖς τε Νικομάχου συναγωγαῖς τῶν Πυθαγορείων δογμάτων καὶ ταῖς τοῦ θείου Ἰαμβλίχου περὶ αὐτῶν τούτων πραγματείαις ἀποπλήσει τὸν ἔρωτα, τοῦ μὲν ἱστορικῶς ἅπαντα καὶ φιλαλήθως ἀφηγουμένου, τοῦ δὲ κατασκευαῖς καὶ ἀποδείξεσι καὶ νοερωτέραις ἐπιβολαῖς αὐτὰ διακοσμήσαντος, δῆλον δὲ ποτέρου ποτέρως. καὶ περὶ μὲν τῶν μαθημάτων ἅ τε εἶπεν Ἀριστοτέλης καὶ ἃ πρὸς αὐτὸν ἡμεῖς διαμιλλώμεθα, μέχρι τούτων ἀρκέσει πρὸς τὸ παρόν· λοιπὸν δὲ ὡς πρὸς τὰς ἰδέας ἠπόρησεν ἐπισκεψώμεθα.

Ο ΠΕΡΙ ΤΩΝ ΙΔΕΩΝ ΛΟΓΟΣ.

10786 9. "Περὶ δὲ τῶν ἰδεῶν ... εἶναι". ἐπειδὴ καὶ ἀριθμοὺς εἰδητικοὺς ὁ Πλάτων ἐκάλει τὰς ἰδέας ἑπόμενος τοῖς Πυθαγορείοις, πρότερον, φησίν, ὡς ἰδέας αὐτὰς ἐξετάσωμεν, μηδὲν ἐπιμεμνημένοι τῶν ἀριθμῶν, εἴτε εἰσὶ τοιοῦτοι ἀριθμοὶ εἴτε μή, ἀλλ' εἰς αὐτὴν τὴν ἔννοιαν ἀνελθόντες τῶν πρώτων θεμένων τοῖς χωριστοῖς εἴδεσι ταύτην τὴν προσηγορίαν. καίτοι μέλλοντι τὰ ὑπ' ἐκείνων νοηθέντα δικαίως βασανίζειν οὐδὲν ἔδει τῆς τοιαύτης διαιρέσεως· ὁ γὰρ κατ' ἄλλο μὲν ἰδέα κατ' ἄλλο δὲ ἀριθμὸς εἰδητικὸς κατονομάζοι, ἀλλ' εἴπερ ὑγιὲς τὸ "ἀριθμῷ δέ τε πάντ' ἐπέοικεν", οὐκ ἄδηλον ὅτι κῷ τὸ παραδειγματικὸν ἰδίωμα καὶ ὁ ἀριθμὸς κέκληται καὶ μάλιστα πάντων ὁ εἰδητικός. εἰ δὲ καὶ ἀπὸ τῆς τῶν ὀνομάτων δυνάμεως ἐθέλοι τις αὐτὸ συνιδεῖν, παντὶ πρόδηλον ὡς ἥ τε ἰδέα συνεξομοιοῦσα ἑαυτῇ τὰ μετέχοντα καὶ εἴδους καὶ τάξεως καὶ κάλλους καὶ ἑνώσεως αὐτοῖς μεταδιδοῦσα τούτου τετύχηκε τοῦ ὀνόματος, ἅτε τὸ αὐτὸ μὲν εἶδος ἀεὶ διασώζουσα, ἐπὶ πλεῖστα δὲ ὅσα τὴν ἑαυτῆς ἐφαπλοῦσα δύναμιν καὶ τὸ αὐτὸ εἶδος διαιωνίως τοῖς μετέχουσιν ἐπιφέρουσα· ὅ τε ἀριθμὸς ἁρμονίας καὶ φιλίας τοῖς πᾶσιν ἐξηγούμενος ταύτης τετύχηκε τῆς προσρήσεως· ἄρσαι μὲν γὰρ τὸ ἁρμόσαι καλοῦσιν οἱ παλαιοί· "ἐν δὲ σαθμοὺς ἄρσε", καὶ ἀνάρσιον τὸ ἀνάρμοστον, καὶ ἀρθμὸν τὴν φιλίαν· "ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετ' σφίσιν". ἐξ ὧν ἁπάντων ὁ ἀριθμὸς κέκληται μετρῶν πάντα καὶ ἁρμόζων καὶ φίλα ποιῶν, ὅπερ τῆς εἰδητικῆς αἰτίας ἴδιον εἶναί φαμεν. ἀλλὰ ταῦτα μὲν ἔξωθεν προσπαρειλήφθω, τοσοῦτον δὲ προειπόντες ὅτι πλειόνων ἐγκλημάτων ἀφορμὰς ἑαυτῷ παρασκευάζων προδιεῖλε τὰ σκέμματα, κατακολουθήσωμεν οἷς ἐφεξῆς ἀναγράφει περὶ τῶν ἰδεῶν. "συνέβη .... ἰδέας προσηγόρευσαν". 10786 12. ἐν τούτοις τὸ μὲν ἐκ τῆς τῶν Ἡρακλειτείων δόξης ἐπὶ τὴν περὶ ἰδεῶν ὑπόληψιν ἐλθεῖν τοὺς θείους ἄνδρας ψευδῶς εἴρηται· οὐδὲ γὰρ Ἡρακλείτῳ τέλεον ὁμογνωμονοῦσι περὶ τῶν αἰθητῶν οἱ ἀμφὶ Σωκράτη καὶ Πλάτωνα, ὡς δηλοῖ καὶ ὁ Θεαίτητος καὶ τὰ ἐν Κρατύλῳ ῥηθέντα· ὅτε διὰ τὸ ταῦτα ῥεῖν ἐπὶ τὰς ὡρισμένας τῶν ὄντων ἦλθον αἰτίας ἀλλὰ τοὐναντίον καὶ τὸ τούτων συγκεχυμένον καὶ ἄστατον καὶ ἀβέβαιον καὶ πλημμελὲς ἐκ τῆς οὐσίας ἐκείνης ὑπελάμβανον διακρίσεως καὶ ταυτότητος καὶ μονίμου καταστάσεως καὶ εὐταξίας μεταλαγχάνειν, καθ' ὅσον αὐτῷ θέμις ἦν ὑπ' ἐκείνης κοσμεῖσθαι τῆς αἰτιωτάτης τῶν ὅλων ἀρχῆς. τὸ δὲ μὴ εἶναι τῶν ῥεόντων ἐπιστήμην οὐ μόνον Πλάτωνι καὶ Σωκράτει καὶ τοῖς Πυθαγορείοις, ἀλλὰ καὶ αὐτῷ δοκεῖ

4 συμβάλλεται, τίς *BHβ*: καὶ interposui. ‖ 6 πυθαγόρα *H*. ‖ ἐπιστήμης om *C*. ‖ 8 τὸ (sic) χρὴ απαιτεῖν *H*. ‖ τοῦ ὄντος *CHβ*. ‖ 13 προσέτι *BH*. *et cum his adhuc β*. fort. scribendum πρὸς ἐπὶ, cf. Iacobsius ad Aelian. nat. an. t. II p. 572. ‖ 16 ἀναζωπυροῦται *A*. ‖ 19 νοεραῖς. καὶ *H, B*: καὶ om *β*. ego hiatum notaui. ‖ 21 τινι] τι *CH*. ‖ καὶ διεξοδικωτέρας *C*. ‖ 22 ἐνέσται (*A*) ἔνεστι (*si . . . insit*) *β*. ‖ φιλομαθοῦς *H*. ‖ 23 ὅτος τε (om ταῖς) *H*. ‖ 25 τοῦ] τὸν *H*. ‖ 27 πότερον ποτέρως *AH*. *utro uero* [scr. *uter utro*] *modo uoluerit β*. ‖ 29 αὐτὸν scripsi cum *β*: αὐτὴν *BH*. ‖ *dissentimus β*: διομολογόμεθα *BH*. ‖ 36 *examinemus β*: ἐξετάσομεν *C* ἐξετάζομεν (*A*)*H*. correxit Bonitzius cl. Alex. p. 717, 9 cui quae usque ad l. b3 leguntur, Syr. debet.

1 τοιοῦτοι οἱ ἀριθμοί *AH*. ‖ 2 πρώτων *AHβ*: πρῶτον *C*. cf. Arist. ‖ 4 ῥηθέντα *β*. ‖ 6 ὑγιῶς *H*. ‖ τὸ] τῷ *A*. ‖ fr. Pythag., cf. Syr. ad p. 1080 b16, Sextus adu. math. IV 2. VII 94. 109 et Lobeckius Aglaoph. p. 715 sqq. ‖ ἀριθμῶδες· πάντη *H*. ‖ 7 πάντ' *Cβ*: πάντη τ' *AH*. ‖ ἐπεποίηκεν *CH*. ‖ 12 τότε *C*: ὅτω *AHβ*. ‖ αὐτὸ] ἀεὶ *A*. ‖ 14 δι' αἰωνίας *A*. ‖ ὅ τε *Hβ*: εἴ τε *B*. ‖ 15 καὶ φιλίας om *A*. *cum in omnibus proportionem et concinnitatem exponat β*. ‖ τοῖς] ταῖς pr *H*. ‖ 17 ἐν . . . ἄρσε Odyss. φ 45. ‖ εὖ δε σαθμὸν coniecerat *β*. ‖ ἄρσε] ἄροις *BHβ*. ‖ τὸν ἀνάρμ. *C*. ‖ 18 καὶ ἀρθμὸν] ἀριθμὸν καὶ *BHβ*. ‖ ἀλλὰ . . . σφίσιν Apollonius Rhod. II 755. cf. etym. m. p. 141, 26. ‖ ἀριθμὸν *BHβ*. ‖ 20 φίλα ποιῶν *Cβ*: φιλίαν ποιῶν *H* φιλοποιῶν *A*. ‖ 23 ἐφεξῆς οἷς *A*. *sequamur contra quae β*. ‖ 25 ἡρακλητῶν *H* ἡρακλείτου *A*. ‖ 26 ὑπόλειψιν *H*. ‖ 27 ὅτὲ sic *H*. ‖ 30 ἀλλὰ τοὐναντίον om *β*. ‖ 32 καὶ τὸ ταυτότητος *H*. ‖ 36 τοῖς om *H*.

τῷ ταῦτα γράφοντι· ἀλλὰ μηδὲ τῶν καθ' ἕκαστα· ἃ εἴτε ῥέοι κᾷ πᾶν, ὡς ὁ Ἡρακλείτου λόγος, εἴτε γίγνοιτο μὲν ἀεὶ καὶ φθείροιτο, διαμένοι δὲ κᾷ τὰ ἑαυτῶν ὅλον διὰ τὴν εἰδητικὴν αἰτίαν, ὡς Πλάτων ἐθέλει, εἴτε καὶ ὄντα τις αὐτὰ καλοίη, ὡς Ἀριστοτέλης εἴωθεν, εἴτε καὶ μόνα εἶναι λέγοι, ὡς οἱ Στωικοί φασιν, ὅμως τό γε ἐπιστήμην εἶναι τῶν ἀτόμων παρὰ πᾶσίν ἐστιν ἀπεγνωσμένον, εἰ μή τις ἐπιστήμην ἐθέλοι καλεῖν τὴν αἴσθησιν. ἀλλ' ἵνα τὰ πολλὰ παρῶ, τὰ Δημόκριτον μὲν μόνον ἐπὶ βραχὺ τῆς ὁριστικῆς ἥφθαι, τοὺς δὲ Πυθαγορείους ἀντὶ τῶν ὅρων ὀνόματα τίθεσθαι τοῖς πράγμασιν ἀριθμῶν, τὸν μὲν καιρὸν ἑπτάδα, τὰ δὲ δίκαιον πεντάδα, τὸν δὲ γάμον ἑξάδα καλοῦντας, τὰ Σωκράτει τὴν μὲν ἀρχὴν τῆς ἀποδεικτικῆς ἐπιστήμης ἀπονεῖμαι μὴ πᾶσαν δὲ τὴν θείαν καὶ ἀναγωγὸν τῶν ψυχῶν διαλεκτικήν, τὰ τὴν κατ' αὐτὸν διαλεκτικὴν ** ὁ Πλάτων καλεῖ μὴ ἔχειν ἐπὶ Σωκράτους καὶ Πλάτωνος ἰσχὺν τῶν πάντας καταγωνισαμένων τοὺς παραλογιστικοὺς καὶ διαστρόφους σοφιστάς· ἵν' οὖν ταῦτα παρῶ, ἐπεὶ μηδ' αὐτὸς προηγούμενον νυνὶ περὶ αὐτῶν λόγον κατεβάλλετο, τὰ ἐπὶ πᾶσι τούτοις ῥηθέν, λέγω δὲ τὰ Σωκράτη μὲν διὰ τοὺς ὁρισμοὺς ἐπὶ τὰ καθόλου ἐλθεῖν καὶ ταῦτα ποιεῖν ἀχώριστα, Πλάτωνα δὲ τὴν Σωκράτους ἀγνοήσαντα ἢ παραβαίνοντα τῶν καθόλου χρῆσιν, ἐξηρημένην αὐτοῖς οὐσίαν παραχεῖν, τῶν εἰρημένων ἁπάντων εἶναί μοι δοκεῖ τὰ χετλιώτατον· ὅτε μὲν Σωκράτης τὰ ὁριστὰ μόνα ᾤετο εἶναι καθόλου, ἀλλὰ πρὸ τούτων ἔτι τοὺς ἐν τῇ ψυχῇ λόγους, ὡς δηλοῖ Πλάτων ἔν τε Φαίδρῳ καὶ Φαίδωνι καὶ πῇ μὲν οὐχί, δίκαιος ὢν καὶ ἀξιοπιστότατος ἀνθρώπων ἁπάντων τὰ Σωκράτους ἡμῖν ἀπαγγέλλειν· ὅθ' ὁ παρ' ἐκείνου τὴν φιλοσοφίαν ὑποδεξάμενος *ἠγνόησεν* ἢ παρέβη ἄν τι τῶν ὑπὸ τοῦ διδασκάλου διατεταγμένων, ὃ παραβαίνων αὐτῷ ἐκείνῳ περιειτίθει τὰ μηδὲν αὐτῷ προσήκοντα δόγματα, μᾶλλον δὲ τὰ ὑπεναντίως ἔχοντα πρὸς τὴν ἐκείνου πραγματείαν. νυνὶ δὲ καὶ ἐν Πολιτείᾳ κᾷ τὰ δέκατον βιβλίον παραδέδωκεν αὐτὸν τὰ χωριστὰ εἴδη τὰ ἐν τῷ θείῳ κείμενα πρεσβεύοντα, καὶ ἐν Φαίδρῳ τὰς ἀναγομένας ψυχὰς καθορᾶν λέγοντα αὐτὴν μὲν δικαιοσύνην, αὐτὴν δὲ σωφροσύνην καὶ ἔτι αὐτὴν ἐπιστήμην, καὶ ἐν Φαίδωνι διὰ τῆς τῶν εἰδῶν ὑποθέσεως τῶν χωριστῶν τὴν ἀθανασίαν τῆς ψυχῆς κατασκευάζοντα. καὶ οὐδὲ ἀπὸ Σωκράτους ἤρχθαι ταύτην τὴν θεωρίαν φησὶν ὁ φιλόσοφος, ἀλλ' ἄνωθεν ἀπὸ τοῦ Πυθαγόρου καὶ τῶν ἀρχηγετῶν τοῦ Ἐλεατικοῦ διδασκαλείου. ὅ τε γοῦν Τίμαιος Πυθαγόρειος ὢν οὐκ ἀλλαχόθεν διακοσμεῖ τὴν γένεσιν ἢ ἀπὸ τῶν εἰδῶν τῶν χωριστῶν, κατασκευάζων καὶ ὅτι ἔστι καὶ ὅτι αἴτια τῶν τῇδε· ὅ τε Παρμενίδης οὐδ' ὅποι τις τρέψει τὴν διάνοιαν ὑποπελεῖφθαί φησι μὴ ὄντων τῶν εἰδῶν. ἔν τε τῷ Σοφιστῇ τοὺς πρὸς τοὺς τῶν εἰδῶν φίλους ἀποτεινομένους Γίγασιν ἀφομοιοῖ ὡς Ὀλυμπίαις δηλαδὴ ψυχαῖς καὶ μετεωροπορούσαις ἀνθιστάμενος. ἀλλ' ἵνα μὴ νῦν περὶ τὴν ἱστορίαν φανερὰν οὖσαν διατρίβωμεν, ῥητέον ἕνα λόγον περὶ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν Παρμενιδείων τε καὶ Πυθαγορείων πρὸς αὐτόν, ὡς ἄρα τὰ εἴδη παρὰ τοῖς θείοις τούτοις ἀνδράσιν ὅτε πρὸς τὴν χρῆσιν τῆς τῶν ὀνομάτων συνηθείας παρήγετο, ὡς Χρύσιππος καὶ Ἀρχέδημος καὶ οἱ πλείους τῶν Στωικῶν ὕστερον ᾠήθησαν (πολλαῖς μὲν διαφοραῖς διέσχηκε τὰ καθ' αὐτὰ εἴδη τῶν ἐν τῇ συνηθείᾳ λεγομένων), ὅτε τοῖς λεκτοῖς τοῖς πολυθρυλλήτοις ἀνάλογον τῷ νῷ παρυφίσαν, ὡς ἠρεῖτο Λογγῖνος πρεσβεύειν· οὐδὲ μὲν ὅλως παρυφίσαν τῷ νῷ, εἴπερ ἀνούσιόν ἐστι τὸ παρυφισάμενον· πῶς δ' ἂν τὸ αὐτὸ νοητόν τε εἴη καὶ παρυφίσαιτο; οὐ μὴν οὐδ' ἐννοήματά εἰσι παρ' αὐτοῖς αἱ ἰδέαι, ὡς Κλεάνθης ὕστερον εἴρηκεν, οὐδ' ὡς Ἀντωνῖνος μιγνὺς τὴν Λογγίνου καὶ Κλεάνθους δόξαν, τῷ νῷ παρυφίσαν κᾷ τὰς ἐννοητικὰς ἰδέας. οὐ μὴν ὅτε ὁ ὁριστικὸς λόγος ὅτε τὸ ἔνυλον εἶδος καὶ τὸ ὁριστόν ἐστιν ἡ ἰδέα, ὡς ἐν τούτοις καὶ ἐν ἄλλοις ὁ Ἀριστοτέλης φησὶν οἰηθῆναι τὸν Σωκράτην· τὰ μὲν γάρ ἐστιν ἐν συνθέσει καὶ διαιρέσει καὶ πλήθει, καὶ ῥέπει πρὸς τὴν γένεσιν καὶ τὴν ὕλην, τὰ δὲ εἴδη τελέως ἁπλᾶ καὶ ἀμερῆ καὶ μονοειδῆ καὶ ἀγένητα καὶ ἄυλα. καὶ τί θαυμαστὸν εἰ τὰ τοσοῦτον ἀλλήλων διεστῶτα χωρίζομεν ἀπ' ἀλλήλων; ὅπου γε μηδὲ Πλούταρχον καὶ Ἀττικὸν καὶ Δημόκριτον τοὺς Πλατωνικοὺς κατ' αὐτὸ τοῦτο ζηλοῦμεν, ὅτι γε τοὺς καθόλου λόγους τοὺς ἐν οὐσίᾳ τῇ ψυχικῇ διαιωνίως ὑπάρχοντας ἡγοῦνται εἶναι τὰς ἰδέας· εἰ γὰρ καὶ χωρίζουσιν αὐτὰς τῶν ἐν τοῖς αἰσθητοῖς κοινο-

1 ἃ inserui. ‖ 3 *permaneant* β διαμένει *BH*: corr. Bonitzius. ‖ 4 ὄντά τις (*A*)*H*. ‖ 5 λέγει et 7 ἐθέλει *H*. ‖ 8 δημόκρειτον (*A*)*H*. ‖ μὲν ἐπὶ μόνον ἐπὶ *AH*. ‖ 11 καλοῦντας τῷ *AH*. ‖ 13—16 *sed non omnem diuinum et animas sursum ducendi uim habentem dialecticam, quia non ut ipse dialecticam Plato uocat, quod in Socrate et Platone non habet uim, qui .... decertarunt* β. ‖ 14 αὐτὸν *Hβ*: αὐτὴν *B*. ‖ duo nerba intercidisse uidentur ἡν ἐοιστικὴν, cf. l. 16. ‖ καλεῖν *H*. ‖ μὴ ἔχει *BHβ*: eodem modo a Bonitzio correctum uideo, quamuis de eis quae antecedunt aliter statuerit. ‖ 18 δὲ τὸ *CHβ*: δὲ *A*. ‖ 20 δὲ καὶ σωκράτην *AHβ*. ‖ τῶν *C*: τ' ὧν *A* τὴν *H*(β?). ‖ 25 δικαιότατος ὢν β. ‖ 26 ἀπήγγειλεν; β. ‖ 27 hiatum ante ἢ manifestum probabiliter expleui cl. l. 20. ‖ 31 καὶ om β. ‖ ἐν τῇ πολιτείᾳ *H*. ‖ Pl. rei p. X p. 596. ‖ 32 τὰ ἐν *Hβ*: ἐν *B*. ‖ *in intellectu diuino* (ἐν νῷ θείῳ) β. ‖ 33 Phaedr. p. 247 D. ‖ τὰς ἀγομένας (*A*)*H*. ‖ καθορᾶν inter τὰς et ἀναγ. ponit *C*. ‖ αὐτὴν τὴν δικ. (om. μὲν) *A*.

1 Phaedon. p. 100 B sq. ‖ 4 δ.δασκάλου (*A*)*H*. ‖ 5 Tim. p. 28 sq. ‖ 6 *et astruens* (καὶ κατασκ.) *qui sint et quod sint causae* β. ‖ 7 παραμενίδης *H*. Parm. p. 135 B sq. ‖ ὅπη τις τρέψῃ libri. correxi cl. Syriano p. 898 b28. ‖ 9 Soph. p. 246 A. ‖ πρὸς τοὺς om *H*. ‖ 12 περὶ] ὑπὲρ β. ‖ 13 παρμενίδων *H*. ‖ 14 παρὰ om *A*. ‖ 15 χρῆσιν] ῥῆσιν libri cum β. ‖ 18 τοῖς λεπτοῖς β. ‖ 19 τῶν ὦ παρυφ. *A*. ‖ εἴωτο (*ut dicebatur Longinus praeferre*) β εἰρήτω *H*. ‖ λογγῖνος *BH*. ‖ οὐδὲ] οὐδὲν *BHβ* itemque codex (Meermannianus?) Ruhnkeni, de uita et scriptis Longini § XIV p. CV Weisk. ‖ 20 γὰρ ὑφίσαται (om ὅλως παρ-) *H*. ‖ 21 αὐτονοητόν *B*. ‖ 22 οὐδὲν νοήματα cod. Ruhnkeni οὐδὲ νοήματα *A*. ‖ 23 ἀντωνῖος (*A*)*H*. cf. Proclus in Timaeum p. 187 Ἀντωνῖνον — τὸν Ἀμμωνίου μαθητήν. ‖ 27 καὶ πλήθει om (*A*)*Hβ*. ‖ 30 sq. cf. Ruhnkenus l. s. § IV p. LXXIII sq. Wyttenbachius ad Plut. mor. t. I p. LI. ‖ 33 τῇ ψυχῇ *AH* *animae* β.

τήτων, ἀλλ' ὅμως ὑ χρὴ συμφύρειν εἰς ταὐτὰ τὺς τῆς ψυχῆς λόγυς ϗ τὺν ἔνυλον καλυμένον νῦν τοῖς παραδειγματικοῖς ϗ ἀύλοις εἴδεσι ϗ ταῖς δημιυργικαῖς νοήσεσιν, ἀλλ' ὥσπερ ὁ θεῖος Πλάτων τὲ μ̄ ἡμέτερον εἰς ἓν λογισμῷ συναιρεῖθαί φησι ϗ ἀνάμνησιν εἶναι ὧν ἐθεασάμεθά ποτε συμπορευθέντες θεῷ, τὲ δὲ θεῖον ἀεὶ κ̄ τὰ αὐτὰ ὡσαύτως ἔχειν, ὕτω ϗ αὐτὺς διαιρεῖν, ἔς' ἂν ἐθέλωσιν εἶναι Πλατωνικοί. παραφέρει δὲ ϗ Βοηθὸς ὁ περιπατητικὸς ἐκ τῶν παρὰ τῷ Ἀριςοτέλει κατηχήσεων εἰς ταὐτὲν ἄγων τοῖς γενικοῖς τὰς ἰδέας· ᾧ ϗ τὲν Κορνῦτον συντάττειν εὔλογον, ὑ πόρρω ϗ αὐτὲν ταύτης ὑπενεχθέντα τῆς δόξης· εἴτε γὰρ πρότερα τὰ γενικὰ τῶν καθ' ἕκαςα, ὑχ ὕτω πρότερα ὡς ἐξῃρημένα τῆς πρὸς αὐτὰ χέσεως ὑδ' ὡς τῆς ὑσίας αὐτῶν αἴτια, ἅπερ ὑπάρχει ταῖς ἰδέαις· εἴτε δεύτερα, καθάπερ ϗ οἱ πολλοὶ λέγειν εἰώθασι, πότε τὰ ὑςερογενῆ ϗ ἀνύσια ϗ ἐν ψιλαῖς ἐπινοίαις γιγνόμενα τὴν τῶν δημιυργικῶν ϗ ἀγαθυργῶν εἰδῶν ἀξίαν ὑπενεγκεῖν δυνήσεθ; πῶς ὖν κατ' αὐτὺς ὑφέςηκε τὰ εἴδη τὺς τῆς ἀληθείας φιλοθεάμονας; νοητῶς μ̄ ϗ τετραδικῶς ἐν τῷ αὐτοζῴῳ, νοερῶς δὲ ϗ δεκαδικῶς ἐν δημιυργικῷ νῷ· "πρόεισι" γὰρ "ὁ θεῖος ἀριθμὸς

μυνάδος ἐκ κευθμῶνος ἀκηράτυ ἔς' ἂν ἵκηθ
τετράδ' ἐπὶ ζαθέην, ἣ δὴ τέκε μητέρα πάντων
πανδεχέα πρέσβειραν ὅρον περὶ πᾶσι τιθεῖσαν
ἄτροπον ἀκαμάτην, δεκάδα κλείυσί μιν ἄγνὴν
ἀθάνατοί τε θεοὶ ϗ γηγενέες ἄνθρωποι".

λέλεκθ μ̄ ὖν πᾶν τὲ ἀληθὲς Πυθαγορείως τε ϗ Ὀρφικῶς· εἰ δὲ χρὴ συνηθέςερον εἰπεῖν, νῦς αὐτάρκης ϗ παντελὴς αἴτιος τῶν ὅλων προτετάχθω· τύτυ δὲ τὲ θειότατον ϗ ἄχραντον τῶν ἐνεργειῶν ἀκήρατον φυλαττέθω πρὸς τὴν δημιυργίαν ϗ τὴν ἀγαθυργὸν πρόνοιαν τῶν ἐγκοσμίων πραγμάτων. ὕτος ὖν κ̄ τὰς νοήσεις πλήρης ὢν τοῖς εἴδεσιν ἐξορίζει μ̄ τὲ ἀναίτιον ϗ τὲ αὐτόματον τῆς ἑαυτῦ ποιήσεως, πάντων δὲ ἀγαθῶν ϗ καλῶν τοῖς δημιυργήμασι μεταδιδὺς πρὸς ἑαυτὲν ἐπιςρέφει τὲ πᾶν ϗ ἑαυτῷ συνεξομοιοῖ, ϗ τοιαῦτα ϗ τοσαῦτα δημιυργεῖ οἷα ϗ ὅσα νοεῖ, νοεῖ δὲ πάντα παντελὴς ὤν. ὑδὲν ἄρα τῶν ὄντως ὄντων ἀπολείπεθ τῆς ὑσίας τῦ νῦ, ἀλλ' ἱδρύει ἀεὶ τὰ εἴδη ἐν αὐτῷ ὑχ ἕτερα ὄντα παρ' αὐτὲν ϗ τὴν ὑσίαν αὐτῦ, ἀλλὰ συμπληρῦντα αὐτῦ τὲ εἶναι ϗ τὴν ποιητικὴν αἰτίαν ὁμῦ ϗ παραδειγματικὴν ϗ τελικὴν τοῖς πᾶσιν ἐπιφέροντα· ϗ γὰρ ποιεῖ ὡς νῦς, ϗ παραδείγματά ἐςιν ὡς εἴδη, ϗ δι' ἑαυτὰ ποιεῖ ϗ τὴν ἑαυτῶν ἀγαθότητα. πρὸς ὖν τὰ τοιαῦτα χρὴ διαμάχεθαι τὲν ἀληθῶς ἀντιλέγοντα τοῖς τῶν εἰδῶν ἐραςαῖς, ἀλλὰ μὴ κενὰς αἰτίας ϗ ὑποθέσεις ἀναπλάττοντα πρὸς ταύτας σκιαμαχεῖν. "ὥςε συνέβαινεν .... λεγομένων". αἱ μ̄ ἰδέαι καθόλυ τέ εἰσιν, εἰ δεῖ καθόλυ λέγειν τὰς τῶν εἰδικωτάτων λόγων αἰτίας, ϗ ἐπὶ πᾶν ἀμερίςως φθάνυσι ταῖς δημιυργίαις. ὑ μὴν πάντων τῶν ἐν ἐπινοίαις ὄντων καθόλυ φασὶν ἰδέας οἱ ἄνδρες εἶναι· ὕτε γὰρ τῶν κακῶν ἢ αἰχρῶν, ἐπειδὴ ςερήσει μᾶλλον ϗ ἀποςάσει τῶν εἰδῶν ταῦτα παρυφίςαθ τῇ φύσει, διὸ ϗ παρὰ φύσιν ἔχειν λέγεθ· ὕτε τῶν ἀποφάσεων, ἀναιρετικὰ γὰρ ταῦτα τῦ ὅρυ ϗ τῦ πέρατος τῦ παρὰ τῶν εἰδῶν ἐνδιδομένυ τοῖς πᾶσι, ϗ ἅμα ὑλικόν ἐςι μᾶλλον τὲ τῆς ἀοριςίας πάθος ἤπερ εἰδητικόν· ὕτε τῶν ἄλλοτε ἄλλως ἐχόντων, ταῦτα γὰρ ἐκ κινυμένης αἰτίας τὲ τρεπτὲν ϗ μεταβλητὲν ἀλλ' ὑκ ἐκ τῆς ἀκινήτυ ϗ ςαθερᾶς τῶν εἰδῶν ἐλλάμψεως ὑποδέχεθ· ἀλλ' ὑδὲ τῶν μερῶν ὅσα μὴ ϗ ὅλα ἐςὶν ἰδέας ἀπολιμπάνυσιν, οἷον χειρὸς ἢ κεφαλῆς ἢ δακτύλων ἢ ῥινός, ὁλοτελεῖς γὰρ ὅσαι τῶν πραγμάτων αἰτίαι τὰ ὅλα εἴδη παράγυσιν ὑ διῃρημέναι περὶ τὰ τύτων μόρια κ̄ τὺς τῆς φύσεως λόγυς· ὑ μὴν ὑδὲ τῶν πρώτων τοῖς σώμασι συμβεβηκότων ἐν νῷ τὰς διωρισμένας αἰτίας ἀπεςίθεντο, γλυκύτητος φέρε ϗ λευκότητος, ἀρκεῖν γὰρ ᾤοντο τὺς φυσικὺς λόγυς πρὸς τὴν τῶν συμβεβηκότων τοῖς σώμασιν ποίησιν· ὑ μὴν ὑδὲ τῶν συνθέτων, οἷον ἀνθρώπυ σοφῦ· ἁπλᾶ γὰρ ὄντα τὰ εἴδη ἁπλῆς ἕκαςον ὑσίας ἐξηγεῖθ, τὲ δὲ μεταχεῖν διαφόρων εἰδῶν κινεῖ τὴν διάνοιαν ἡμῶν εἰς τὲ συντιθέναι τόδε τῷδε ἢ διαιρεῖν ἀπὸ τῦδε τόδε· περὶ ὃ τοίνυν κατάφασις ϗ ἀπόφασις, περὶ τῦτο ϗ σύνθεσις ϗ διαίρεσις· τὰ δὲ εἴδη ϗ ἡ τοῖς εἴδεσι σύςοιχος νόησις συμπάντων τύτων ἐξῃρηθ δι' ἁπλότητος ὑπερβολήν. ὑ τοίνυν ὑδὲ τῶν ἐξ ἀνομοιογενῦς συμπλοκῆς ἐχόντων τὴν γένεσιν, ὑδὲ τύτων εἴδη θετέον εἶναι, οἷον γίννων ϗ ἡμιόνων ϗ τῶν ἀπὸ διαφόρων δένδρων συμφυο-

1078b 32.

1 fort. χοῦν. ‖ συμφόρειν *H* συμφορεῖν Vacherot, hist. crit. de l'école d'Alexandrie t. II p. 203 ex cod. Par. 1893. ‖ 2 τὸ ἔνυλον *H*. cf. Procl. in Tim. p. 187 οἱ δὲ (inter Platonicos) ἀνωτέρω χωρῦντες δύο νόας πρὸ αὐτῆς (sc. τῆς ψυχῆς) θέντες τὸν μὲν τῶν ὅλων τὰς ἰδέας ἔχοντα, τὸν δὲ τῶν μερικῶν. ‖ 4 Plat. Phaedr. p. 249 B. C. ‖ 7 εὖτ' ἂν *A*. ‖ 8 Βόηθος scrib., cf. Meinekius uindic. Strab. p. 228. ‖ 10 συντάττειν μὲν εὔλ. *AHβ*. ‖ 14 καθ. καὶ] καθάπερ ὡς *BH ut β*. ‖ εἰώθασί ποτε *BH*. ‖ 16 καὶ ἀγαθυργῶν om *AHβ*. ‖ 17 τὺς ἀληθείας *C*. ‖ νοητῶς ... 18 νοερῶς] cf. Syrianus infra ad p. 1083 a11. ‖ 18 αὐτῷ ζῴῳ *A* ζῴω *H*. ‖ 19 πρόεισι κτέ. fr. hymni in numerum Pythagorici, uid. Proclus in Tim. p. 269. 331. 155 med.; nonissimus nersus hic demum prodit. Cf. Lobeckius Aglaoph. p. 719 sq. ‖ 20 μονάδος *BH*, Proclus. ‖ ἀκράτυ *H*. ‖ 22 πανδελεχέα *H*. πανδοχέα ap. Proclum p. 269 (non p. 331) editur, quod uitium Mullachius propagauit fragm. philos. Gr. I p. 200. recte scribitur theol. arithm. p. 6 πανδοχέα et Phot. bibl. p. 143 a26 πανδοχεύς. ‖ πρέσβυραν *H* πρέσβειαν (*A*). ‖ παρὰ πᾶσι *H*. ‖ 27 τῦτο δὲ *AH*. ‖ 28 τὴν] τε libri. ‖ 35 *in se ipso β*: ἐν αὐτῷ *BH*.

7 ἀναπλάττονται *H*. ‖ 9 *supremarum rationum causas β*. ‖ 11 φασὶν οἱ ἄνδρες ἰδέαις εἶναι *H*. ‖ 16 μᾶλλον om *AH*. ‖ εἰδικὸν (*A*)*H idealis seu formalis β*. ‖ 18 ἀνικήτυ *AHβ*. ‖ 19 ςαθηρᾶς *H*. ‖ 21 ὅσα *H*. ‖ 23 τῶν πρώτερον *C priorum β*. ‖ τῶν πρώτοις σώμασι *H*. ‖ 25 *sufficere enim β*: γὰρ om *BH*. ‖ 27 ποιήσωσιν *A*. ‖ 28 *simplicem cuiusque* (ἑκάςυ) *substantiam exponunt β*. ‖ 30 περὶ ὃ νῦν *H*. ‖ καὶ ἀπόφασις om *H*. ‖ 32 συμπάντων] ὑ πάντων *BH* πάντων *β*. ‖ 34 εἴδη *H ideas β*: εἰ δὴ *B*. ‖ 35 γίννων] cf. Schneider ad Arist. hist. an. VI 24, 1.

μένων· ὑστερογενῆ γὰρ πάντα ταῦτα καὶ ἐπεισοδιώδη καὶ οὐ μόνης φύσεως ἔργα, οὐδ' ὅλως κατὰ τὴς ἑαυτῆς ὁδευούσης λόγους ἀλλ' οἷον ἀδικουμένης καὶ μεταιρομένης καὶ πολυπραγμονεῖν ἀναγκαζομένης. δῆλον τοίνυν ἐκ τούτων ὅτι καὶ πᾶσα τέχνη μιμουμένη τὴν φύσιν καὶ πρὸς μόνον τὸν θνητὸν βίον συντέλειάν τινα παρεχομένη τῆς τῶν εἰδῶν αἰτίας ἀπολείπει. οὐ μὴν οὐδ' ὅσα ψυχικῆς ἔχει προαιρέσεως ἔργα, οὐδ' ὅσα κατὰ συνδρομὴν πλειόνων αἰτίων ἀποτελεῖ, ἃ δὴ κατὰ τύχην ὀνομάζειν εἰώθαμεν. οὐδὲ ταῦτα τῆς τῶν εἰδῶν αἰτίας ἐξάπτομεν· τὰ γὰρ ἐκεῖθεν ἀποτελούμενα ἀεί τέ ἐστι καὶ ὡσαύτως ἔχει καὶ τῆς τῶν ἐνδεχομένων ἐξῄρηται φύσεως. λείπεται τοίνυν τῶν καθόλου καὶ τελείων οὐσιῶν εἶναι τὰς ἰδέας καὶ τῶν συντελούντων πρὸς τὴν κατὰ φύσιν διάθεσιν τούτων τῶν οὐσιῶν, οἷον ἀνθρώπου καὶ εἴ τι ἀνθρώπου τελειωτικόν, σοφίας φέρε καὶ ἀρετῆς· αἰτίαι γὰρ ὖσαι γεννητικαὶ καὶ τελεσιουργοὶ πάντων αἱ ἰδέαι καὶ ὑφιστᾶσι τὰς οὐσίας καὶ τελειοῦσι πρὸς ἑαυτὰς ἐπιστρέφουσαι. δῆλον ἄρα ὅτι καὶ τῆς οὐσίας αὐτῶν καὶ τῆς τελειότητος τὴν αἰτίαν ἐν ἑαυταῖς προειλήφασιν. ἔχομεν οὖν ὡς ἐν ἐλαχίστοις, τίνων μέν εἰσι παρ' αὐτοῖς ἰδέαι, τίνων δὲ οὐκ εἰσι, καὶ ὅτι οὐ πάντων εἰσὶ τῶν ὅτω καθόλου καθάπερ ὁ
10786 34. κατήγορός φησι. "καὶ παραπλήσιον .... προῆλθον". τὸ μὲν πρότερον σκῶμμά ἐστι καὶ οὐκ ἔλεγχος, τὸ δὲ δεύτερον εἴρηται μὲν ὡς ἐκείνων ἰδέας διδόντων καὶ τοῖς συμβεβηκόσιν· εἰ οὖν ἑκάστῳ ἡμῶν πολλὰ συμβέβηκε, πλείω τῶν καθ' ἕκαστα τὰ εἴδη. ψεῦδος δέ ἐστι τὸ ῥηθέν· ὅτε γὰρ τῶν καθ' ἕκαστα εἴδη ἐστὶ κατὰ τὴς ἀκριβεστέρους τῶν Πλατωνικῶν ὅτε τῶν συμβεβηκότων τοῖς σώμασι. ῥητέον δὲ καὶ πρὸς τὸ σκῶμμα ὅτι μηδὲ τὴς ἵππους ἀριθμῆσαι δυνατόν, εἰ μὴ τὸν μοναδικὸν ἀριθμὸν ἀναλογισαίμεθα ἕτερον ὄντα παρὰ τὸν τῶν ἀριθμητῶν· ὅλως δὲ εἰ μὴ μέλλοιμεν ὑλικὰς αἰτίας ἀλλὰ τὰς πρωτουργὸς καὶ τῶν ἀποτελεσμάτων ἐξῃρημένας, ἀνάγκη μεταβαίνειν ἐφ' ἑτέρας φύσεις, αἳ διαιωνίως καὶ ἀκινήτως καὶ αὐτῷ τῷ εἶναι τὰ πάντα κόσμου καὶ τάξεως πληροῦσαι τὴν αἰτίαν τῶν γιγνομένων ἐν ἑαυτοῖς περιέχουσιν, ἐλάττους μὲν ἀριθμῷ τῶν ἐγκοσμίων ὖσαι πραγμάτων, ἅτε τῷ ἑνὶ γειτνιῶσαι καὶ προσεχῶς ἀπὸ τῆς μονάδος προελθοῦσαι, δυνάμει δὲ ἀφράστῳ τήν τε τοῦ σύμπαντος χρόνου καὶ τὴν τῶν ἐν αὐτῷ φυομένων ἀπειρίαν περιλαμβάνουσαι κατά τινα
1079a 2. ὑπεροχὴν ἐξῃρημένην αὐτῶν καὶ ἀσύντακτον. "παρ' ἕκαστον .... οὐσίας". εἴρηται τίνων εἰσὶν ἰδέαι, ὅτι τῶν τε καθόλου οὐσιῶν καὶ τῶν τελειωτικῶν αὐτῶν· ψεῦδος οὖν τὸ παρ' ἕκαστον εἶναι ὁμώνυμον· πλὴν τό γε τοσοῦτον αὐτός τε ὀρθῶς εἴρηκε νῦν καὶ ἡμᾶς χρὴ μεμνῆσθαι, ὅτι τὰς ἰδέας ὁμωνύμους φησὶν εἶναι τῶν αἰσθητῶν, ἀλλ' οὐχὶ συνωνύμους, ὡς Ἀλέξανδρος αὐτόν φησιν ὑπολαμβάνειν. "τῶν τε ἄλλων .... τοῖσδε". πολ- 1079a 3.
λῶν ὄντων περὶ τὰς ἰδέας προβλημάτων τέτταρά ἐστιν ἃ πλείστης ἄξια σπουδῆς, εἰ εἰσὶ καὶ τίνες εἰσὶ καὶ ὁποῖαι καὶ διὰ τί (ταῦτα δὴ πάντα ὡς ἓν πρόβλημα λέγω· περὶ γὰρ αὐτὴν τὴν ὕπαρξιν αὐτῶν πάντα ταῦτα στρέφεται)· δεύτερον τίνων εἰσὶν αἱ ἰδέαι· τρίτον τίνα τὰ μετέχοντα τῶν ἰδεῶν, πότερον τὰ γεννητὰ μόνα ἢ καὶ τὰ ἀίδια, καὶ πότερον πάντα τὰ ἀίδια ἢ τινά, καὶ εἰ τινά, πότερον τῶν ἀιδίων τὰ σωματοειδῆ μόνα, οἷον τὰ οὐράνια, ἢ καὶ τῶν ἀσωμάτων ἔνια· τέταρτον δὲ, πῶς μετέχει τῶν ἰδεῶν τὰ μετέχοντα. δοκεῖ τοίνυν τοῦτο τὸ ἐπιχείρημα τοῦ τρίτου προβλήματος εἶναι, εἴ τι κοινὸν εἶδος καὶ ἐπὶ τοῖς γεννητοῖς καὶ ἐπὶ τοῖς ἀιδίοις ἀπολείπουσιν οἱ ἄνδρες, οἷον τὸ τῆς ὁμοιότητος ἢ ἰσότητος ἢ ταυτότητος εἶδος, ᾧ μετέχει μὲν καὶ ὁ οὐρανός, μετέχει δὲ καὶ τὰ τῇδε. καὶ τοῦτο οὐδὲν ἄτοπον συνάγει· κἂν γὰρ ταὐτὸν ἢ τὸ μετεχόμενον, ἀλλ' ἤ γε μέθεξις ἔχει τὸ διάφορον· ἕκαστον γὰρ οἰκείως τῇ ἑαυτοῦ τάξει τῶν ἀρχικῶν αἰτίων μεταλαμβάνει· ἵνα δὲ μὴ ταραττώμεθα πρὸς τὰ τοιαῦτα τῶν ἐπιχειρημάτων αὐτοῦ, ληπτέον τὰ δοκοῦντα περὶ τῶν μετεχόντων τοῖς ἀρίστοις τῶν Πλατωνικῶν. Νουμηνίῳ μὲν οὖν καὶ Κρονίῳ καὶ Ἀμελίῳ καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ πάντα μετέχειν ἀρέσκει τῶν ἰδεῶν, Πορφυρίῳ δὲ μόνα τὰ αἰσθητά, ** ἀλλὰ τὰ μὲν πρῶτα καὶ ἄριστα τῶν νοητῶν αὐτὰ εἶναι τὰ μετεχόμενα, τὰ δ' ἐκεῖθεν ἀπογεννώμενα ταῦτ' εἶναι τὰ τῶν εἰδῶν μετέχοντα, τόν τε ψυχικὸν δηλαδὴ διάκοσμον καὶ τὸν αἰσθητόν. καὶ ἄτοπόν γε οὐδὲν τῆς ἰδέας τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου καὶ τοῦ ὁμοίου ἄλλως μὲν τὴν ψυχὴν μετέχειν, ἄλλως δὲ τὴν φύσιν καὶ ἄλλως μὲν τὸν αἰθέρα, πάλιν δὲ ἄλλως τὸν γεννητὸν τόπον· καὶ εἶναι μὲν συνταξεις τούτων καὶ συμπαθείας καὶ οἰκειότητας κατὰ τὴν μέθεξιν τῆς μιᾶς ἰδέας, ἐξῃρῆσθαί γε μὴν ἀεὶ τὰ δεύτερα τῶν προτέρων, καὶ οὕτω τὴν μὲν ἰδέαν ἑαυτῆς οὐκ ἐξισαμένην ἀμερίστως πᾶσι παρεῖναι τοῖς μετέχειν αὐτῆς δυναμένοις, τὰ δὲ μετέχοντα διὰ τῶν πρὸ ἑαυτῶν ἀεὶ κοσμεῖσθαι καὶ πρὸς αὐτὴν ἀνάγεσθαι τὴν ἰδέαν, σῶμα μὲν διὰ φύσεως, ταύτην δὲ διὰ ψυχῆς, τὴν δὲ διὰ νοῦ τοῦ ἑαυ-

1 ταῦτα πάντα *A*. ‖ 2 τὲς] τὴν (*A*)*H*. ‖ 3 οἷα (*A*)*H*. ‖ μεταιρομένης] μετευομένης *BH frustratae* (ματαιουμένης) *seu suspensae* (μετεωριζομένης?) *β*. ‖ 5 παρεχομένην *H* ὑπαρχομένην *A*. ‖ 6 ἀπολείποιται pr *H*. ‖ οὐδ' ὅσα om *β*. ‖ 9 ἀποτελειούμενα *A*. ‖ 12 κατὰ om *AH*. ‖ 14 γεννητικαὶ *BH*. ‖ 15 ὑφιστάσαι *A* ὑφιστὰς *H*. ‖ 16 ἐπιστρέφουσι *H*. ‖ 17 *Habemus exemplum quam* — *β*. ‖ 18 ὡς ἐν *H*: ὡς *Bβ*. ‖ 21 ποῦτον *β*. ‖ δὲ om *H*. ‖ 24 ψεῦδος . . . εἴδη om *A*. ‖ 29 μέλοιμεν *H* μελετῶμεν (*meditemur*) *β*. fort. μετίοιμεν, nisi infinitiuus intercidit. ‖ ποστουργὸς *BH*. ‖ 32 *causas β*. ‖ 34 καὶ ποσαχῶς *AHβ*. ‖ 35 δυνάμει μὲν ἀφρ. *AHβ*. ‖ 37 ἐξηρημένων (*A*)*H*.

1 τῶν καθόλου (*A*)*H*. ‖ 2 αὐτῶν] αἰτίων ci. Brandisius, sed cf. l. a12—15. ‖ 3 τοσοῦτον αὐτός τε ὀρθῶς εἴρηκε. νῦν ἡμᾶς *H* τοσοῦτον. αὐτὸς δὲ ὀρθῶς εἴρηκε νῦν ἡμᾶς *B*: patet post εἴρηκε male transpositum καὶ intercidisse. recte et *β* et ex eo Bonitzius locum emendarunt. ‖ 4 μνησθῆναι pr *H*, in marg. γρ. μεμνῆσθαι. ‖ 5 Alex. ad met. A p. 57, 27. ‖ 8 εἰ εἰσὶ καὶ] εἰσὶ καὶ *BH* εἰσὶ (om. καὶ) *β*. ‖ 11 τίνα δὲ μετ. *A*. ‖ 13 καὶ post ἢ om *H*. ‖ 18 καὶ οὐρανὸς *AH*. ‖ 19 καὶ τῇδε *A*. ‖ συνάγειν (*A*). ‖ 24 ὧν om *AHβ*. ‖ 25 εἰδεῶν *H*. ‖ 26 ante ἀλλὰ hiatum notaui, quo haec fere hausta esse cl. Proclo in Tim p. 249, 7—10 apparet: Ἰαμβλίχῳ δὲ ὅτε μόνα τὰ νοητὰ ὅτε μόνα τὰ αἰσθητά, ‖ 29 καὶ post ἴσω om *H*. ‖ 31 συντάξεις] *cognationes β*. ‖ 32 κατὰ τὴν *Hβ* καὶ τὴν *B*. ‖ 34 ἀμερίστα *C* ἀμεριστῶς *A*. ‖ 35 αὐτοῖς οὐ δυναμένοις *H*. ‖ 36 ἀεὶ om *β*. ‖ κομεῖσθαι *H*. ‖ 37 τῆς δὲ *BH et hanc iterum β*: em. Bonitzius et Brandisius.

τῆς, ὃς ἀνεκφοίτητος λοιπόν ἐςι τῶν ἐκεῖ καὶ κρειττόνως ἥνωται τοῖς θείοις εἴδεσιν ἢ κατὰ τὴν τῶν μετεχόντων ἑτερότητα.
1079a 4. "ἔτι καθ' ὃς .... γίγνεται". ἐνίοτε μὲν καὶ ἐπιβολαῖς ἐχρῶντο νοεραῖς οἱ ἄνδρες, καὶ εἰκὸς ὅτι διὰ ταύτας ἃ φησιν αὐτός ποτε συλλογίζεσθαι· ἐνίοτε δὲ καὶ δι' ἀποδείξεως ἐπειρῶντο πιςοῦσθαι τὰ περὶ τῆς τῶν εἰδῶν οὐσίας, ἀβελτέρῳ δὲ οὐδενὶ περιέπιπτον. ὅτι δὲ οὐκ ἀληθεύει ὁ κατήγορος λόγος, δῆλον ἐξ ὧν πολλοί εἰσι τρόποι παρ' αὐτοῖς δι' ὧν καὶ δεικνύουσιν εἶναι τὰ εἴδη καὶ μόνων τούτων ὧν βούλονται. ὧν εἷς ὅτως ἠρώτηται· ὁ τὰν ὑφιςὰς θεός ἐςι. πᾶς θεὸς αὐτῷ τῷ εἶναι ποιεῖ, πᾶς αὐτῷ τῷ εἶναι ποιῶν ὁμοίωμα ἑαυτοῦ ποιεῖ· ὁ τὰν ὑφιςὰς εἰκόνα ἑαυτοῦ τὸν κόσμον ποιεῖ· εἰ τοῦτο, ἔχει ἐν ἑαυτῷ παραδειγματικῶς τὰς αἰτίας τοῦ παντός, αὗται δέ εἰσιν αἱ ἰδέαι. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ παρ' αὐτοῖς λόγοι ὅ τε τὰ τέλειον τοῦ ἀτελοῦς προτάττων, τὴν μονάδα τοῦ πλήθους, τὰ ἀμερὲς τοῦ μεριςοῦ, τὰ ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον τοῦ μεταπτώτου· ἐν οἷς δεικνύουσιν ὅτι μὴ ἀπὸ τῶν χειρόνων ἄρχεται τὰ πράγματα, ἀλλ' εἰς ταῦτα μὴ λήγει, ἄρχεται δὲ ἀπὸ τῶν τελειοτάτων καὶ ἀρίςων καὶ καλλίςων· οὐ γὰρ δήπου αἱ μὴ ἔννοιαι ἡμῶν δύνανται τῷ κυρίως ἴσῳ καὶ κυρίως ὁμοίῳ καὶ πᾶσι τοῖς τοιούτοις ἐπιβάλλειν, ὁ δὲ δημιουργικὸς νοῦς οὐκ ἔχει ἐν ἑαυτῷ τὰ αὐτοῖσον καὶ τὰ αὐτοδίκαιον καὶ τὰ αὐτοκαλὸν κάγαθὸν ὁμοίως καὶ πάντα τὰ τοιαῦτα. "κατά τε γὰρ ... εἰσίν".
1079a 7. ἐλέγετο μὲν ὑπὸ τῶν ἀνδρῶν καὶ τοῦτο· εἰ περὶ ὄντα αἱ ἐπιςῆμαι, ἔςι τὰ καθόλου· τῶν γὰρ καθόλου αἱ ἐπιςῆμαι· ὡς εἶναι τὸν συλλογισμὸν ἐν τρίτῳ χήματι· τὰ ἐπιςητὰ καθόλου, *τὰ ἐπιςητὰ ὄντα*, τινὰ καθόλου ὄντα· οὐ γὰρ πάντα τὰ καθόλου, οὐ γὰρ δὴ καὶ τὰ ὑςερογενῆ ἢ τὰ ἐν τοῖς ἀτόμοις. ἄτοπον δὲ οὐδὲν πάντα τὰ ἐπιςητὰ ὄντα εἶναι, εἰ τὰ κυρίως ἐπιςητὰ λαμβάνοιτο ἀλλὰ μὴ τὰ ἰατρικὰ ἢ τεκτονικά· οὐ γὰρ ἐπιςῆμαι κυρίως αὗται, μόναι δὲ δικαίως ὅτως ἂν προσαγορεύοιντο αἱ περὶ τὰ ἀίδια καὶ καθ' ἑαυτὰ ὄντα καὶ ἀεὶ ὡσαύτως διακείμενα
1079a 9. πραγματευόμεναι. "καὶ κατὰ ... ἀποφάσεων". ὅτι μὲν τὰ ἓν τοῦ πλήθους προέταττον, δῆλον· ἀλλὰ τὰ οὐσιῶδες καὶ γεννητικὸν τοῦ πλήθους, οὐ τὰ τῇ χρήσει οἰκεῖον· ὑςερογενὲς γὰρ τοῦτο, καὶ ἡ ψυχὴ τὴν κοινὴν χρῆσιν ἰδοῦσα τῶν μὴ ἀνθρώπων ὑπέςησε παρ' ἑαυτῇ τὰ οὐκ ἄνθρωπος· οὐ γὰρ ὥσπερ εἰδητική τίς ἐςι καὶ ὡρισμένη αἰτία ἐν τῷ παντὶ ἡ τοῦ ἵππου ἵππου ἀποτελοῦσα καὶ ἄλλη ἡ τοῦ κύνας κύνας, καὶ ἄλλη ἡ τοῦ κύκνου κύκνου, οὕτως τίς ἐςι καὶ ἡ μὴ ἀνθρώπου ποιοῦσα πάντα ταῦτα· εἰ γὰρ ἦν, εἴπομεν ἂν καὶ τοῦ οὐκ ἄνθρωπος ἰδέαν εἶναι· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατὰ τὰ ἐν ἑαυτῇ θάτερον τὴν ἐν τούτοις χρῆσιν τοῦ ἀνθρωπείου εἴδους κατανοήσασα κοινὸν τὰ οὐκ ἄνθρωπος ἐπ' αὐτοῖς ἔταξεν. οὐκοῦν τὰς χρήσεις τοῖς ἀμερέσιν ἐξομοιώσομεν· οὐδὲ γὰρ τὰ προηγουμένως ὑπάρχοντα τοῖς πράγμασι καὶ κατ' ἐπίνοιαν ψιλὴν ἐπ' αὐτῶν θεωρούμενα μιᾶς καὶ τῆς αὐτῆς αἰτίας ἐξήρτηται. "καὶ 1079a 10.
δὲ ... φθαρτῶν". ἐλέγομεν ὅτι οἷς ὁ νοῦς ἐπιβάλλει, ταῦτα ὄντα ἐςίν· οὐ γὰρ ἀνόητοι τοῦ ἀληθινοῦ νοῦ αἱ νοήσεις· ὁ δὲ ἐπὶ τὴν φαντασίαν ἐλκύσας τὸν νοῦν (καλεῖ γὰρ καὶ ταύτην ἐν ἑτέροις παθητικὸν νοῦν), ὅτως ἄν, φησί, καὶ τῶν ἐφθαρμένων οὐσία εἴη· φανταζόμεθα γὰρ ἄν τις καὶ τὰ ἐφθαρμένον. καὶ ἕξεςι κἀκ τούτων συνορᾶν εἰς ποίας ἐπιχειρήσεις ἐκτρέπεται καταναγκάζονται οἱ τοῖς εἴδεσιν ἀντιλέγοντες, ἀπὸ μὲν τῶν ὄντων ἐπὶ τὰς χρήσεις ἀποφερόμενοι, ἀπὸ δὲ τοῦ νοῦ τοῦ κατ' ἐνέργειαν ἐπὶ φαντασίαν καὶ δόξαν· φανταςθῆναι μὲν γὰρ καὶ δοξάσαι ἔςι καὶ τὰ μὴ ὄν, ὅτε δὲ νοῆσαι ὅτε ἐπίςαται τὰ μὴ ὂν θέμις. τὰ δὲ "καὶ φάντασμά τι τοῦτ' ἔςιν" εἰ μὲν ἐπὶ τοῦ νοήματος τέθειται, παιδιᾷ μᾶλλον ἔοικεν ἢ σπουδῇ· οὗ γὰρ καθαρεύειν ἐθέλει ὁ ἡμέτερος νοῦς, τοῦτό φησιν εἶναι τὰ τοῦ θείου νοῦ κίνημα· εἰ δὲ ἐπὶ τοῦ πλασματώδους κινήματος τῆς φαντασίας, ὅταν αὐτὴ περὶ τὰ μηκέτι ὂν γίγνηται, ἀναπεφώνηται μὲν ἀληθῶς, οὐδὲν δὲ προσήκει ταῖς κατ' ἐνέργειαν ἐςώσαις ἀεὶ νοήσεσιν. "ἔτι δὲ ... λέγουσιν". τῶν μὲν ἀνου- 1079a 11.
σίων χέσεων ὅ φαμεν ἰδέας εἶναι οὐδὲ τῶν ἐν κινήσεσιν ἢ τῶν κατά τινα θέσιν οὐ φυσικὴν ἐπιτελουμένων, οἷον τοῦ ἀνωτέρω ἢ τοῦ κατωτέρω, δεξιοῦ ἀριςεροῦ, γείτονος *, τῶν τοιούτων. ὅσα

1 ἀνεκφοίτητος] ἂν ἐκφοίτητος **BH** et (*qui ceterum ex illis exul erat*) *β*. ‖ 2 ἢ καὶ κατὰ **H**. ‖ 3 ἐνίοτε μὲν ... 5 συλλογίζεσθαι om **AHβ**. ‖ 4 ὅτι] an εἰ? ‖ 5 καὶ post δὲ om (*A*)**H**. ‖ τὰς περὶ **H**. ‖ 6 ἰδεῶν **AHβ**. ‖ 7 ἐξ ὧν] cf. ad p. 870 b22. ‖ 8 μόνων] μόνον **BHβ**. ‖ 10 αὐτῷ τε εἶναι **AH** αὐτοῦ τῷ εἶναι (*suo esse*) *β*. ‖ *omnis qui suo esse facit β* πᾶς αὐτῷ ποιῶν **AH**. ‖ 16 ἔχον τ' οὐ μεταπτ. **H**. ‖ 18 καὶ καλλίςων om **H**. ‖ 19 αἱ ante μὲν om **AH**. ‖ ἴσως ... ὁμοίως **H**. ‖ 20 δημιουρ|κὸς **H**. ‖ οὐκ **AHβ**: οὖν **C**. ‖ 21 αὐτὸ ἴσον et sic cetera **AH**. ‖ καὶ ἀγαθὸν libri. ‖ 25 *Scientialia uniuersalia sunt, scientialia entia sunt, quaedam uniuersalia entia sunt β*. unde τὰ ἐπιςητὰ ὄντα suppleni cum Bonitzio. ‖ 27 καὶ om *β*. ‖ *absurdum autem β* ἄτομα δὲ **BH**: corr. Bonitzius et Brandisius. ‖ οὐδὲ **C**. fort. οὐδὲν οὐδὲ. ‖ 28 ὄντα om **H**. ‖ 30 ἂν om **AH**. ‖ 31 τὰ ἴδια **H**. ‖ καθ' αὐτὰ **C**. ‖ ὡσαύτως καὶ διακ. **AH**. ‖ διακείμεναι **BH**. *de aeternis ... et semper eodem modo affectis β*. ‖ 32 lemmati uersum uacuum reliquit **H**.

1 ἀλλὰ **C**: ἀλλὰ καὶ **AHβ**. ‖ γεννητικὸν **H**. ‖ 2 οὐ τῇ (om. τὸ) **H**. ‖ 4 εἰδητικῆς (*A*)**H**. ‖ 6 ἄλλη τοῦ **AH**. ‖ ὅτω **H**. ‖ 7 ἔςαι *β*. ‖ μὴ τοῦ ἀνοῦς **H**. ‖ 8 καὶ τὸ οὐκ (*A*)**H**. ‖ 9 τὸ ἐν αὐτῇ **AH**. ‖ 10 ὑπ' αὐτοῖσ **H**. ‖ *non igitur β*: οὔτ' οὖν **BH*. ‖ 11 οὐδὲ] ὅτε **BHβ*. ‖ γὰρ τὰ scripsi cum *β*: γὰρ **BH*. ‖ 14 ὅτι καὶ ὁ **AH** ὅτι οἷς ὄντως ὁ *β*. ‖ 16 καλεῖ] καὶ εἰ **H*. ‖ καὶ post γὰρ om **A*. ‖ ταύτην] ταῦτα μὲν **BH** *hanc β*. ‖ ἐν ἑτέροις] de anima III 5 p. 430 a24. ‖ 20 ἂν λέγοντες **H*. ‖ 21 ὑποφεόμενοι **H*. ‖ 22 μὲν om *β*. ‖ 23 καὶ om *β*: γὰρ ante τι Arist. ‖ 24 τοῦτ' etiam cod. E Aristotelis, τούτων uolgatur ap. Arist.: τοῦ **BH** τοῦ τί (*ipsius quid est*) *β*. ‖ ἔςιν **B** ἔςι **H**: accentus comprobat, modo quod reposuimus. ‖ *ludo β* παιδειᾷ **H**: παιδείᾳ **B**. ‖ 25 ἐθέλειοι ὁ **H**. ‖ 26 φησιν εἶ τὸ **H*. ‖ τὸ om (*A*). ‖ 27 ὅταν αὐτὴ] ὅταν τῇ **C** ὃ τῇ **A** ὃ **H*. ὃ αὐτῇ καὶ (*in fictitio motu imaginationis, qui ei etiam circa non ens fit*) *β*. ‖ τὸ μὴ ὂν *β*. ‖ ὂν] οὐ (*A*)**H*. ‖ γίγηται **H** γίγνεται *β*. ‖ 29 ἐςώσαις] cf. supra p. 879 b30. ‖ 31 ἐπιτελουμένων (*A*)**H**: ἐπιτελειωμένων **C** et fortasse *β*. ‖ ἀνωτέρω (*A*)**H*. ‖ ἢ τῷ (*A*)**H*. ‖ hiatum indicani, oppositum uocabulo γείτονος intercidit.

δὲ κατά τινος εἴδους μέθεξιν ἐγένετο πρός τι, οἷον ὅμοια ἢ ἴσα ἢ ἕτερα, τούτων τὰ μὲν τῶν γενῶν τοῦ ὄντος μεταχόντα, τὰ δὲ πάντως ἑνός γέ τινος τῶν εἰδῶν τὴν πρὸς ἄλληλα δέχεται σύνταξιν. καὶ τί θαυμαστόν, εἰ τῶν παρ' ἡμῖν ἔνια πρός τι κατ' ἐκεῖνα λέγομεν ἐπιτελεῖται, ὅπου γε κἀκεῖ ταύτην ἀπολιμπάνομεν τὴν χέσιν, ὑσιώδη μέντοι, καὶ οὐχ ἡμεῖς μόνοι ἀλλὰ καὶ αὐτὸς ὁ Ἀριστοτέλης; ὅταν γὰρ τὸ μὲν αἴτιον ἢ ἀρχὴν λέγωμεν εἶναι ἢ πρῶτον ἢ περιέχον, τὸ δὲ αἰτιατὸν ἢ ἐξ ἀρχῆς ἢ δεύτερον ἢ περιεχόμενον, τί ἄλλο ποιοῦμεν ἢ τὴν τάξιν ἣν ἔχει τὰ θεῖα πρὸς ἄλληλα δηλοῦν ἐπιχειροῦμεν; ἀρέσκει δὲ καὶ αὐτῷ τῷ Ἀριστοτέλει τῶν χωριστῶν εἰδῶν, εἰς ἃ τὰς σφαίρας ἀναρτᾷ τοῦ παντός, τὰ μὲν εἶναι πρῶτα τὰ δὲ μέσα τὰ δὲ τελευταῖα, καὶ τὰ μὲν περιεκτικώτερα τὰ δὲ μερικώτερα, εἴ γε ταύτην ἔχει κἀκεῖνα πρὸς ἄλληλα τὴν τάξιν, ἣν καὶ τοῦ αἰθέρος αἱ σφαῖραι περὶ ἀλλήλας ἐκφαίνουσι. πῶς δὲ καὶ τὸν τρίτον εἰσάγουσιν ἄνθρωπον; εἰ μὲν γὰρ ὅτι καθ' ἑκάστην τῶν ὄντων τάξιν ἔστι πάντα τὰ εἴδη, οὐ τρεῖς μόνοι, πολλοὶ δὲ οἱ ἄνθρωποι, ἐπεὶ καὶ πάντα πολλαπλᾶ· καὶ γὰρ ἐν νῷ καὶ νοῖς καὶ ἐν ψυχῇ τῇ μιᾷ καὶ ψυχαῖς καὶ φύσει τῇ ὅλῃ καὶ φύσεσι μερικωτέραις· ἐν οὐρανῷ τοίνυν καὶ γῇ, καὶ χεδὸν ἐν ἁπάσαις μερίσι τοῦ παντὸς οἰκείως ταῖς ὑποδεχομέναις χώραις τοῦτο ἂν εἴη τὸ εἶδος· ὥστε οὐ τρεῖς ἀλλὰ τῷ γε ἡμετέρῳ λογισμῷ ἀπερίληπτοι. εἰ δ' ὅτι συνώνυμος μὲν ὁ αὐτοάνθρωπος τοῖς τῇδε, καθά φησιν ἐξηγούμενος τὸ ῥητὸν ὁ Ἀλέξανδρος, πάντα δὲ τὰ συνώνυμα μετουσίᾳ τινὸς εἴδους συνώνυμα γίγνεται, τρίτος ἀναφανήσεταί τις ἄνθρωπος τῆς ἰδέας καὶ τῶν τῇδε κατηγορούμενος, γελοῖον γίγνεται τὸ ἐπιχείρημα· ὅτε γὰρ συνώνυμα τὰ τῇδε τῇ ἰδέᾳ· πότε γὰρ αἱ εἰκόνες συνώνυμοι τῷ σφετέρῳ γένοιντ' ἂν παραδείγματι; οὐθ' ὅλως μετέχειν τινὸς τὴν ἰδέαν οἰητέον· αὕτη γὰρ ἔκκειται πᾶσιν εἰς μετοχὴν τὸ πρώτιστον εἶδος ὅσα. εἰ δὲ ὁμωνύμως κατηγορεῖται αὐτῶν ὁ ἄνθρωπος, ἐν δὲ ταῖς ὁμωνύμοις κατηγορίαις οὐδέν ἐστι πρᾶγμα συνεισφερόμενον ὑπὸ τῆς φωνῆς παρὰ τὰ ὑποκείμενα καὶ ὁμώνυμα λεγόμενα, πῶς ἂν ἔτι χώραν ὁ τρίτος ἄνθρωπος ἔχοι, τῆς φωνῆς οἱονεὶ δαπανωμένης καὶ διαιρουμένης εἴς τε τὸν αὐτοάνθρωπον καὶ τὸν θνητὸν ἄνθρωπον;

1079a 14. "ὅλως τε ... εἶναι". βούλεται μὲν λέγειν ὅτι τὰς ἀρχὰς τῶν ὄντων μᾶλλον ἐθέλουσι σώζειν οἱ προσάπτοντες ταύτης τῆς θεωρίας ἥπερ τὸ περὶ τῶν ἰδεῶν δόγμα, σπουδάζοντες δὲ περὶ ὃ ἧττον εἶναι θέλουσιν, ἀναιροῦσι τὰς ἀρχάς. καὶ τῷ ὄντι, εἰ τοῦθ' ὕτως ἔχοι, περιπίπτοιεν ἂν ἀβουλήτῳ πράγματι. ἀλλ' ἴδωμεν εἴ τι τοιοῦτον πάσχουσι. "συμβαίνει ... ἀρχαῖς". ἔλεγον μὲν οἱ 1079a 15. ἄνδρες μὴ τὴν μίαν τῶν ἁπάντων ἀρχήν, ἣν τἀγαθὸν καὶ τὸ ὑπερούσιον ἐν ἠξίουν καλεῖν, δύο εἶναι τῶν ὅλων αἰτίας, μονάδα καὶ τὴν ἀπειροδύναμον δυάδα, καὶ ταύτας τὰς ἀρχὰς καθ' ἑκάστην τῶν ὄντων τάξιν οἰκείως ἀπετίθεντο· ἔστι γὰρ καὶ τὸ ἀναλογοῦν τἀγαθῷ καθ' ἑκάστην διακόσμησιν, καὶ τὰ πρὸς τὴν μονάδα καὶ τὴν δυάδα τὴν πρώτην οἰκειωμένα. φησὶ δὲ οὗτος ὅτι ποιοῦντες αὐτοδυάδα ἐν τοῖς εἴδεσι καὶ αὐτομονάδα, πρῶτον μὲν ἐπειδὴ τὰ πρεσβεῖα πανταχοῦ ταῖς εἰδητικαῖς αἰτίαις ἀπονέμειν εἰώθασι, πρώτας λέγοντες εἶναι ταύτας ἀναιροῦσι τὴν ἐν ταῖς ἀρχαῖς μονάδα καὶ δυάδα (τῆς γὰρ πρώτης δυάδος ἢ μονάδος τίς ἂν εἴη πρεσβυτέρα μονὰς ἢ δυάς;), ἔπειτα δὲ καὶ ἐπειδὴ διπλασία μέν ἐστιν ἡ αὐτοτετρὰς τῆς αὐτοδυάδος, ἡ δὲ αὐτοδυὰς τῆς αὐτομονάδος, ἀριθμὸς δὲ πάντα ταῦτα, οὐ μόνον ὁ καθ' αὑτὸ ἀριθμὸς πρεσβύτερος τῶν ἀρχῶν ἀλλὰ καὶ ὁ πρός τι· καὶ ὅλως πολλά φησιν εἶναι τοιαῦτα, δι' ὧν φυλάττειν ἐθέλοντες τὴν περὶ τὰ εἴδη θέσιν ἔλαθον ἑαυτοὺς ἐναντιωθέντες ταῖς οἰκείαις ἀρχαῖς. ταῦτα δὲ ὅτι φορτικῶς εἴρηται καὶ παρὰ θύρας ἁπαντᾷ πρὸς τὰ ὑπὸ τῶν θείων ἀνδρῶν εἰρημένα, δῆλα μὲν καὶ πρὸ παντὸς λόγου τοῖς ἀγχινουστέροις· οὐ μὴν ἀλλὰ καὶ παρ' ἡμῶν ἐπιζητήσειεν ἄν τις τῆς παραλογιστικῆς ἐπιχειρήσεως τὴν διάλυσιν. φαμὲν τοίνυν ὡς ἄλλη μὲν τῶν ἀρχῶν ἡ φύσις, ἄλλη δὲ ἡ τῶν ἰδεῶν, κἂν ὁμωνύμως τι περὶ αὐτὰς ἐπισυμβῇ, μᾶλλον δὲ οὐ περὶ αὐτάς (τί γὰρ τοῖς θειοτάτοις τῶν ὄντων ἐπισυμβῆναι δυνήσεται;), ἀλλὰ περὶ τὴν ἡμετέραν περὶ αὐτὰς πραγματείαν. αὐτίκα δυὰς μὲν ἡ ἀρχηγικὴ γενίμου δυνάμεως καὶ προόδου καὶ πλήθους καὶ πολλαπλασιασμοῦ τοῖς πᾶσιν ἐξηγεῖται, διεγείρει τε πάντα καὶ κινεῖ πρὸς αὐτογέννησιν τῶν δευτέρων καὶ προμήθειαν καὶ φυλακήν, ἔτι δὲ πληροῖ πάντας τούς τε θείους διακόσμους καὶ τοὺς νοεροὺς καὶ τοὺς ψυχικούς τε καὶ φυσικοὺς καὶ αἰσθητοὺς τῶν ἑκάστοις προσηκόντων ἀριθμῶν· ἓν δὲ οὐδὲν ὁτιοῦν ἀγένητον εἶναι συγχωρεῖ τῶν πεφυκότων ὅπως ποτὲ παρελθεῖν εἰς ὑπόστασιν· ἡ δέ γε αὐτοδυὰς πᾶσι τὸ ἑαυτῆς εἶδος ἐπιφέρει καὶ ψυχαῖς καὶ φύσεσι καὶ σώμασιν· ὥστε εἴτε ὁ κόσμος εἰς δύο διήρηται, εἴτε καὶ μόνος ὁ οὐρανός, εἴτε τῆς ψυχῆς οἱ λόγοι ἢ καὶ πρὸ τῶν λόγων οἱ κύκλοι (πρῶτοι γὰρ οὗτοι τῶν μετεχόντων χρῶνται τῇ εἰς δύο διαιρέσει), εἴτε τι τῶν μερικῶν

2 τούτων om *β*. ‖ *aut diuersa, haec quidem cum aliquo genere entis participent β*. ‖ 4 fort. πρός τι ἔνια. ‖ 7 ὁ post αὐτὸς om *H*. ‖ λέγομεν *BH*. ‖ 8 ἢ interposui ante ἐξ ἀρχῆς. ‖ 9 ποιοῦμεν fort. delendum. ‖ 10 δοκεῖν χειροῦμεν *H*. ‖ δὲ om *β*. ‖ αὐτῷ ἀρισ. *BH*. ‖ 15 τοῦ τρίτον *H*. ‖ 16 τρεῖς δὲ μόνοι *AH*. ‖ 17 *quoniam et omnia multiplicari possunt β*. ‖ 19 πάσαις *H*. fuit qui ἅπασι coniceret. ‖ μερίσι] μέρεσι *BH*. ‖ 23 Alex. p. 62, 12 sq. ‖ 24 ἀναφανήσαιται *H emerget β*: ἀναφανήσαιτο *B*. ‖ 27 *fieri poterunt β*: γένοιτ' ἂν *BH*. ‖ 33 δαπανομένης *H*. ‖ 34 εἴτε τὸν *H*. ‖ αὐτοάνθρωπον scripsi cum *β*: αὐτὸν *BH*. ‖ 36 μᾶλλον οὐ θέλουσι *H*. ‖ 37 ἢ περὶ τὸ παρὰ *H*.

1 *inciderent utique β*: ἂν om *BH*. ‖ ἀβουλήτως (*A*). ‖ 5 τὰς om *H*. ‖ 7 τἀγαθὸν *H*. ‖ ἑκάστην καὶ διακόσμησιν *AH*. ‖ 8 καὶ δυάδα *A*. ‖ 9 αὐτὸ δυάδα *A*. ‖ 10 τὸ πρεσβεῖα] *quae priora sunt β*. ‖ 11 εἶναι ταύτας *CH*: ταύτας εἶναι *Aβ*. ‖ 12 ἢ] *et β*. ‖ 15 οὐ μόνον ὁ *Hβ*: οὐ μόνον οὐ *B*. ‖ 17 fort. δι' ὧν οἱ φυλ. ‖ 24 *aliquid β* τις *BH*: corr. Bonitzius et Brandisius. ‖ 25 τὸ γὰρ *H*. ‖ 27 *Protinus nanque binarius β*. ‖ 29 διεγείρει *H*. ‖ 30 ἔτι δὲ] *ergo β*. ‖ 32 αἰσθητοῖς *H*. ‖ 33 ἀγένητον *BH*. ‖ ὁπώς ποτε (*A*)*H*. ‖ 36 εἰς δύο om *β*. ‖ ὁ ante οὐρανός om *H*. ‖ εἴτε καὶ τῆς *β*. ‖ 37 καὶ πρὸς *H*. ‖ πρῶτον *BHβ*. ‖ 38 τῆς εἰς δύο διαιρέσεις *H*. ‖ εἴτε καί τι *β*.

ζῴων ἢ ὀφθαλμὸς ἔχει δύο ἢ χεῖρας ἢ πόδας, ἢ ἄλλο τι τῶν τῆς φύσεως ἀποτελεσμάτων σὺν τῷ ἑαυτῷ εἴδει τὴν δυάδα διὰ παντὸς ἔχει, οὐκ ἀπ' ἄλλης αἰτίας φήσομεν τῆς ἀνωτάτω τοῦτο παραγίγνεσθαι τοῖς πράγμασιν ἢ ἐκ τῆς αὐτοδυάδος, ἥτις πρωτίστη μέν ἐστι τῶν ἐν εἴδεσι δύο εἰδῶν καὶ αἰτία, οὐ μὴν διὰ τοῦτο κακὸν τῆς ἀρχικῆς δυάδος, ὑφ' ἧς καὶ αὕτη καὶ πᾶς ὁ νοῦς ὑπέστη. τὰ αὐτὰ δὲ καὶ περὶ μονάδος φαμέν· ἄλλη γὰρ ἀρχικὴ ἡ σὺν τῇ δυάδι τὰ πάντα ὑφιστᾶσα, ταυτότητος καὶ βεβαιότητος καὶ συνοχῆς καὶ διαιωνίας ζωῆς ἐξηγουμένη τοῖς ὅλοις, ἄλλη δὲ ἡ αὐτομονὰς ὡς ἐν τοῖς εἴδεσι τὸ πρωτεῖον ἔχουσα, ἧς μεταχόντα τὰ εἰδοποιηθέντα ἐνίζεσθαι καὶ τῇ ἕξει τῇ οἰκείᾳ συνέχεσθαι. ὅταν οὖν τὴν ἐν ταῖς ἰδέαις μονάδα καὶ δυάδα πρεσβεύωσιν οἱ ἄνδρες, οὐκ ἐπὶ ἀναιρέσει τῶν οἰκείων ἀρχῶν ταύτας προτάττουσι (πῶς γὰρ ἄν γε καὶ αὐτὰς μετὰ τοῦ σύμπαντος νοῦ καὶ τοῦ νοητοῦ φασὶν ἐκ τῶν ἀρχῶν ὑποστῆναι;), ἀλλ' ὅτι τῶν ἐγκοσμίων πραγμάτων ἐξηγοῦνται, καὶ παρ' ἧς μὲν τῷ τε σύμπαντι κόσμῳ καὶ ψυχαῖς καὶ σώμασιν ἡ ὁλότης καὶ τὸ μονοειδές, παρ' ἧς δὲ ἡ πρώτη διαίρεσις καὶ τὸ δυοειδές, δῆλον δὲ πότερον παρὰ ποτέρας. τὸ δὲ καὶ ἀριθμὸν ἐν ἐκείνοις τὸν μοναδικὸν εἰσάγειν καὶ διὰ τοῦτο διπλασίαν ποιεῖν τὴν αὐτοδυάδα τῆς αὐτομονάδος, σφόδρα ἐστὶν ἐπιπόλαιον· οὐ γὰρ διὰ ποσότητα μονάδων ἕκαστος τῶν ἐκεῖ ἀριθμῶν ἔχει τὴν ἐπωνυμίαν ἣν εἴληφεν, ἀλλὰ κατά τινα χαρακτῆρα θειοτάτης καὶ ἁπλουστάτης οὐσίας. μετέχει δὲ αὐτῶν ὡς πέφυκεν ἕκαστα· καὶ ὥσπερ τοῦ αὐτοανθρώπου ἀχρωματοῦ ὄντος καὶ ἀσχηματίστου καὶ ἀμόρφου καὶ ἀμεροῦς ὁ τῇδε ἄνθρωπος ἐσχηματισμένως καὶ κεχρωσμένως καὶ μορφωτικῶς καὶ μεριστῶς μετείληφεν, οὕτω καὶ τῆς αὐτοτριάδος οὐδεμίαν ἐμφαινούσης ποσότητα σὺν ποσότητι μετέχει τὰ αἰδητά. ὅμοιον οὖν μοναδικὸν πλῆθος ἐπιζητεῖν ἐν τοῖς εἰδητικοῖς ἀριθμοῖς καὶ ἥπαρ ἢ σπλῆνα σπλάγχνων τε τῶν ἄλλων ἕκαστον ἐν τῷ αὐτοανθρώπῳ. οὔτ' ἄρα τὰς ἀρχὰς ἑαυτῶν ἀναιροῦσιν οἱ ἄνδρες διὰ τῶν εἰδητικῶν ἀριθμῶν οὔτε τὸν κατ' ἀξίαν ἀριθμὸν εἰσάγουσιν εἰς τὰ νοητά. "ἔτι ... πολλῶν". ἐν τούτοις καὶ μᾶλλον ἐμβριθῶς ἠπόρησεν. εἴρηται δὲ καὶ παρὰ τῶν πρεσβυτέρων καὶ παρ' ἡμῶν ἐν τοῖς ἔμπροσθεν, τίνων εἰσὶν ἰδέαι καὶ τίνων οὔ· καὶ ὅτι οὐσιῶν τῶν καθόλου, οἷον ἀνθρώπου, ἵππου, καὶ εἴ τι τελειοῖ τὰς οὐσίας, οἷον ἀρετῆς, ἐπιστήμης, καὶ εἴ τι ψυχαῖς καὶ σώμασι καὶ φύσεσι παραγίγνεται, οἷον ὁμοιότης ἰσότης μέγεθος καὶ εἴ τι τοιοῦτον· τὰ δὲ μόνοις τοῖς σώμασι συμβεβηκότα ἐν τοῖς τῆς φύσεως λόγοις διωρισμένας αἰτίας ἔχει κατὰ τὸν Ἰάμβλιχον, ἐπεὶ ὅ γε θεῖος Πλωτῖνος ἐφίστησι μὴ καὶ λευκότητος εἶδος ἐν νῷ θετέον εἶναι. οὐκ εἴ τι οὖν ἔστιν ἓν ἐπὶ πολλῶν νόημα, τοῦτο ἐστὶν ἰδέα (οὕτω γὰρ ἂν καὶ τῶν παρὰ φύσιν ἦσαν ἰδέαι), ἀλλ' ὧν μὴ ἰδέαι, τούτων εἰσὶ καὶ καθόλου λόγοι, οὐ μὴν ἀντιστρέφει. οὐ μὴν οὐδ' ὅσων εἰσὶν ἐπιστῆμαι αἱ μὴ κυρίως λεγόμεναι, τούτων ἁπάντων ἐστὶν εἴδη. τὸ μέντοι οὐσιῶν οὐσῶν αὐτῶν τὰ τῇδε μετέχειν, εὖ εἴρηται· οὐ μὴν εἴ τι οὐσίας μετέχει, τοῦτο οὐσία ἐστί· τὴν γὰρ αὐτοεπιστήμην καὶ τὴν αὐτοδικαιοσύνην οὐσίας εἶναί φαμεν, ἀλλ' αἱ παρ' ἡμῖν ἕξεις οὐκ οὐσίαι. κἀκεῖνο δὲ ῥητέον ὅτι ταῖς ἰδέαις οὐδέν ἐστιν ἐν ὑποκειμένῳ, ἀλλὰ πάντα εἰς οὐσίαν τελεῖ· καὶ γὰρ τῷ αὐτοδιπλασίῳ τὸ ἀίδιον οὐ συμβέβηκεν οὐδὲ κατ' αὐτὸν τὸν Ἀριστοτέλη· σαφῶς γὰρ ἀπέδειξεν ἐν τῷ Ι τῆσδε τῆς πραγματείας ὅτι μηδέν ἐστι φθαρτὸν ἢ ἄφθαρτον κατὰ συμβεβηκός. μᾶλλον οὖν ὧδε ῥητέον ὅτι πᾶν ἄυλον εἶδος καὶ θεῖον ἐν ἀπληθύντῳ καὶ μονοειδεῖ καὶ ἁπλουστάτῃ οὐσίᾳ πολυδυναμωτάτον ἐστι καὶ μετεχέσθαι οὐ κατὰ πάσας ἑαυτοῦ δυνάμεις ὑπὸ τῶν τῇδε. τὸ οὖν αὐτοδιπλάσιον ἔχει μὲν κατ' οὐσίαν καὶ τὸ ἀμέριστον καὶ τὸ νοερὸν καὶ τὸ δημιουργικὸν καὶ τὸ ἀίδιον, καὶ οὐδὲν τούτων ὡς ἐν ὑποκειμένῳ· μετέχεσθαι δὲ ὑπὸ μὲν ψυχῆς τῆς ἄνω κατὰ πλείους ἑαυτοῦ δυνάμεις, ὑπὸ δὲ τῆς ἡμετέρας κατὰ ἐλάττους, ὑπὸ δὲ σωμάτων ἢ δυνάμεων σωματικῶν ἀγαπητῶς κατὰ μίαν ἢ δύο. τὰ μὲν τοίνυν μετέχοντα τῶν οὐσιῶν οὐκ ἀνάγκη πάντα οὐσίας εἶναι (καὶ περὶ τούτου πολλάκις ὑπεμνήσαμεν), ἀλλ' ὥσπερ ἀμερῶν οὐσῶν μετέχει τινὰ μεριστῶς καὶ νοερῶν ἀνοήτως, οὕτως οὐσιῶν ἀνουσίως· τὸ γὰρ λέγειν ἐν ἐπὶ πολλῶν οὐ τοῦτο ἐδήλου ὡς τοῦ ἑνὸς ὑπὸ τὴν αὐτὴν ὄντος ἐκείνοις κατηγορίαν, ἀλλ' ὡς ἐξηρημένης ἐκείνης τῆς ἑνάδος ἀφάτοις τισὶν ὑπερβολαῖς τοῦ ἐξ αὐτῆς προϊόντος καὶ πρὸς αὐτὴν ἀπεικασθέντος καὶ εἰς αὐτὴν ἀνηρτημένου πλήθους. "καὶ εἰ μὲν ... αὐτῶν". ἀλλ' οὔτε συνώνυμοι τοῖς τῇδε αἱ ἰδέαι (γελοῖον γὰρ καὶ τὸ διαπορεῖν περὶ τούτων, ἵνα μὴ πρὸς τοῖς ἄλλοις καὶ ὁ τρίτος ἄνθρωπος ὥς φασιν ἐπεισίῃ), οὔθ' οὕτως ὁμώνυμοι ὡς τὰ ἀπὸ τύχης, ἀλλ' ὡς τὸ παράδειγμα τῇ εἰκόνι, καὶ μάλιστ' ὅταν αὐτῷ τῷ εἶναι τὸ παράδειγμα τὰς εἰκόνας ὑφιστὰν ἐπιστρέφῃ πρὸς ἑαυτό.

1079a 19.

1079a 33.

2 εἴδει om *AHβ*. ‖ 3 οὐκ ἀπ' *Hβ* οὐ κατ' *B*. ‖ φήσομεν ἢ τῆς *BHβ*: deleui ἢ errore procliui interpolatum. contra scriptoris sententiam *non ab alia causa quam a suprema dicemus hoc rebus aduenire, aut ex per se binario* uertit *β*. ‖ 4 παραγίνεσθαι *B*. ‖ ἥ τις.... 6 δυάδος *Cβ*: om *AH*. ‖ 5 διὰ τοῦτο om *β*. ‖ 6 κακὸν] καὶ *C ex β*. ‖ νοῦς] cf. infra l. 14. ‖ 7 γὰρ] γὰρ ἡ *H*. ‖ 8 ὑφιστῶσα (*A*)*H*. ‖ 9 καὶ αἰωνίας (*A*)*H*. ‖ ἐξηγουμένης (*A*)*H*. ‖ τοῖς ὅλως *H*. ‖ 11 τὰ πεποιημένα *BH*, *effectus β*. fuit qui πεποιωμένα coniceret. ‖ 17 καὶ ante ψυχαῖς ex coni. adieci. ‖ 18 δυοειδὲς (*A*)*H*. ‖ πρότερον (*A*)*H*. cf. p. 865 a2. 891 a27 et infra saepius. ‖ 25 ὄντος *C*: ὅτως (*A*) οὕτω *H* om *β*. ‖ καὶ ἀμεροῦς om *β*. ‖ 27 καὶ τῆς *β*: καὶ τὸ τῆς *BH*. ‖ 30 σπλάγχνων τε καὶ τῶν *BH* σπλάγχνον τε καὶ τῶν *β*: deleui καὶ. ‖ 33 εἰς τὰ νοητά om *A*. ‖ καὶ] ἢ *BH profecto* (δὴ?) *β*. ‖ 35 supra p. 893 b8 — 894 a16. ‖ 36 καὶ ὅτι *AH* καὶ ὅσα (*et omnium quae substantias perficiunt*) *β*.

5 ἐκέτι οὖν ἐστὶν ἓν *AH* pr *C* οὐκ εἴτι marg. *C* addito γρ(άφεται), ἐκέτι οὖν ὅ ἐστιν ἓν supra scr. *C*, *β*. ‖ fort. τοῦτό ἐστιν. ‖ 9 οὐσιῶν αὐτῶν οὐσῶν *H*. ‖ 12 ἔφαμεν *β*. ‖ 14 τὸ αὐτοδιπλάσιον *BH* τὸ αὐτοδιπλάσιον καὶ *β*. ‖ 15 γοῦν] οὖν *AHβ*. ‖ 16 τῷ δεκάτῳ *H*. scil. c. 10 p. 1059 a1 sq. ‖ 25 μὲν τοίνυν] μέντοι *BHβ*. ‖ οὐκ] num ὅτι οὐκ? an οὐκ ἀνάγκη? interim satius uisum uerba 26 καὶ ... ὑπεμν. ut parenthesin separare. ‖ 26 πάντας *H*. ‖ *et de his quidem saepe β*. ‖ 27 ἀμερῶς *H*. *his quae impartibilia sunt* (ἀμερίστων ὄντων?) *β*. ‖ 28 ὅτως καὶ οὐσιῶν *H*. ‖ τῷ γὰρ *Aβ*. ‖ 29 ὡς τοῦ ... 30 ἀλλ' om *β*. ‖ ὄντος] ὄντα *BH*. ‖ 31 προϊόντος om *AHβ*. ‖ 32 εἰς ἑαυτὴν *BHβ*. ‖ ἀνηρτ. τοῦ πλήθους *H*. ‖ 35 ἐπισίει *H*. ‖ 36 τῷ om *AH*. ‖ 37 ὑφιστᾶν (*A*)*H*.

1079b 3. "εἰ δὲ ... δίπυν". τὸ μὴ λεγόμενον τοιοῦτόν ἐςιν· εἰ δέ τις μήθ' ἁπλῶς συνωνύμως λέγοι τὰς ἰδέας τοῖς τῇδε, μήθ' ἁπλῶς ὁμωνύμως, ἀλλὰ τὸν αὐτὸν μὴ ἐφαρμόζοι λόγον καὶ τῇ ἰδέᾳ καὶ τῷ πρὸς αὐτὴν ἀπεικασμένῳ, προςτιθείη δὲ ἐπὶ μὴ τῆς ἰδέας τὸ νοητὸν εἰ τύχοι, ἐπὶ δὲ τῶν τῇδε τὸ αἰσθητόν, οἰήσεσθαι μέν τι λέγειν, ὐδὲν δὲ κατά γε τὸ ἀληθὲς ἐρεῖ· τίνι γὰρ τῶν ἐν τῷ ὁρισμῷ τὸ νοητὸν ἢ τὸ αἰσθητὸν προσνέμοι; οἷον εἰ κύκλος μὴ εἴη φανταςός, εἴη δὲ καὶ αὐτοκύκλος νοητός, λέγοι δέ τις ἑκάτερον μὴ αὐτῶν σχῆμα εἶναι ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι [πρὸς τὴν περιφέρειαν] ἴσαι ἀλλήλαις εἰσίν, ἀλλὰ τὸν μὴ αὐτοκύκλον σχῆμα λέγοι νοητόν, τὸν δὲ παρ' ἡμῖν σχῆμα φανταςὸν ἢ αἰσθητόν, σκοπεῖν δεῖ, φησί, μὴ ὐδὲν ᾖ τὸ λεγόμενον· τίνι γάρ, φησί, τὸ νοητὸν ἢ τὸ αἰσθητὸν συντάξει; τῷ σχήματι ἢ τῷ ἐπιπέδῳ ἢ τῇ γραμμῇ ἢ τῷ σημείῳ; πάντα γὰρ ὐσίαι τὰ εἰς τὸν ὁρισμὸν παραλαμβανόμενα, ὡς ἐπὶ ἀνθρώπου καὶ γὰρ τὸ ζῷον καὶ τὸ δίπουν. χρὴ δὲ πρὸς αὐτὸν φιλαλήθως μὴ ἀπαντῶντα λέγειν ὅτι μηδὲ τὴν ἀρχὴν ὅρον ἔδει τῆς ἰδέας ἀποδιδόναι (τὰ γὰρ ἀμέριςα καὶ ἁπλᾶ εἴδη καὶ νοερὰ καὶ τῶν ὁριςικῶν λόγων ἐξῄρηται καὶ πάντων τῶν κοῦ διέξοδον καὶ ἀνέλιξιν θεωρεῖσθαι πεφυκότων, ὡς ἐν ταῖς Ἐπιςολαῖς ὁ θεῖος Πλάτων περὶ τοῦ ὐσιώδους κύκλου διείληκται), ἄλλο τι αὐτὸν εἶναι λέγων παρὰ τὸ ὁριςὸν καὶ ἐπιςητόν· καὶ αὐτὸς ὁ δαιμόνιος Ἀριςοτέλης ἐν τῷ Η ταύτης τῆς πραγματείας ἐδικαίωσε τῶν πάντῃ καὶ τελέως ἁπλῶν εἰδῶν μηθ' ὁρισμὸν εἶναι), συγκαθιέντα δὲ αὐτῷ καὶ εἰς τὰς καθ' ἕκαςον ἐπιχειρήσεις εἰπεῖν ὅτι εἰ καὶ ὁριςὰ ἦν τὰ εἴδη, ὐκ ἀνάγκη τοῖς αὐτοῖς ἦν ὁρισμοῖς ἡμᾶς ἐπί τε τῶν τῇδε κεχρῆσθαι καὶ ἐπὶ τῶν παραδειγμάτων· ὐ γὰρ δὴ τῆς εἰκόνος τοῦ Σωκράτους ὁ αὐτὸς λόγος καὶ τοῦ Σωκράτους, καίτοι γεγονυίας τῆς εἰκόνος πρὸς τὸ Σωκρατικὸν εἶδος. εἰ δέ τις καὶ τὸν αὐτὸν ὁρισμὸν ἀμφοῖν ἀπεδίδου, τί ἐκώλυε καθ' ἕκαςον τῶν λεγομένων ἐφ' ὧν μὴ τὸ νοητὸν ἀκούειν. ἐπὶ δὲ τῶν τῇδε τὸ αἰσθητόν; νοητῶς γὰρ πάντα ὑπάρχειν, εἴπερ ὅλως ὑπῆρχεν, εὔλογον ἦν τῇ ἰδέᾳ, φυσικῶς δὲ τοῖς πρὸς αὐτὴν ἀπεικασθεῖσιν. ὅτ' ὖν ὁριςὴ ἡ ἰδέα κατά γε τὸ ἀληθές, ὅτε εἰ ἦν ὁριςή, τῷ αὐτῷ ἂν ὅρῳ τοῖς ἀποτελέσμασιν ἐκρατήθη, ὅτε εἰ τούτοις τις συνεχώρησε πᾶσιν, ἐκωλύετ' ἂν νοητῶς μὴ αὐτὰ τοῖς παραδείγμασιν ἀπονέμειν, φανταςικῶς δὲ ἢ φυσικῶς ταῖς εἰκόσιν· ὐδὲ γὰρ τοῦτο ἦν ἄτοπον τὸ πᾶσι τοῖς χωριςοῖς εἴδεσι τὸ νοητὸν ὑπάρχειν ὥσπερ τοῖς ὑπὸ τὸ αὐτὸ γένος οἷον τοῖς τισὶν ἐπιπέδοις τὸ γενικὸν ἐπίπεδον.

"Πάντων ... αἴτια αὐτοῖς". περὶ τοῦ χρησίμου τῶν 1079b 12.
ἰδεῶν ἐπιζητεῖ, μὴ ἄρα ὐδὲν συμβάλλοντο τοῖς αἰσθητοῖς καὶ ὑποτεθεῖσαι εἶναι. ῥητέον ὖν ὡς πάντα μὴ τὰ θεῖα διὰ τὰς ἀρχὰς τὰς ἑαυτῶν καὶ δι' ἑαυτὰ καὶ ἔςι καὶ τοιαῦτά ἐςιν· ὐ μὴν ἀλλ' ἐπειδὴ γεννητικὴ καὶ προνοητικὴ αὐτῶν ἐςιν ἡ ὕπαρξις, εἰ καὶ μὴ τῶν δευτέρων ἕνεκεν ὑπέςη, ἀλλ' ὖν καὶ ὐσίας καὶ δυνάμεως καὶ τελειότητος ἁπάσης μεταδίδωσι τοῖς μεθ' ἑαυτά. καὶ δὴ καὶ διὰ τὰ εἴδη τά τε ἀίδια τῶν αἰσθητῶν καὶ ὑπέςη καὶ ἀίδια μένει, τοιαῦτα ὄντα τῷ ἐκείνων ἔρωτι πρὸς ἄπαυςον ζωὴν καὶ κίνησιν ἀνεγειρόμενα, τά τε θνητὰ καὶ ἔνυλα τῆς φύσεως δημιοργήματα πότ' ἂν τὴν εἰς τὰ ὄντα πάροδον ἐδέξατο, μὴ τῆς φύσεως καὶ τῶν χρωμένων τῇ φύσει δημιοργικῶν αἰτίων πρὸς ὡρισμένα ἄττα καὶ ἀεὶ κῇ ταὐτὰ καὶ ὡσαύτως ἔχοντα τὴν ποίησιν ἀναφερόντων; διὰ τί γὰρ μὴ ἐκ τῆς τυχούσης μεταβολῆς ἡ τυχοῦσα παρήγετο, ἀλλ' ὡρισμέναι τῆς φύσεως αἱ μεταβάσεις καὶ αἱ διόδοι φαίνονται, εἰ μή τις ἦν τάξις μὴ ἐν τοῖς τῆς φύσεως λόγοις προϋπάρχουσα, τὸ πρὸ τάξεως δὲ ἀμερὲς αἴτιον τῷ δημιουργοῦντι τὰ ὅλα συνυφιςάμενον; καὶ αὐτῷ δὲ ἀρέσκει τῷ Ἀριςοτέλει τὸ πρώτιςον αἴτιον ἀκίνητον ὂν τῆς ὅλης περικοσμίου κινήσεως εἰ καὶ μὴ ὡς παραδειγματικὸν ἀλλ' ὖν αἴτιον εἶναι τελικόν. "ἀλλὰ ... δόξαν". ὅτι μὴ πρὸς ἐπιςή- 1079b 15.
μην τῶν πραγμάτων ἡ τῶν ἰδεῶν θεωρία μεγάλα συμβάλλεται, δηλοῖ πολλαχοῦ μὴ ὁ θεῖος Πλάτων, μάλιςα δὲ ἐν Παρμενίδῃ, ὐδὲ ὅποι τις τρέψει τὸ τῆς διανοίας ὄμμα καταλελεῖφθαι φάς, εἰ μὴ τὴν ὡρισμένην τῶν εἰδῶν αἰτίαν ἐπισκέπτεται δύναιτο. καὶ ἐν Φαίδωνι δὲ αἱ κυριώταται τῶν τῆς ψυχικῆς ἀθανασίας ἀποδείξεων τῇ τῶν ἰδεῶν ἀρχῇ καὶ ὑποθέσει κέχρηνται· ὐ μὴν ἀλλὰ καὶ πρὸ παντὸς λόγου τοῦτο ἄν τις ὐ χαλεπῶς θεωρήσειεν· εἰ γὰρ αἰεὶ τὰς εἰκόνας ἐκ τῆς εἰς τὰ παραδείγματα γιγνώσκομεν ἀναφορᾶς, πῶς ἔνεςιν εἰκόνα ὄντα τόνδε τὸν αἰσθητὸν κόσμον τοῦ νοητοῦ μὴ διὰ τοῦτον καὶ ἐκεῖνον γνωρίζεσθαι; τὸ δὲ μὴ διὰ τοῦτο συντελεῖν ἡμῖν τὴν τῶν ἰδεῶν θεωρίαν εἰς τὴν ἐπιςήμην τῶν τῇδε ὅτι μήτε ὐσίαι τούτων ἐκεῖναι μήτε

2 συνωνύμως ... 3 ἁπλῶς om *A*. ‖ 2 λέγει et 3 ἐφαρμόζει *H*. ‖ 6 μέν τοι pr *H*. ‖ 8 καὶ αὐτὸς κύκλος ὁνοητὸς *BH* et (*sitque etiam idem ipse intelligibilis circulus*) *β*. ‖ λέγει *H*. ‖ 10 ἣν τῶν ἀφ' *AH* ediditque Brandisius. tu cf. Alex. p. 719, 4. ‖ 11 πρὸς τὴν περιφέρειαν om *β* recte, est enim glossema. cf. πρὸς ἣν et, si tanti est, Alex. p. 719, 5, cui ex hoc loco εὐθεῖαι reddendum. ‖ 12 λεγει *H* λέγειν *A*. ‖ 13 φανασθὲν *A*. ‖ 14 φησὶ om *β*. ‖ 15 ἢ ante τῇ γρ. om *β*. ‖ 16 ἀσίαι *H*. ‖ τὰ εἰς om *AH*. ‖ τὸν λογισμὸν *AH*. ‖ 18 μὲν om *β*. ‖ μήτε *BH*: correxi cum *β* (*quod etiam a principio non oportebat* —). ‖ 19 μεριςὰ *H*. ‖ 21 Plat. epist. VII p. 343 B sq. ‖ 23 παρὰ] περὶ (*A*)*H*. ‖ τὸ] an τὸν? ‖ καὶ αὐτὸς] ὡς αὐτὸς *BHβ*. ‖ 23 sq. Ἀρις. ὁ δαιμόνιος *AH*. ‖ 24 ἐν τῇ ἕτ *H*. met. H 3 p. 1043 b 30. ‖ 25 πάντως *H* πάντων (*A*)*β*. ‖ 26 δὲ ἔςιν αὐτῷ *β*, quod fuerunt qui probarent. ‖ 31 ἀποδίδω *H*. ‖ 32 τὸ] τὸν *H*. ‖ 33 τῶν τῇδε om *AH in his uero β*. ‖ 34 εἴ τε ὅλως *H*. ‖ 35 ὅτ' ὖν (*A*)*H*. ‖ κατά τε τὸ *BH*: correxi cl. l. a 6, item Bonitzius. ‖ 37 ὅτε εἰ correxi cum Bonitzio: εἴτε εἰ *C* εἴτε *AHβ*. ‖ ἐκωλύετ' ἂν] ἐκωλύετο *BH non prohibebitur β*.

7 ὑποτεθεῖναι *H*. ‖ 12 καὶ δὴ διὰ *AH*. ‖ 13 ἐκείνω *H*. ‖ 16 τῶν χρωμάτων *AH*. ‖ 21 προτάξεως *BH*. ‖ 23 cf. Arist. met. Λ 6. ‖ πρῶτον *AH*. ‖ ὕλης *H*. ‖ 24 ὡς om *AHβ*. ‖ 26 εἰδῶν *AH*. ‖ 27 πανταχοῦ *β*. ‖ παομενίδω *H*. Parm. p. 135 B sq. ‖ 28 τρέψει *H*. ‖ 30 Phaedon. p. 100 B sqq. ‖ ψυχῆς *H*. ‖ 31 εἰδεῶν ex εἰδῶν corr *H*. ‖ 32 θεωρήσιεν *H*. fort. συγχωρήσειεν. ‖ 33 εἰ γὰρ αἰ γινώσκομεν cum spatio decem litterarum *H*. ‖ αἰεὶ *C*: καὶ *A*. γὰρ ἀεὶ om *β*. ‖ τῆς ἐπὶ παραδείγματα *C*. ‖ 36 ἰδεῶν *β*? εἰδῶν *BH*. cf. 37 ἐκεῖναι.

συμβεβηκότα, παντὶ μᾶλλον ἔπρεπε λέγειν ἢ ἀνδρὶ ἀποδεικτικῷ· εἴπερ γὰρ ἐκ προτέρων αἱ ἀποδείξεις καὶ αἰτιωτέρων, ὅτε διὰ τῶν ἑαυτοῦ στοιχείων ἐπιζητεῖν ἄν τι γένοιτο (ὁ γὰρ αἴτια κυρίως ταῦτα, εἰ μὴ ὡς δουλεύοντα τοῖς ἀληθεστέροις αἰτίοις εἰς γένεσιν), ὅτε πολλῷ πλέον διὰ τῶν ὑπαρχόντων αὐτῷ συμβεβηκότων. τὰ μὲν ὖν Ἀναξαγόρᾳ περὶ τῶν ὁμοιομερῶν εἰρημένα καὶ τὰ Εὐδόξῳ περί τινων τοιούτων ἠπορημένα ἔξω λίαν εὐκίνητα· τὰ δέ γε εἴδη τῆς οὐσίας αἴτια ὄντα τοῖς τῇδε καὶ τοῦ εὖ καὶ τῆς μονῆς ἀναγκαίως καὶ τῆς ἐπιστήμης αὐτῶν τὴν πᾶσαν ἐπιφέρει
1079b 23. τελείωσιν. "ἀλλὰ μὴν ... λέγεται". ὅτι μὲν ὅτε ὡς ἐξ ὕλης ὅτε ὡς ἐκ στερήσεως ὅτε κατὰ τὸν συγκειμένων τρόπον ὅτε ὡς ἐξ εἴδους ἐνύλου φαμὲν ἐκ τῶν ἰδεῶν τὰ τῇδε συνίστασθαι, πρόδηλον, ἐπεὶ μηδὲν τούτων ἀληθές ἐστιν αἴτιον, τὰ δέ γε εἴδη τὰς κυριωτάτας αἰτίας καὶ πάντων περιληπτικωτάτας καὶ ἐξηρημένας περιέχει τῶν ἐγκοσμίων ἁπάντων, τὰς ποιητικὰς τὰς
1079b 24. παραδειγματικὰς τὰς τελικάς. "τὸ δὲ λέγειν ... ἀποβλέπον". φανταστῶς γὰρ αὐτῶν ἀκούομεν καὶ μορφωτικῶς· διὸ καὶ δοκοῦσιν αἱ φωναὶ μετενηνέχθαι ἀπὸ τῶν παρ' ἡμῖν ζωγράφων ἢ τῶν ἄλλων χειροτεχνῶν, ἐπεὶ νοῦν τις δημιουργικὸν καὶ ὑποστάτην καὶ αἴτιον τῶν ὅλων ἐνθυμηθείς, αὐτῷ τῷ εἶναι κατὰ τὴν αὑτοῦ ἰδιότητα τὰ πάντα γεννῶντα καὶ ἀξιοῦντα προνοίας ὑποθέμενος, οὐκ ἂν ἐπιζητήσειεν ὅτε τὸ ποιητικὸν αἴτιον τῶν πάντων, οὐθ' ὅπως παράδειγμα λέγομεν εἶναι τὸ ποιοῦν καὶ τὰ ἐν αὐτῷ τῆς διακοσμήσεως. πῶς δὲ καὶ διαρρήδην εἰπόντος τοῦ Πλάτωνος "ἅπερ ὖν νοῦς ἐνόησας ἰδέας ἐν τῷ ὁ ἐστι ζῷον, ὅσαι τε καὶ οἷαι, καθορᾷ, τοσαύτας καὶ τοιαύτας διενοήθη δεῖν καὶ τόδε κοσμεῖν", ὡς μηδενὸς τοιούτου ῥηθέντος ἐπιζητεῖ, τί τὸ ποιοῦν πρὸς τὸ παράδειγμα· ἔδει γὰρ μὴ κατανωτίζεσθαι τὰ ῥηθέντα σαφῶς, ἀλλ' εἴπερ εἶχέ τι πρὸς αὐτὰ λέγειν, μνημονεύσαντα τῆς δόξης τοῖς ἐγχωροῦσιν ἐλέγχοις κατ' αὐτῆς χρήσασθαι· ὁ δὲ τοσοῦτον ἀπέχει τοῦ δύνασθαί τι πρὸς τὴν ἀληθῆ τοῦ Πλάτωνος θεωρίαν εἰπεῖν, ὡς ἀναγκάζεσθαι κἄν τε συγχωρῇ κἄν τε ἀπαγορεύῃ, τὰ αὐτὰ τρόπον ἕτερον ἐκείνῳ φθέγγεσθαι. τὰ γὰρ χωριστὰ εἴδη τὰ παρ' αὐτῷ τελικὰ μέν ἐστιν αἴτια καὶ ἐφετὰ τοῖς ὅλοις, καὶ τοῦ εὖ καὶ τῆς τάξεως τῆς ἐγκοσμίου κατ' αὐτὸν αἴτια· δῆλον δὲ τῷ μετὰ συνέσεως ἐπισκεπτομένῳ τὰ ῥηθέντα, ὅτι καὶ ποιητικὰ ἂν εἴη τῶν τῇδε· οὐ γὰρ ἄλλο μὲν τῆς οὐσίας καὶ τοῦ εἴδους αἴτιον, ἄλλο δὲ τῆς τελειότητος. εἰ δὲ καὶ ἀπειροδύναμά ἐστι τὰ οὐράνια σώματα διὰ τὴν ἐκείνων ἔφεσιν, ἤτοι ἀφ' ἑαυτῶν ἔχει τὴν ἔφεσιν καὶ τὴν δύναμιν τὴν ἄπειρον, ἢ ἀπ' ἐκείνων ἄμφω ἢ τό γε δεύτερον χορηγεῖται, ἀλλ' ἑαυτοῖς μὲν ἀπείρου δυνάμεως οὐκ ἂν εἴη αἴτια· πανταχοῦ γὰρ πεπερασμένου καὶ ἡ δύναμις πεπέρανται. εἴτε δὲ ἄμφω εἴτε τὸ δεύτερον μόνον ἐκεῖθεν, δυνάμεως ὄντα τῆς κατὰ φύσιν καὶ τῆς ἀιδίου χορηγὰ καὶ τοῦ εἶναί ἐστι τοῖς δυναμουμένοις αἴτια, οἷς ὑπῆρξεν ἂν καὶ μηκέτ' εἶναι εἰ μὴ τὴν δύναμιν ἐκεῖθεν ὑπεδέχετο. διὸ καὶ ὁ Πλάτων πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν ἔφη συμπεσοῦσαν σήσεσθαι, εἰ μὴ εἴη τὸ ἀσώματον εἶδος τὸ εἰς ἑαυτὸ συννεῦον, καὶ πρώτως μὲν εἰς ἑαυτὸ συνεργοῦν, δευτέρως δὲ καὶ τὰ ἐξηρτημένα τῆς αὐτοῦ καλλονῆς διεγεῖρον καὶ κινοῦν. οὕτω μὲν ὖν καὶ τὴν ποιητικὴν αἰτίαν ἔχοντα φανεῖται τὰ παρ' αὐτῷ χωριστὰ εἴδη, κἄν τε ὁμολογῆται τοῦτο παρ' αὐτοῦ κἄν τε ἀπαγορεύῃ. ἔτ' ἂν γὰρ ἡ καὶ ἐφέσεως καὶ δυνάμεως αὐτόθεν ὑπάρχῃ χορηγὰ ἢ δι' ἐφέσεως δυνάμεως ἢ δυνάμεως μόνης, ὑπάρχῃ δὲ πρὸς τούτῳ καὶ τοῦ εὖ καὶ τῆς τάξεως καὶ τῆς ἀιδιότητος αἴτια, πῶς οὐχὶ καὶ τοῦ εἶναι τὴν πρωτουργὸν αἰτίαν εἴη ἂν προειληφότα; ὅτι δὲ καὶ παραδείγματα ἔχει τῶν τῇδε κατὰ τὰς αὐτοῦ ὑποθέσεις, φανερὸν ἐντεῦθεν· ἀρέσκει αὐτῷ τὰ χωριστὰ εἴδη τοῦτον ἔχειν διαιωνίως τὸν λόγον πρὸς ἄλληλα, ὃν καὶ τοῦ αἰθέρος αἱ ἐμφανεῖς σφαῖραι· οὐκοῦν ἤτοι ἀπὸ τύχης ἡ ὁμοιότης, ἢ ἕν τι πρὸ τούτων ἀμφοῖν αἴτιον τῆς μιᾶς τάξεως, ἢ τὰ ἕτερα τοῖς ἑτέροις τῆς ἑαυτῶν μεταδίδωσι τάξεως· ἀλλ' οὔτε εἰκαῖον οὐδὲν ἐν τοῖς ἀρχικοῖς αἰτίοις οὔθ' ὑπέρτερόν τι παρ' αὐτῷ τῶν χωριστῶν εἰδῶν· τὸ γὰρ ἓν καὶ ἀπλήθυντον καὶ ὑπερούσιον ἀρνεῖται· λείπεται ἄρα θάτερα τοῖς ἑτέροις μεταδιδόναι τῆς ἑαυτῶν τάξεως. καὶ δῆλον ὅτι τὰ χωριστὰ τοῖς αἰθητοῖς· οὐ γὰρ δὴ ἀνάπαλιν θέμις, οὐδ'

2 αἱ ἀποδ. καὶ αἰτιωτ. om *A*. ‖ αἱ ante ἀποδ. om *H*. ‖ 4 αἰτίοις om *β*. ‖ *ad generationem β* ἐν γένεσιν *BH*: correxi cum Bonitzio. ‖ 5 πλεῖον *A*. ‖ συμβεβηκότα *BH*. *per accidentia sua β*. ‖ 8 *ideas* (scr. *ideae*) *tamen cum sint causae subiectae sensibilibus β*. ‖ 8 τοῖς] τῆς *H*. ‖ 9 fort. ταῖς ἐπιστήμαις. ‖ 10 ὅτε ἐξ ὕλης *AH*. ‖ 11 συγκείμενον *BH*. *compositionis modo β*. ‖ 15 περιέχειν *H*. ‖ τῶν ἐγκ. ἁπάντων om *β*. ‖ τὰς παραδειγματικὰς om *Aβ*. ‖ 17 φανταστῶς ... 19 χειροτεχνῶν om *β*. ‖ 19 ἐπεὶ] *Si β*. ‖ 21 αὐτοῦ libri. ‖ γενῶντα *H*. ‖ ἀξιοῦντα προν.] *prouidentia digna facientem β*. ‖ 23 λέγωμεν *AH*. ‖ 25 Plat. Tim. p. 39 E. ‖ εἴπερ *β*. ‖ ἐνόησας ἰδέαις *A* ἐνόησαις ἰδέαι *H* ἐν ὅσαις ἰδέαις *β*. ‖ ζῴων *H*. ‖ ὅτα ... οἷα *H*. οἷαι ... ὅσαι Plato. ‖ 26 τοιαύτας καὶ τοσαύτας Plato. ‖ 27 τὸ ποιηθὲν *Aβ* τὸ *π* cum spatio VII litterarum *H*. ‖ 32 κἄν τι συγχ. *BHβ*, sed κἄν τε ἀπαγ. *BH*, cf. b18. 905 b11. 911 b12.

2 καὶ ante τοῦ om *β*. ‖ fort. τοῖς ἐγκοσμίοις. ‖ *apud ipsum β*: κατ' αὐτῶν *BH*. fort. καὶ τοῦ ἀιδίου cf. infra l. 22. ‖ 7 ἢ ἐπ' *H*. ‖ 8 *sibi ipsis β* ἑαυτῆς *BH*: correxit etiam Bonitzius. ‖ 9 εἴη ἡ αἰτία *AH*. ‖ 10 πεπέρασται *B* πεπέρασον *H*. cf. ad p. 914 a34. ‖ 10—13 *sed siue ambo, siue secundum unde illinc recipiant cum sint uirtutis et naturalis et aeternae ministratoria, et ipsius esse his quae potentiam habent quibusque insunt causas esse, et non esse nisi potentiam illinc recipiant, est manifestum β*. locum olim admodum obscurum distinctione sanani. ‖ 10 μόνον] μόνος *BH* om *β*. ‖ 11 ὄντα] ἔν τε *H*. ‖ 12 ἐστὶ] καὶ *BH*; om *β* fort. recte. ‖ δυναμένοις *AHβ*. ‖ 13 Pl. Phaedr. p. 245 E. ‖ 14 σήσασθαι *H*. ‖ 15 πρώτως *H*. ‖ 17 διέγειρον *H* διαγεῖρον *A*. ‖ κινεῖν *C*: νοῦν *H* νοῦν *Aβ*. ‖ 19 ἐς' ἂν *Hβ*: εὖτ' ἂν *A* ἐστι *C*. ‖ ἢ καὶ *C*: καὶ *AHβ*. ‖ 20 et 21 ὑπάρχει *H*. ‖ 23 εἶναι τὸν πρ. *BH* εἶναι πρ. (*ut sit primo operans causa*) *β*. ‖ αἴτια *H*. ‖ 24 τῶν ante τῇδε om *H*. ‖ τὰς αὐτὰς *Aβ*. ‖ 25 αὐτὰ τὰ (*A*)*Hβ*. cf. met. Λ 8. ‖ ἔχει *H*. ‖ 26 αἱ ante ἐμφανεῖς om *H*. ‖ 27 τύχης ἢ (ἡ *H*) ὁμοιότητος *BHβ*. cf. p. 900 a6. ‖ ἢ ἐστι πρὸ *A* *aut aliud quid ante β*. ‖ 28 ἢ τὰ ... 29 τάξεως om *A*. ‖ 29 ἀρχικῆς *H*. ‖ 30 οὔθ' ὑπερὶ θάτερόν τι *H* οὔθ' ὁ περὶ τ' ἕτερόν τι *A*. ‖ 31 ἀρκεῖται (*sufficiens est*) *β*. ‖ 32 δῆλον ὅτι om *β*.

ἂν αὐτὸς ὅλως συγχωρήσειεν ὑπὸ τῶν τελευταίων ἐκεῖνα χραίνεσθαι. παραδείγματα ἄρα τῶν τῇδε τἀκεῖ καὶ ποιητικὰ αἴτια, εἴπερ καὶ τελικὰ καὶ χορηγὰ δυνάμεως καὶ ἀιδιότητος· πῶς ἂν οὖν ἐλέγχοι τὸν διδάσκαλον; ὃς ἐξ ὧν δίδωσιν, εἰς ταὐτὸν ἐκείνῳ
1079b 27. δόγμα καὶ ἑκὼν καὶ ἄκων καταναγκάζεται. "ἐνδέχεται ... ἀί-
5 διος". ἀλλ' ἡ μὲν ἀπὸ τύχης ὁμοιότης ἐν τοῖς φθαρτοῖς μόνοις ἐπισυμβαίνουσα σπανιωτάτη ἐστί· τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως τὰ μὲν ἀίδια ἔχειν, τὰ δὲ γενητὰ παρὰ τῆς φύσεως δημιουργεῖσθαι οὐκ ἀσκόπῳ ἔοικεν ἔργῳ οὐδὲ ἀναιτίως τὴν ταὐτότητα καὶ τὴν ὁμοιότητα διασώζοντι· ἐπεὶ καὶ ἐνταῦθα μὲν κινηθείη ἄν
10 τις καὶ ἑαυτῷ καὶ ἄλλῳ παραπλησίως οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ὅτω συμβάν, ἡ δὲ ἀπλανὴς καὶ ἕκαστον τῶν αἰθερίων ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως κινεῖται. οὐ χρὴ οὖν τὰ ὀλιγάκις τοῖς τελευταίοις τῶν ὄντων ἐπισυμβαίνοντα πρὸς ἀνατροπὴν τῆς τῶν
1079b 31. ὄντων τάξεως παραλαμβάνειν. "ἔσται τε πλείω ... αὐτοάν-
15 θρωπος". οὐχ ὅσα φαίνεται ἐν τοῖς τῇδε δημιουργήμασι, ταῦτα χρὴ διῃρημένως ἀναπέμπειν καὶ ἐπὶ τὰς πρωτουργοὺς αὐτῶν καὶ νοητὰς αἰτίας· ἀλλ' ὁ μὲν ἐνταῦθα ἄνθρωπος καὶ ζῷον ἔσται καὶ δίπους καὶ λογικὸν καὶ θνητὸν καὶ ἄλλα μυρία, ὁ δὲ αὐτοάνθρωπος τούτων μὲν οὐδέν, ἀμερῆ δὲ τήν τε τῶν ψυχικῶν καὶ φυσικῶν καὶ
20 αἰσθητῶν ἀνθρώπων αἰτίαν ἐν ἑαυτῷ περιείληφε καὶ ἐξαρκεῖ τῷ τῇδε ἀνθρώπῳ δημιουργουμένῳ κατ' ἐκεῖνον πάντα χορηγεῖν ὅσα αὐτῷ συντελεῖ πρὸς τὴν ἐνθάδε ὑπόσασιν. οὐδὲ οὖν δεῖ τὸν τῇδε ἄνθρωπον πολλῶν ἰδεῶν μετέχειν, καθό ἐστιν ἄνθρωπος· ἀλλ' εἰ μέν, ὅτι αἰσθητὸς ὢν καὶ τῆς ἐν τῇ φύσει μετέχει τοῦ
25 ἀνθρώπου αἰτίας καὶ τῆς ἐν τῇ ψυχῇ καὶ τῆς ἐν νῷ, ταύτῃ πλειόνων ἰδεῶν λέγοιτο μεταλαγχάνειν, συγχωρεῖν χρή· καὶ οὐδὲν ἄτοπον τὰ τελευταῖα πάντων μετέχειν τῶν πρὸ αὐτῶν, εἰ καὶ τῶν μὲν φύσεως λόγων κυρίως μεταλαμβάνειν ἂν λέγοιτο κατὰ τὸν ἐλλογιμώτατον Ἀμέλιον, τῶν δὲ τῆς ψυχῆς εἰδῶν ἐμ-
30 φάσεις ὑποδέχεσθαι, πρὸς αὐτὰ δὲ τὰ νοητὰ αἴτια μᾶλλον ὁμοιοῦσθαι. εἰ δὲ ὅτι καθὸ τόδε τὸ εἶδος ἔχει, πλειόνων ἐστὶν εἰδῶν ἀποτέλεσμα διὰ τὴν ἐν αὐτῷ τῶν λόγων διαίρεσιν, οὐκ ἐπιτρεπτέον τῷ τὰ αὐτὰ τοῦτον τὸν τρόπον ὑπολαμβάνοντι, ἀλλὰ τὴν μὲν διαίρεσιν καὶ τὸν κατακερματισμὸν τῶν λόγων ἐν τοῖς ἀποτελέσμασιν ἀπολειπτέον, τὴν δὲ ἀμερεστάτην τῶν ὅλων περιοχὴν τοῖς ἐξῃρημένοις αἰτίοις ἀπονεμητέον. "ἔτι οὐ μόνον ... 1079b 33.
εἰκών". εἶναι μὲν ὁλικωτέρας αἰτίας καὶ ἄλλας μερικωτέρας ἐν νῷ θετέον, ἐπεὶ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τὴν αὐτὴν ταῖς φαινομέναις σφαίραις τοῦ αἰθέρος τάξιν ὁμολογῶν ἔχειν καὶ τὰ νοερὰ τοῦ παντὸς αἴτια, δῆλός ἐστι συγχωρῶν τὰ μὲν αὐτῶν εἶναι περιληπτικώτερα τὰ δὲ μερικώτερα. οὐ μὴν διὰ τοῦτο ἢ αὐτῷ ἔπεται ἢ ἡμῖν τὸ *καὶ παραδείγματα καὶ* εἰκόνας τὰ δευτέρα τῶν προτέρων λέγειν. ὅλως δὲ ἡνωσθαι μὲν ἀλλήλοις καὶ χωρεῖν δι' ἀλλήλων καθαρῶς καὶ ἀσυγχύτως τὰ θεῖα εἴδη καὶ νοερὰ λέγοιτ' ἄν, μετέχειν δὲ καθάπερ αἱ δευτέραι καὶ πολλοσαὶ φύσεις αὐτῶν μετέχουσιν οὐδαμῶς ἂν ἀλλήλων λέγοιντο. πάντα οὖν πρῶτα τἀκεῖ καὶ ἀληθῆ καὶ τῶν μεθ' ἑαυτὰ παραδείγματα, καὶ
1079b 35. τῆς εἰκόνος οὐδεμίαν ἐν ἑαυτοῖς παρείσδυσιν ἐπιδέχεται. "ἔτι ...
πραγμάτων οὖσαι χωρὶς εἶεν". τὰ μὲν ἔνυλα εἴδη ἀχώριστά ἐστι τῶν ὑποκειμένων· ἀλλ' οὐχ ὅτως αἱ ἰδέαι οὐσίαι ἐλέγοντο τῶν πραγμάτων, ἀλλ' ὅτι κατ' αὐτὰς καὶ δι' αὐτὰς καὶ ὑπ' αὐτῶν τὰ * ἤδη τὴν ὑπόσασιν ἔχει· ὥστε ἀνάγκη αὐτὰς εἶναι χωριστὰς τῆς γενέσεως. "ἐν δὲ ... κινῆσον". 1080a 2.
δεῖ μὲν ἀεὶ τὰς ὅλας ποιήσεις τῶν θείων εἰδῶν ἐνεργείᾳ εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν οὐδέποτε εἶδος ὅλον ἐκλείπειν τὸν κόσμον δυνήσεται· ἀπειροδυνάμου γὰρ ὄντος τοῦ αἰτίου διὰ τὴν ἁπλότητα αὐτοῦ καὶ τὴν ἀμερίαν ἀνάγκη μὴ διαλείπειν τὰ ἀποτελέσματα· τὸ δὲ μερικὸν οὐκ ἂν μεταίοι τῆς ἰδέας, εἰ μὴ ὕλην ἔχοι πρὸς τὴν μετάληψιν αὐτῆς ἐπιτηδείαν. ἡ τοίνυν προπαρασκευὴ τῶν ἐν κινήσει φερομένων ὑλικῶν αἰτίων τούτων οὐκ ἂν εὐλόγως μετέχοι. "καὶ πολλὰ ... εἴδη". εἴδη μὲν δημιουργικὰ τῶν 1080a 4.
μήτε ὄντων ἐν τῇ φύσει μήτε ὑπὸ τῆς φύσεως δημιουργουμένων οὐ κατελίμπανον οἱ ἄνδρες· καὶ τοῦτό γε ὀρθῶς ἰσορεῖ, ὅτι τῶν τεχνητῶν εἴδη οὐκ ᾠοντο εἶναι νοερὰ καὶ θεῖα· λόγους δὲ παραδειγματικωτέρους τῶν ἀποτελεσμάτων τεχνικοὺς οὐκ ἐκείνοις ἤρεσκε μόνοις ἐνυπάρχειν ἐν τῇ ψυχῇ τῶν τεχνιτῶν, ἀλλὰ καὶ αὐτῷ τῷ Ἀριστοτέλει πολλαχοῦ δεδογμένον ἐστίν. ὃ καὶ μάλιστα

1 ἀπὸ τῶν **BH**. ‖ 4 ἐλέγχῃ **BH**. ‖ 6 ἀλλ' εἰ **H**. ‖ *μόνως* **BH** *solum* β. ‖ 9 ἀσκόπως **BHβ**: correxi cum Bonitzio. ‖ αὐτότητα **H**. ‖ 13 *mouentur* β κινεῖσθαι **BH**: corr. Bonitzius et Brandisius. ‖ 14 scribendum τῆς τῶν ὄντως ὄντων. ‖ 16 fort. πάντα χρὴ. ‖ 20 *si quidem impartiabiliter et animalium ... hominum causam in se ipso complexus est.* β. ‖ ἀμερῆ] ἐν ἀμερεῖ **B** ἐναμερὲς **H** εἰ ἀμερῶς β. ‖ δὲ om (*A*)**Hβ**. ‖ 22 δεδημιουργημένῳ **H**. ‖ ἐκεῖνα **Hβ**. uerba κατ' ἐκεῖνον interpolationis suspecta. ‖ 23 οὐδὲ] οὐδὲν **BHβ**. ‖ 25 ἀλλ' εἰ ὅτι αἰσθητὰ καὶ τῆς **H**. ‖ μετέχει **AHβ**: μετέχων **C**. ‖ 31 ἀποδέχεται **H**. ‖ 32 ὁμοιῶσθαι] ὁ ὐ σθαι **H**. ‖ εἰ δὴ **A** εἰ καὶ **H**. ‖ 33 ἀποτελέσματα **BH** *effectus* β: emend. Bonitzius. ‖ οὐκ ἐπὶ πλέον τῷ (τὸ **H**) **AH** *non irruere debemus* (ἐπιπληκτέον?) *in eum qui* — β. ‖ fort. τῷ πάντα τὸν αὐτὸν τρόπον.

2 ἀποληπτέον **C** ὑπολληπτέον (*A*)**Hβ**. cf. p. 880 b 26. ‖ 3 τῆς ἐξῃρημένης αἰτίοις **H**. ‖ 4 μερικωτέραν **H**. ‖ 6 sq. *diuinas uniuersi causas* β. ‖ 9 orationem, ne cum scriptoris sententia pugnaret, suppleui cl. Arist. ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ εἰκών. nisi quispiam malet τὸ εἰκόνας τὰ πρότερα τῶν δευτέρων λέγειν. ‖ 11 εἴδη om β. ‖ 12 φύσις **H**. ‖ 13 ἀλλήλων om β. ‖ 14 καὶ ante τῶν om β. ‖ καὶ τὸ τῆς **BH**: expunxi τὸ cum β. ‖ 16 ὅσαι χωρὶς εἶεν" ... 18 πραγμάτων om **AH** τὰ μὲν ἔνυλα ... 20 κινῆσον" om β. ‖ 19 τὰ * ἤδη] τὰ εἴδη **BH**. τὰ τῇδε ci. Bonitzius. mihi uidetur aut τῇδε aut πράγματα intercidisse. ‖ ὑπάσασιν **H**. ‖ 20 γενήσεως **B**. ‖ 24 ἀμερίαν **C**: ἀμετρίαν **Hβ** μετρίαν **A**. ‖ 25 μετέχει **H**. ‖ ἔχοι ἢ πρὸς **BH**: ἢ deleui cum β et Bonitzio. ‖ 27 ἐν τῇ κινήσει **A**. ‖ τούτων **A**: τὸν τῶν **CH** ὧν β. ‖ οὐκ ἄνευ λόγον (λόγων **H**) μετ. **CHβ**. ‖ 28 μετέχει **H**. ‖ alterum εἴδη om **H**. ‖ 29 δημιουργημένων **H**. ‖ 30 οὐκ ἀπελίμπανον **C**. ‖ 32 παραδειγματικοὺς β, ut infra p. 901 b 22 παραδειγματικώτερον *in exempli ratione*. ‖ 33 τεχνητῶν **BH**. ‖ 34 αὐτῷ ἀριστοτέλει **BH**.

δίκαιον ἂν εἴη λέγειν τοὺς τῶν εἰδῶν φίλους πρὸς αὐτόν· πῶς γὰρ τὰ τεχνητὰ διὰ παραδειγμάτων ἐπιτελεῖται συγχωρῶν καὶ ἐν τούτοις οὐκ ἀποδοκιμάζων τὴν παραδειγματικὴν αἰτίαν, τὰ τῆς φύσεως ἔργα, ἃ δὴ μιμεῖται καὶ ἡ τέχνη, ἀσκόπως ἐπιτελεῖσθαί φησι πρὸς οὐδὲν ὡρισμένον αἴτιον ἀναφερομένης τῆς φυσικῆς ποιήσεως; καίτοι γε ἐνιαχοῦ λέγει καὶ αὐτὸς τὴν φύσιν τοῦ εἴδους ἐφιεσθαι, ἀλλὰ τὸν λόγον οὐ διαρθροῖ· ποίου γὰρ εἴδους, πότερον τοῦ ἐν κινήσει φερομένου καὶ ἐνύλου; ἀλλὰ τοῦτο οὔ πω πεποίηκε, καὶ δεύτερόν ἐστι τῆς φύσεως, καὶ τῷ ἀνειδέῳ καὶ ἀμόρφῳ συμπλέκεται· καὶ ἄτοπον τὴν φύσιν τοῦ τε μηδέπω ὄντος ἐρᾶν καὶ τοῦ μεθ' ἑαυτὴν καὶ τοῦ χερήσει συναναφερομένου καὶ διὰ τοῦτο ἀκαλλοῦς γιγνομένου καὶ ἀνεράστου. εἰ δὲ τοῦ χωριστοῦ, ἵνα καὶ τοῦ ἀληθινοῦ καὶ τοῦ πρὸ αὐτῆς καὶ θείου κατὰ τὸ ἀληθὲς εἶδος ἔχῃ τὸν ἔρωτα, πᾶσα ἀνάγκη τοῦτο νοερὸν εἶναι καὶ ἄυλον καὶ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν, ἵνα καὶ τῆς φύσεως ὅ τ' ἔρως
1080a 9. ἄσβεστος ᾖ καὶ ἀνέκλειπτος ἡ ποίησις. "ἀλλὰ ... πρώτας". ὅτι μὲν οὐδὲν τούτων πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν, δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ Περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· χεδὸν γὰρ αὐτὰ ταῦτα πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν, ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους ἑαυτοῦ φιλοσόφους εὐθύνειν. ὅτι δὲ κἂν πολλαπλασιασθῶσι τοιοῦτοι ὄντες οἱ ἐπιχειρηματικοὶ τόποι, πόρρω τῆς περὶ τῶν θείων ἐπιστήμης ὑποφέρονται περὶ ἑαυτοὺς καλινδούμενοι, εἶναι μὴ λεληθέναι τοὺς ἀγχινουστέρους. ἀλλ' ἐπειδὴ μεταβαίνειν ἐπαγγέλλεται καὶ ἐπὶ τὴν τῶν ἀριθμῶν ὑπόθεσιν, ὑπισχνούμενος ἀπελέγξαι τοὺς οὐσίαν αὐτοῖς ἀπονέμοντας νοητήν, ἴδωμεν καὶ τὰ πρὸς τοὺς ἀριθμοὺς τάνδρὸς ἐπιχειρήματα.

1080a 15. "Ἀνάγκη ... εἰρημένους". ἡ μὲν πρώτη διαίρεσις ἐλλιπῶς μὲν εἴρηται, ἀληθῶς δέ· ἀνάγκη γάρ, εἰ ἔστιν αὐτοαριθμὸς καὶ μὴ φύσις ἄλλη ὧν ἀριθμεῖται, ἤτοι τὸν ἐχόμενον τοῦ προτέρου κατ' εἶδος διαφέρειν ἢ μὴ διαφέρειν. τοῦτο δὲ τὸ "ἢ μὴ διαφέρειν" παρεῖσθαι δοκεῖ. αἱ δ' ἑξῆς διαιρέσεις αἱ κατὰ τὰς μονάδας περιτταὶ πᾶσαι καὶ παρὰ θύρας ποιούμεναι τὴν ζήτησιν· εἰ μὲν γὰρ τοὺς χωριστοὺς ἀριθμοὺς ἐν ποσότητι μονάδων ἔχειν ὑπετίθεντο τὴν ὑπόσασιν οἱ ἄνδρες, καλῶς εἶχε πρὸς αὐτοὺς ἀπορεῖν, πότερον πᾶσαι αἱ μονάδες ἀσύμβλητοί εἰσι καὶ αἱ ἐν τῷ αὐτῷ ἀριθμῷ πρὸς ἀλλήλας καὶ αἱ ἐν ἑτέρῳ πρὸς τὰς ἐν ἑτέρῳ, ἢ πᾶσαι ἀδιάφοροι ὡς αἱ ἐν τῷ μαθηματικῷ ἀριθμῷ, ἢ αἱ μὲν ἀδιάφοροι αἱ ἐν τῷ αὐτῷ πρὸς ἀλλήλας, αἱ δὲ διάφοροι καὶ ἀσύμβλητοι ἐν ἄλλῳ καὶ ἄλλῳ· ἐπειδὴ δὲ ἀμερεῖς καὶ ἄποσοι παρ' αὐτοῖς οἱ ἀριθμοὶ καὶ ἐν εἴδεσι θείοις ἀφοριζόμενοι, ὅσοι γε αὐτῶν εἰσι τοῦ κόσμου χωρισοί, παρέλκειν ἡγούμεθα πᾶσαν τὴν τοιαύτην τοῦ λόγου πολυπραγμοσύνην. τὴν μέντοι μετ' ταῦτα διαίρεσιν πάλιν ὡς πραγματειώδη προσιέμεθα, καθ' ἣν ἐπιζητεῖ πότερον χωριστοὺς ὑπετίθεντο τοὺς ἀριθμοὺς εἶναι, ἢ ἀχωρίστους τῶν σωμάτων, ὡς πληροῦντας μέντοι τὴν αἰσθητὴν φύσιν, ἢ τοὺς μὲν χωριστοὺς τοὺς δὲ ἀχωρίστους. ἐπεὶ οὖν ἥ τε πρώτη καὶ ἡ τελευταία διαίρεσις γέγονεν αὐτῷ πραγματειώδης, αἱρούμεθα τῆς μὲν πρώτης τὸ τοὺς διαφόρους ἀριθμοὺς ἑτέρους εἶναι τῷ εἴδει, μᾶλλον δὲ ἕτερα εἶναι εἴδη· εἴδη γὰρ καθαρὰ καὶ ἄχραντα τῶν ἀριθμῶν οὐ χωριστά. τῆς δὲ δευτέρας τὸ εἶναι καὶ χωριστοὺς καὶ ἀχωρίστους τῶν αἰσθητῶν ἀριθμούς. διὸ καὶ οἱ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος τοὺς ἑκαστάχοῦ γεννῶντες ἀριθμοὺς εἰκότως αὐτῷ δοκοῦσι τούτοις κεχρῆσθαι τοῖς τρόποις· οἱ μὲν γὰρ περὶ τῶν ἀχωρίστων μόνων τὸν πολὺν ποιοῦνται λόγον ἀπὸ τῶν ἡμῖν προσεχεστέρων περὶ τῶν ὑπερτέρων αἰτίων αἰνιττόμενοι, οἱ δὲ περὶ τῶν χωριστῶν, ἐν οἷς παραδειγματικώτερον ἑώρων καὶ τοὺς ἐκ τῆς φύσεως προεληλυθότας περιεχομένους, οἱ δὲ περὶ ἀμφοῖν διακρίνοντες σαφεστέραν τὴν ἑαυτῶν καὶ τελειοτέραν ἀπέφαινον διδασκαλίαν. εἰ δὲ δεῖ τι καὶ περὶ τῆς διαφορᾶς ἢ περὶ τῆς ἀδιαφορίας τῶν μονάδων εἰπεῖν, μονάδας μὲν τὰς κατὰ τὸ ποσὸν οὐκ ὑποβλητέον οὐδαμῇ οὐδαμῶς τοῖς οὐσιώδεσιν ἀριθμοῖς· αὐτοὺς δὲ μονάδας εἶναι λέγοντες καὶ διαφέρειν πάντας ἀλλήλων φήσομεν διὰ τὴν ἑτερότητα καὶ ἀδιαφόρους εἶναι κατὰ τὴν ταυτότητα, καὶ τὸ συναμφότερον ἐπιδείκνυσθαι δι' ἄμφω ταῦτα τὰ γένη τοῦ ὄντος. δῆλον δὲ ὅτι καὶ οἱ μὲν ἐν τῇ αὐτῇ τάξει ταυτότητι μᾶλλον ἢ ἑτερότητι κατὰ τὴν πρὸς ἀλλήλους παραβολὴν κατέχουσι, οἱ δὲ ἐν ἑτέραις καὶ ἑτέραις πολλῷ τῷ διαφέροντι κέχρηνται διὰ τὴν τῆς ἑτερότητος ἐπικράτειαν. "οἱ 1080b 11.
μὲν ... αἰσθητῶν". ἐνταῦθα Πλάτωνα δῆλός ἐστι τάττων, ὡς καὶ ὁ ὑπομνηματιστὴς αὐτοῦ φησιν Ἀλέξανδρος. καὶ δεχόμεθα Πλάτωνα ταῦτα λέγειν, καὶ μὴ μόνον ταῦτα· εἶναι γὰρ καὶ εἰδη-

2 τὰ τεχνητὰ τὰ διὰ *AH*. ‖ ἐπιμελεῖσθαι *AHβ* ut l. 4 iterum *H*. ‖ 5 πρὸς] καὶ *H*. ‖ 8 οὔπω ποτὲ πεπ. *A*. ‖ 12 ἀκαλοῦς *BH*. ‖ ἵνα om *β* sic interpretatus *at si eius quae separabilis est formam diligit quae et uera est et prior ista et diuina et re uera forma, necesse est* —. ‖ 13 καὶ πρὸ (πρὸς *H*) αὐτῆς *AH*. ‖ κατὰ] καὶ κατὰ *β*. ‖ ἔχει *AHβ*. ‖ 14 τοῦτον νοερὸν *BH*. ‖ 15 ἔχει *H*. ‖ ὅ τε ἔρως *H*. ‖ 19 εἰδῶν] *de ideis β*. Περὶ ἰδεῶν scripsissem, nisi illum Aristoteleo libro titulum a Syriano impositum esse certa firmarent testimonia extremo in N librum commentario, cf. V. Roseus Arist. pseudepigr. p. 188. ‖ πεπραγματευομένα *H*. ‖ 22 ἀπαγγέλων *H*. ‖ 23 δὲ post ὅτι om *H*. ‖ 26 καὶ om *A*. ‖ 27 scrib. ἀπελέγξειν. ‖ 32 ὧν ἀριθμεῖται] fort. τῶν ἀριθμητῶν. ‖ 33 prius ἢ μὴ διαφέρειν om *Aβ*. ‖ τοῦτο δὲ κτέ.] *in hoc uidetur praetermitti illud, aut non differre β*. ‖ 36 ἀριθμοὺς om *A*. ‖ 37 ὑπετίθετο *B*. ‖ πρὸς τοὺς *H*.

1 et 2 αἱ ante ἐν utrubique om *AHβ*. ‖ 2 πρὸς τὰς ἐν ἑτέρῳ om *H*. ‖ 3 μαθηματικῷ ἢ ἀριθμῷ *AH*. ‖ 5 αἱ ἐν .... διάφοροι om *Aβ*. ‖ αἱ ἐν] καὶ ἐν *H*. ‖ 6 οἱ ante ἀρ. om *H*. ‖ 15 ἑτέρους om *Aβ*. ‖ εἶναι εἴδεσιν *H*. ‖ 18 γεννῶντες (*A*)*H*. ‖ 19 εἰ μὲν *A*. ‖ 21 ἡμῖν om *β*. ‖ περὶ] παρὰ *H*. ‖ 23 προεληλυθότας *BH*. *qui perfecti* (num *profecti*?) *sunt β*. ‖ 27 ὑπερβολητέον *H*. ‖ 29 καὶ διαφόρους *H*. ‖ 30 τὸ post καὶ om *AH*. ‖ 33 πολλῷ om *β*. ‖ 34 κέχρηται(*A*)*H*. ‖ 36 ὁ post καὶ om *H*. ‖ Alex. p. 722, 21. 27.

τικὸν ἀριθμὸν ὑπετίθετο, τάξιν ἐχόντων ἐν αὐτῷ τῶν εἰδῶν, εἶναι καὶ τὸν μαθηματικὸν πρεσβύτερον μ̄ ὄντα τοῦ φυσικοῦ, καταδεέστερον δὲ τοῦ εἰδητικοῦ, ὥσπερ δὴ καὶ ψυχὴ φύσεως μέν
1080b 14. ἐστιν ὑπερτέρα, νοῦ δὲ δευτέρα. "οἱ δὲ ... αἰθητῶν". τοὺς περὶ Ξενοκράτην φησὶν αὐτὸν Ἀλέξανδρος αἰνίττεσθαι, οἳ χωρί- 5 ζουσι μ̄ τὸν μαθηματικὸν τῶν αἰθητῶν, ὁ μέντοι μόνον εἶναι νομίζουσι· πῶς γὰρ ἂν Πλατωνικοί γε ὄντες καὶ πυθαγορίζειν βουλόμενοι τῆς τῶν ἀμερεστάτων καὶ ἐξῃρημένων τῆς ψυχικῆς οὐσίας ἀριθμῶν θεωρίας ἀπελείφθησαν; ἀλλὰ δῆλοί εἰσι διὰ τῶν μαθηματικῶν ὀνομάτων καὶ τὰ περὶ τοὺς πρεσβυτέρους ἀριθ- 10
1080b 16. μοὺς πραγματευόμενοι. "καὶ οἱ Πυθαγόρειοι ... ἐοίκασιν". ὅτι μ̄ καὶ τὰ αἰθητὰ κατ' τοὺς ἀριθμοὺς ἔλεγον δημιουργεῖσθαι παρὰ τῆς φύσεως οἱ ἄνδρες, ὁμολογητέον· ὁ μὴν κατ' τοὺς πυθαγορικοὺς ἀλλὰ κατ' τοὺς φυσικούς. συμβολικῶς δὲ ἑρμηνεύοντας οὐδὲν ἦν ἀπίθανον καὶ διὰ μαθηματικῶν ὀνομάτων περὶ τῆς ἑκάστου 15 τῶν αἰθητῶν ἰδιότητος ἐνδείκνυσθαι. τὸ δὲ μόνων αὐτοῖς ἀνατιθέναι τῶν αἰθητῶν ἀριθμῶν τὴν κατανόησιν, μὴ πρὸς τῷ καταγελάστῳ καὶ λίαν ἀσεβὲς ᾖ· τοὺς γὰρ ὑποδεξαμένους μ̄ παρ' Ὀρφέως τὰς θεολογικὰς ἀρχὰς τῶν νοητῶν καὶ νοερῶν ἀριθμῶν, ἐπὶ πλεῖστον δὲ αὐτὰς προαγαγόντας καὶ τὴν ἄχρι τῶν αἰθητῶν 20 ἐπικράτειαν αὐτῶν ἀναφήναντας καὶ πρόχειρον ἔχοντας ἐπίφθεγμα τὸ "ἀριθμῷ δέ τε πάντ' ἐπέοικε" πῶς οὐκ ἄτοπον περὶ τὰ σώματα μόνον καὶ τοὺς συνόντας τοῖς σώμασιν ἀριθμοὺς διατετριφέναι λέγειν; πῶς δ' ἂν αὐτὸς μ̄ Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ διαρρήδην μορφῶν καὶ ἰδεῶν κράντορα τὸν ἀριθμὸν ἔλεγεν 25 εἶναι, καὶ θεῶν δαιμόνων τε αἴτιον καὶ τῷ πρεσβίζῳ καὶ κρατιζεύοντι τεχνίτῃ θεῷ κανόνα καὶ λόγον τεχνικόν, "νοῦν τε καὶ σάθμαν ἀκλινεσάταν τὸν ἀριθμὸν ὑπεῖμεν συσάσιός τε καὶ γενέσιος τῶν πάντων"· Φιλόλαος δὲ τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν "κρατιζεύοισαν" καὶ αὐτογενῆ συνοχὴν ἀπεφαίνετο εἶναι τὸν 30 ἀριθμόν· Ἵππασος δὲ καὶ οἱ ἀκουσματικοὶ πάντες κριτικὸν ὄργανον κοσμουργοῦ θεοῦ καὶ παράδειγμα κοσμοποιίας βούλονται εἶναι τὸν ἀριθμόν —, εἰ μὴ τὴν χωριστὴν αὐτοῦ τῶν σωμάτων καὶ δημιουργικήν τε ἅμα καὶ παραδειγματικὴν ἐθεώρουν ὑπεροχήν;
1080b 21. "ἄλλος ... ἕνα εἶναι". μήποτε καὶ ὅτος ἐν τῷ εἰδητικῷ πάντας 35 ἑώρα, τοὺς μ̄ πρὸ αὐτοῦ ὡσανεὶ προελθόντας ἐπὶ τὸ ἐμφανέστερον, τοὺς δὲ μετ' αὐτὸν ὡς κατ' αἰτίαν περιεχομένους παραδειγματικήν. "ἔνιοι ... εἶναι". [μόνον δὲ τοῦτον καὶ πάντως 1080b 22.
χωριστόν, εἶναι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τούτῳ]. ἔνιοι, φησί, τὸν μ̄ συνεγνωσμένον μαθηματικὸν ἀνήρουν, ἕνα δὲ ποιοῦντες ἀριθμὸν τὸν εἰδητικὸν τὸν αὐτὸν τοῦτον ἐκάλουν καὶ μαθη- 5 ματικόν. μήποτ' οὖν ἐπειδὴ διττὸς ὁ μαθηματικός, ὁ μ̄ μοναδικὸς ὁ δὲ οὐσιώδης, ᾧ τὴν λογικὴν ψυχὴν ὁ δημιουργὸς διακοσμεῖν εἴρηται, τὸν μ̄ τοῖς πολλοῖς συνεγνωσμένον ὡς ἀνούσιον οὐκ ἠξίουν εἰδητικὸν καλεῖν, τὸν δὲ κατ' οὐσίαν ὑπάρχοντα ταῖς ψυχαῖς, ὃς καὶ τοῦτον αὐτοφυῶς ἀπογεννᾷ τὸν μοναδικόν, εἰς ταὐτὸν μ̄ οὐκ ἦγον τῷ τῶν ἰδεῶν, εἰδητικὸν δὲ καὶ αὐτὸν οὐκ ἀπηξίουν καλεῖν, καθ' ὅσον καὶ τοὺς μέσους λόγους τῆς ψυχῆς εἰδῆ προσαγορεύειν εἰώθαμεν. "ὁμοίως ... πρότερον". τὰ 1080b 23.
αὐτὰ λέγομεν καὶ περὶ τῶν γεωμετρικῶν ὀνομάτων· ἄλλως γὰρ τὰ σχήματα ἐν νῷ, ἄλλως ἐν ψυχῇ, πανταχοῦ δὲ ἀδιαστάτως καὶ ἀσχηματίστως, εἴ τῳ κατ' τὴν τῶν πραγμάτων ἰδιότητα μετιόντι τὴν θεωρίαν ἀλλὰ μὴ τὴν τῶν ὀνομάτων συνήθειαν σχήματα ἀσχηματίστα καὶ ἀμερῆ μεγέθη πρὸς συμπάθειαν εὐπαράδεκτον εἶναι φαίνεται. ἀμέλει τῶν θείων ἀνδρῶν ἐκείνων τινὲς ἀτόμους γραμμὰς διὰ ταύτην τὴν αἰτίαν εἰσηγούμενοι καὶ ἄποσον δυάδα αἰτίαν ἔχον ἀλλαχοῦ μ̄ ὡς ἀδύνατα λέγοντες, ἐν τούτοις δὲ ὡς περὶ μαθηματικῶν ὁ μαθηματικῶς ἀναδιδάσκοντες. καὶ ἔχομεν καὶ ἐκ τῶν τοῦ κατηγόρου λόγων τὴν ὑπὲρ Ξενοκράτους ἀπολογίαν, ὃς τὴν αὐτογραμμὴν οὐκ ἠνείχετο τέμνεσθαι οὐδὲ τὰς κατ' τοὺς μέσους λόγους τῆς ψυχῆς ὁρωμένας γραμμάς· ἀφ' ἧς αἰτίας καὶ τοὺς ἀριθμοὺς ἐν λόγοις ὁρῶν καὶ εἴδεσιν ἀδιαιρέτους ἐφύλαττε· καὶ γὰρ τοὺς μαθηματικοὺς κατ' τὸ εἶδος ἑώρα μᾶλλον, ἀλλ' οὐχὶ κατ' τὴν ὑποκειμένην τῶν μονάδων χύσιν. τὸ δὲ πάντας πλὴν τῶν Πυθαγορείων μοναδικοὺς λέγειν τιθέναι τοὺς ἀριθμούς, μόνους δὲ τοὺς Πυθαγορείους διάστημα ἔχοντας καὶ μέγεθος, ψεῦδός ἐστι καθ' ἑκάτερον· οὔτε γὰρ πάντας ἀριθμοὺς οἱ ἄλλοι μοναδικοὺς εἶναί φασιν, ἀλλὰ μόνον τὸν μαθηματικόν, οὔτε Πυθαγόρειοι μέγεθος ἐδίδοσαν τῷ ἀριθμῷ, ἀλλ' ἐγέννων μ̄ ἐκ τῶν τελευταίων ἀριθμῶν καὶ τὰ μεγέθη, αὐτοὺς δὲ ἀμερεῖς εἶναι ὑπετίθεντο τούς τε τῶν σωμάτων ποιητικοὺς τούς τε τῶν φυσικῶν λόγων ἐξῃρημένους. αὐτὸς δὲ ὡς κατασκευαστικὸν τοῦ παρὰ τοῖς ἄλλοις μοναδικοὺς εἶναι τοὺς ἀριθμοὺς τὸ ἀπὸ τοῦ ἑνὸς αὐτοὺς ὑφιστάνειν παρέλαβεν, ὁ προσποιούμενος ὅτι τὸ ἓν

5 Alex. p. 722, 28. || 6 τῶν] ἀπὸ τῶν *A*. || 8 τῆς ante τῶν om *H* spatio uacuo relicto. || ἀμερεστέρων libri. || 9 ἀρ. τῆς θεωρίας *BH*. || 10 περὶ] παρὰ *H*. || 14 συμβολικῶς δὲ ἑρμ. *Hβ*: δὲ om *B*. || 16 μόνον *H*. || ἀντιθέναι *H*. || 18 γὰρ om *AHβ*. || 21 ἐπίφθεγμα] cf. ad p. 891 b6. || 22 δέ τε *H*: δὲ *B*. || 24 ἱερῷ λόγῳ] memoratur p. 842 a9. 911 b3 et ad N 1089 b20. cf. Lobeckius Aglaoph. p. 722 sqq. || 26 δαιμόνων (om τε) *CH* εὐδαιμόνων *β*. || πρεσβύζῳ *B*. || κρατιεύοντι *H*. || 28 ὑπεῖκεν *A supposuisset* (ὑπέθηκεν scil. pro ὑπέθετο!) *β*. || συσασίς τε *H*. || σύσ. — πάντων] *constitutorque et generator omnium numerus est. β*. || 29 cf. infra p. 912 b17, Boeckhius de Philolao p. 137. || 30 κρατιζεύοσαν *AH*: aeolismum pro dorismo ab his nebulonibus uenditatum (cf. ἄγοισαι ἐγείροισαι ἔχοισα πιπτοίσας alia in Timaeo Locro) testatur *C*. || 37 περιεχομένους *H*.

1 μόνον δὲ ... 2 τούτῳ om *β* prudenter. || 2 ἕν. — 4 μαθημ. ex Alex. p. 723, 14 petita. || 4 τὸν ante αὐτὸν om *A*. || 7 κοσμεῖν *AH*. || συνεγνωσμένην *C* ἐγνωσμένον *AH*(*β*?). || 10 τῷ om *A*. || 14 τὰ ante σχημ. om *H*. || σχήματα τὰ ἐν *BH*: τὰ deleui cum *β*. || 15 *et figurate β*. || 16 θεωρίον *H*. || scrib. μὴ κατὰ τὴν. || τὴν om *A*. || σχήματα ... 17 συμπάθειαν om *A*. || 17 μεγέθη *H*. || πρὸς συμπάθειαν] uidetur infinitiuus latere simili sententia atque προϋπάρχειν. ad εὐπαράδ. cf. p. 867 b18. || 20 αἴτιον *C*. || ἔχον *H*. || 21 ὡς ὁ περὶ *H*. || 22 ἐκ τῶν κατηγόρου *AH*. || 24 λόγους] λους *H*. || 27 ἀλλὰ *B*. || χύσιν] fort. σύγχυσιν ut infra p. 904 b30. || 30 ἀεὶ θμοὺς ὅρους οἱ *A*. || 34 εἶναι με ὑπετ. *H*. || 35 φυσικῶν] σοφῶν *BHβ*. || 37 ἑνὸς αὐτοῖς *A*. || ὑφιστάναι *A*. sed cf. p. 876 b16. 880 a7. 904 b32 cet.

παρ' αὐτοῖς ὑ τὲ μονάδων ἐςὶ γεννητικὸν τῶν μαθηματικῶν,
1080b 33. ἀλλ' ἡ τȣ̃ ἀγαθȣ̃ ϗ παναρίςȣ τῶν ὄντων αἰτία. "ὁσαχῶς
... ἑτέρων". τὰ μ̄ εὐφορητότερα μᾶλλον εἶναί φησι, τὰ δὲ
ἀδυνατώτερα. ῥητέον δὲ ὅτι εἰ μ̄ πάντας ὑπετίθεντο μοναδικȣ̃ς
εἶναι τȣ̀ς ἀριθμȣ̀ς οἱ ἄνδρες, τελείως ἄν σοι τὰ τῆς διαιρέσεως 5
προῄει· νυνὶ δὲ τὰ μ̄ παρέλκει, τὰ δὲ ἐπὶ τὲ χεῖρον ὑποτέθει), ἐν
ἑνίοις δὲ θεάσαιτο ἄν τις ϗ τῆς ἀληθȣ̃ς ἐκείνων ὑπολήψεως ζωπυρον.

1080b 37. "Πρῶτον ... ἀλλήλας". πάντα ταῦτα μάτην σπαθᾶ)·
1081a 5. τῶν γ̄ θείων ϗ νοερῶν ἀριθμῶν ȣ̀δείς ἐςι μοναδικός. "εἰ μ̄
ȣ̃ν .... εἰδῶν". εἰ πᾶς ἀριθμὸς μοναδικός, πᾶσαι δὲ αἱ μο- 10
νάδες ἀδιάφοροι, ἔπε) τὰ εἰρημένα· ȣ̃τε γ̄ εἰδητικὸς ἔςαι
ἀριθμός (ȣ̀ γ̄ δύνα) ȣ̃τος εἶναι μοναδικός· πόσαι γ̄ μονάδες
ταύτην συνιςᾶσι τὴν ἰδέαν ἢ τήνδε, χαλεπὸν ϗ πλάσαι) ȣ̃θ'
ὅλως ἄλλος τίς ἐςιν ἀριθμὸς πλὴν τȣ̃ μαθηματικȣ̃. εἰ δὲ ψεύ-
δε) ἡ ὅλη ὑπόθεσις ἡ λέγȣσα πάντα ἀριθμὸν εἶναι μοναδικόν, 15
ȣ̀δὲν ἂν ἐξ αὐτῆς ἀποδεικνύοιτο. μᾶλλον δὲ τȣ̀ναντίον ἔςιν ἐκ
τῶν εἰρημένων συναγαγεῖν· εἰ γ̄ ἀληθὲς τὲ συνημμένον κατά
τε τȣ̀ς Πυθαγορείȣς ϗ κατ' αὐτὸν τὲ λέγον ὅτι εἰ πᾶς ἀριθ-
μὸς μοναδικός, ȣ̀κ ἔςιν εἰδητικὸς ἀριθμός, ἐπειδὴ ἔςιν εἰδητικὸς
ἀριθμός, ὡς ἐκεῖνοι διὰ πλειόνων ὑπεμίμνησκον, ȣ̀κ ἂν εἴη πᾶς 20
ἀριθμὸς μοναδικός. ἀλλ' ἡ μ̄ πρόσληψις ϗ παρ' Ἀριςοτέλει
τὲ ἡγȣ́μενον τιθεῖσα ϗ παρ' ἐκείνοις τὲ ἑπόμενον ἀναιρȣ̃σα πλείονος
δεῖται συςάσεως. ἓν δὲ τȣ̃το παρ' ἀμφοῖν ὁμολογεῖται, ὅτι ὁ
εἰδητικὸς ἀριθμὸς ȣ̀κ ἔςι μοναδικός, ϗ ὀεῖ τȣ́τῳ διὰ παντὸς
ἐμμένειν. εἴτε γ̄ ἔςιν ὡς ἐκεῖνοί φασιν, ȣ̀κ ἔςι μονα- 25
δικός, εἴτε μὴ ἔςιν, ὡς ȣ̃τος ἀξιοῖ, ȣ̀δ' ὅλως ἐςὶ μοναδι-
κός. ὁ ἄρα ἢ δεικνύναι θέλων αὐτὸν μοναδικὸν ἢ εὐθύνων ὡς
1081a 9. μοναδικὸν τὰς κοινὰς ὁμολογίας ȣ̀ διαφυλάττει. "ἰδέα ...
ὁποιαȣ̃ν". ϗ ταῦτα κατασκευαςικὰ τȣ̃ μὴ εἶναι μοναδικȣ̃ς
ἀριθμȣ̀ς τὰς ἰδέας, εἴπερ αἱ μονάδες ἀδιάφοροι. εἰ γάρ ἐςι,
φησίν, ἐν τῇ ἐννεάδι πρώτη ϗ μέση ϗ τελευταία τριάς, εἰ
τύχοι ὁ αὐτοάνθρωπος ȣ̀ μᾶλλον ἡ πρώτη ἔςαι τῆς ἐννεάδος
ἢ ἡ μέση ἢ ἡ τρίτη. ȣ̀ δεῖ δὲ πολλὰς ἰδέας εἶναι τȣ̃ αὐτοαν-

θρώπȣ· ὥςε ἢ ȣ̀δεμία ἢ πᾶσαι· εἰ δὲ ἀδύνατον πάσας, ȣ̀δε-
μία· ȣ̀κ ἄρα μοναδικὸς ἀριθμὸς ἡ ἰδέα, εἴπερ ἀδιάφοροι αἱ
μονάδες. ϗ ȣ̀δέν γε ἄτοπον φήσομεν ἕπε) ταῦτα· ȣ̃τε γ̄
ἄτοπά ἐςιν, ȣ̃τε εἰ εἴη ἀδύνατα, παρ' ἄλλο τι συνέβαινεν ἢ
παρὰ τὴν τῶν ὑποθέσεων μοχθηρίαν. "εἰ δὲ . . . ὑςέρας". 1081a 12.
ὅτι μ̄ εἰ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, ȣ̀δ' ὅλως εἰσίν, εὖ μοι δο-
κεῖ λαμβάνειν· ὅτι δὲ ȣ̀κ εἰσίν, ȣ̃τ' ἔδειξεν ȣ̃τ' ἂν ἐνδέχοιτο
δειχθῆναι. ἀλλ' ὅτι μ̄ ȣ̀κ εἰσιν αἱ ἰδέαι μοναδικοὶ ἀριθμοί,
τȣ̃το πάλιν μ̄ αἰτεῖ), κατασκευάσαι δὲ ȣ̀ βȣ́λε). ἔςιν ȣ̃ν ὁ
διὰ τριῶν τοιȣ̃τος· εἰ μὴ μοναδικοί εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, μο-
νάδων διαφόρων μὴ ȣ̀σῶν, ȣ̀δ' ὅλως εἰσὶν ἀριθμοί· εἰ μὴ
ἀριθμοί εἰσιν αἱ ἰδέαι, ȣ̀δ' ἂν εἶεν ὅλως. κατασκευάζει δὲ
τὲ δεύτερον συνημμένον ȣ̃τω· τὰ ὄντα ἐκ τȣ̃ ἑνὸς ϗ τῆς
ἀορίςȣ δυάδος παρ' αὐτοῖς ὑφίςα), πάντα τὰ ἐκ τȣ̃ ἑνὸς ϗ
τῆς ἀορίςȣ δυάδος ὑφιςάμενα ἀριθμοί, τὰ ὄντα ἄρα ἀριθμοί.
ϗ ὑγιαίνȣσι μ̄ ἄμφω αἱ προτάσεις ϗ τὲ συμπέρασμά ἐςιν
ἀληθές· ȣ̃τε δὲ τὲ ἓν ȣ̃τε τὴν δυάδα ȣ̃τε τὲν ἀριθμὸν κȣ̄ βȣ́-
λησιν ἐκλαμβάνει τῶν ἀνδρῶν. οἱ μ̄ γ̄ ὁρῶντες ἄμφω τὰς
συςοιχίας περὶ ἕκαςον τῶν ὄντων, τὴν μ̄ ἀμείνω παρὰ τȣ̃
ἑνὸς ἐφήκειν αὐτοῖς ἔλεγον, τὴν δὲ καταδεεςέραν παρὰ τῆς
δυάδος· ὁ δὲ συνήθως ϗ μαθηματικώτερον, μᾶλλον δέ, εἰ
χρὴ τολμήσαντα λέγειν, ἀγοραιότερον ἀκȣ́ει τῶν ὀνομάτων.
πάλιν ἐκεῖνοι τὰ ἀπογεννώμενα τοτὲ μ̄ ϗ τριάδα ἐκάλȣν διὰ
τȣ̃ τρία τὲ ἀρχοειδὲς ἐκείνων τῶν ἀριθμῶν ἐνδεικνύμενοι, τοτὲ
δὲ ἁπλῶς ἀριθμόν· ὁ δὲ ἐπὶ τὲν μοναδικὸν ἕλκει τὴν χρῆσιν
τȣ̃δε τȣ̃ ὀνόματος· ἐπεὶ ȣ̃τε τὲν κατηγορικὸν ἀποποιȣ́μεθα συλ-
λογισμὸν πάντων μάλιςα δεικνύντα ὅτι ϗ εἰσὶν αἱ ἰδέαι ϗ
ἀριθμοί εἰσι νοεροὶ ϗ ἀμερεῖς, εἴ τις τῶν ὅρων τῶν ἐν ταῖς
προτάσεσιν ἀκȣ́οι δεόντως, ȣ̃τε τὲν διὰ τριῶν, εἴ τις ἀναιρέσει τȣ̃
ἑπομένȣ τὴν μοχθηρὰν ὑπόθεσιν διελέγχοι, ἐπειδὴ μὴ δύναται
κατασκευαθῆναι τὲ ἡγȣ́μενον. εἰ τοίνυν εἰσὶν αἱ ἰδέαι, ὡς διὰ
πλειόνων ἔδειξαν οἱ θεῖοι ἄνδρες ϗ ἡμεῖς δὲ μετρίως ὑπεμνή-
σαμεν, ȣ̀κ ἂν εἶεν αἱ ἰδέαι μοναδικοὶ ἀριθμοί, τῶν μονάδων

1 ȣ̀ τῶν μονάδων *AH*. ‖ γενητικὸν *BH*. ‖ 2 ἀγαθȣ̃ καὶ om *A*. ‖ 3 τὰ μὲν . . . 4 ἀδυνατώτερα om *β*. ‖ 4 εὐφωρατώτερα *BH*: Bonitzius correxit cl. Alex. p. 724, 18. ‖ 6 ὑποτίθεται *A exponuntur β*. ‖ ἐν ἑνίοις δὲ] ἐν ἑνίοις *BH* ἐν οἷς *β*. ‖ 8 μάτην σπαθᾶται *C*: εἰκῇ λέγεται *AHβ*, marg. *C*. cf. Photius lex. p. 529, 4 σπαθᾶν: εἰκῇ λέγειν, Hesychius σπαθᾷ . . . . ἀφειδῶς ἀλαζονεύεται. idem uerbum in Demosthenis or. de Aeschine male legato § 43 perperam interpretari antiquitus solent, scribendum διὰ ταῦτ' ἐσπαθᾶτο ταῦτα [καὶ διὰ ταῦτ' ἐδημηγορεῖτο] glossemate resecto. ‖ 9 νοερῶν] νοητῶν *CH*: sed cf. p. 893 a18. 911 a35. ‖ ἐςι] *erit β*. ‖ "εἰ μὲν ȣ̃ν ... 10 μοναδικός om *AH*, εἰ μὲν ȣ̃ν ... 11 εἰρημένα om *β*. ‖ 13 συνιςῶσι *A*. ‖ 18 τε ante τȣ̀ς om *H*. ‖ 19 καὶ τὰ κατ' *A*. ‖ λέγον] λέγειν *BHβ*. ‖ εἰ om *AH*. ‖ 21 πρόληψις *A*. ‖ ἀριςοτέλεις *A*. ‖ 24 τȣ̃το *β*. ‖ 26 ἐςὶ] ἔςαι ὁ *β*. ‖ 27 ὁ] ὅτι *H*. ‖ 32 ἐνάδος *A* ἑνάδος *H*. ‖ 33 μέση ἢ ἡ *H*: μέση ἢ *Bβ*. ‖ αὐτȣ̃ ἀνθρώπȣ *H*.

1 ὥςε] *quia β*. ‖ 2 μοναδικȣ̀ς ἀριθμȣ̀ς *H*. ‖ *indifferentes β*, cf. Alex. p. 725, 17 cui has rationes Syr. debet: διάφοροι *BH*. ‖ 4 εἰ εἴη (*si sint*) *β*: εἰ ἢ *C* εἴη *AH*. ‖ ἀδύνατον *H*. ‖ 8 ἰδέαι μοναδικοὶ] aut hiet oratio necesse est aut scriptor sibi ipse contradicat. hoc unum Syrianus poterat perperam assumptum ab Aristotele dicere, non alios numeros ideas esse quam monadicos. interposuit igitur εἰ μὴ uel πλὴν ἢ ante μοναδικοί. ‖ 9 πάλιν] πάλαι *BHβ*. cf. supra a14 sqq. 901 a36. 902 b30, saepius infra. ‖ 10 miro modo syllogismum hypotheticum ternarium *β* restituit: *Si constituti ex unitatibus numeri non sunt, unitates differentes non sunt. si unitates differentes non sunt, nec omnino sunt numeri,* [*si ideae non sunt numeri,* casu intercidisse uidetur] *nec ideae omnino fuerint.* intercidisse l. 11 ante εἰ μὴ uidetur alterum conexum (cf. l. 12—15) tale fere: εἰ εἰσὶν αἱ ἰδέαι, εἰσὶν ἀριθμοί. ‖ 12 κατασκευάζειν *H*. ‖ δὲ om *Aβ*. ‖ 13 τὰ — 15 cf. Alex. p. 725, 22. ‖ 15 τὰ ὄντα ἄρα ἀρ. om *H*. ‖ 17 ȣ̃τε τὴν δυάδα om *AHβ*. ‖ 20 αὐτοῖς] αὐτὸ εἰς (*A*)*H*. *ab uno ad ipsum peruenire dicebant β*. ‖ τὸν δὲ *H*. ‖ 24 τὸ ἀχροειδὲς *B*. ‖ 26 τȣ̃ ὀνόματος τȣ̃δε *H*. ‖ ante ἐπεὶ forsitan aliquid desit. ‖ 29 δεόντως] δὲ ȣ̃τως *A*. ‖ *nec eum qui per tria β*: ȣ̃τε τῶν διὰ τριῶν *BH*. ‖ 33 ȣ̀κ εἶεν *A non erunt β*.

ἀδιαφόρων ὑσῶν· οἶμαι δὲ ὅτι ὐδὲ διαφόρων ὑποτεθεισῶν, εἰ μή τις ἕτερον μοναδικὸν σημαινόμενον ἐπινοήσειεν. εὖ δέ πως δόξειεν ἂν εἰρῆϑϑ ϗ τὸ μὴ ἐνδέχεϑϑ μήτε προτέρας μήθ' ὑςέρας αὐτὰς τῶν ἀριθμῶν *εἶναι*, εἴπερ μή εἰσιν αἱ ἰδέαι ἀριθμοί· ἄμφω [αἱ ἰδέαι ϗ οἱ ἀριθμοὶ] γὰ πρῶτα ϗ προσεχῶς ἐκ τῶν ἀρχῶν· ὥςε εἰ μὴ εἶεν ἄμφω, θάτερον ὐκ ἂν εἴη. ὐ μὴν ἀλλὰ τῷ γε παρηκολυθηκότι τοῖς θεολογικοῖς δόγμασι τῶν Πυθαγορείων ϗ τῷ Παρμενίδῃ τὸ Πλάτωνος δῆλον γέγονεν ὅτι ϗ πρὸ τῶν ἰδεῶν εἰσὶν ἀριθμοί, ὅ τε ἑνιαῖος ϗ ὁ ὐσιώδης, ϗ ὅτι ἐν πάσαις τάξεσιν ὕτοι τῶν θείων ἀναφαίνονϑ· αἱ γὰ ἰδέαι αἱ δημιουργικὰ ὕτε ἁπλῶς πρῶϑ τῶν πάντων (ὐ γὰ δὴ ϗ πρὸ τῶν γενῶν τὸ ὄντος), ἀλλὰ πρὸ τῶν ἐγκοσμίων μ̄ εἶναι λέγονϑ, ὐ μὴν τὸ πρώτιςον εἶναι ἐν τοῖς ὕσι· ϗ τὰς προσεχεῖς ἀρχὰς ὐ τὴν πρώτην ἔχυσι μονάδα ϗ τὴν πρωτίςην δυάδα, ἀφ' ὧν ὁ τριαδικὸς ϗ κρύφιος ἀριθμὸς προῆλθεν, ἀλλὰ τὰς ἐν τῇ ἁπλυςάτῃ ἐννοίᾳ τὸ δημιυργῶ, ἀφ' ὧν αἱ ἰδέαι προέθρωσκον ἴχνη σώματος ὕσαι. ϗ ταῦτα μ̄ ἑτέρας ἤρτηϑ θεωρίας· τὰ δὲ νῦν πάντα ὑπὲρ ἡμῶν μ̄ εἴρηϑ, εἰ δειχθεῖεν ὕσαι αἱ ἰδέαι, ὑπὲρ δὲ Ἀριςοτέλυς, εἰ πᾶς ἀριθμὸς εἴη μοναδικὸς
1081a 17. ἀδιαφόρων ὐσῶν τῶν μονάδων. "εἰ δὲ ... ἄλλως". ὅτι μ̄ εἰ ἀσύμβλητοι ἀλλήλαις αἱ μονάδες πᾶσαι αἵ τε ἐν τῷ αὐτῷ ἀριθμῷ ϗ αἱ ἐν ἑτέροις, ϗ πρὸς τύτῳ πᾶς ἀριθμὸς μοναδικὸς εἴη, ὕτε ὁ μαθηματικὸς ἔςαι ἀριθμὸς ὕτε ὁ εἰδητικός, ἀκολυθως λαμβάνει· ὅ τε γὰ μαθηματικὸς *μοναδικὸς* μέν, ἀλλ' ἐξ ἀδιαφόρων μονάδων (ὕτω γὰ τὰς διαιρέσεις ϗ τὰς συνθέσεις ϗ τὺς πολλαπλασιασμὺς ϗ πάσας ἐπ' αὐτὸ τὰς χέσεις ἐπινοῦμεν)· ὅ τε εἰδητικὸς ὐ δύναϑ ἐκ μονάδων ἀσυμβλήτων ἑαυταῖς συνεςάναι, κ̄ μ̄ τἀληθές, ὅτι μηδ' ὅλως μοναδικός ἐςι, κατ' αὐτὸν δέ, ὅτι δεῖ μ̄ ἐκ τῶν ἀρχῶν ἅμα γεννᾶϑϑ τὰς δύο μονάδας τῆς δυάδος ϗ τὰς γ̄ τῆς τριάδος, τὰ δὲ ἐκ τῶν ἀρχῶν ἅμα γεννώμενα, φασίν, ἀδιάφορά ἐςιν. ἐφ' οἷς μέμνηϑ ϗ ῥημάτων τὸ Πλάτωνος δεικνὺς ὅτι κατ' ἐκεῖνον ἕκαςος τῶν ἀριθμῶν ἅμα πᾶς γεννᾶϑ ὑπὸ τῶν ἀρχῶν ἐξ ἀνίσων ἰσαϑείς. ὁ μ̄ ὂν Πλάτων ἠνίττετο διὰ τύτων ὅτι ἕτερα μέν ἐςιν ἀλλήλων ϗ ἄνισα τὰ θεῖα διὰ τὴν δυάδα ϗ τὴν ἐκ τῆς δυάδος πρόοδον, τὰ αὐτὰ δὲ ϗ ἴσα διὰ τὴν μονάδα ϗ τὴν ἐκ τῆς μονάδος ἐπιςροφήν, εἴτε ϗ μονὴν πρὸ τῆς προόδυ ϗ τῆς ἐπιςροφῆς φίλον τῷ προσαγορεύειν. ὕτος δὲ ὡς πάλαι μ̄ ἀνίσων ὄντων τῶν ἀριθμῶν ἢ τῶν μονάδων τῶν ἐν τοῖς ἀριθμοῖς, νυνὶ δὲ ἰσαϑέντων ἢ ἰσαϑεισῶν μνήμην πεποίηϑ. χρὴ δὲ τὸ μ̄ μοναδικὸν ἐκεῖθεν ἐξορίζειν, τὸ δὲ ἄνισον ϗ ἴσον ϗ ταὐτὸν ϗ ἕτερον ϗ μένον ϗ πρόϊὸν ἅμα ϗ ἐν ἑνὶ παρ' αὐτοῖς θεωρεῖν. ϗ ταῦτα μ̄ ἕπεται ταῖς ὑποθέσεσι· πόθεν δὲ ὅτι πάντες οἱ ἀριθμοὶ μοναδικοί; τὸτο γὰ ἀεὶ μ̄ διατελεῖ λαμβάνων, ἀποδεικνύει δὲ ὐδαμῶς. "ἔπειτα ... ὕςερον". ϗ τὸτο 1081a 25.
πρὸς ἀπόδειξιν τὸ μὴ εἶναι ἀσυμβλήτυς τὰς ἐν τῷ εἰδητικῷ ἀριθμῷ μονάδας· εἰ γάρ εἰσιν ἀσύμβλητοι αἱ ἐν τῇ δυάδι δύο μονάδες, ἡ μέν ἐςιν αὐτῶν προτέρα ἡ δὲ δευτέρα· ὐ γὰ δὴ ἅμα διάφοροι ὕσαι ἀπὸ τῶν ἀρχῶν προΐασιν. ἀλλ' εἰ τὸτο, ϗ ἡ αὐτοδυὰς προτέρα μ̄ ἔςαι τῆς νεωτέρας, νεωτέρα δὲ τῆς προτέρας. μῖξις γάρ ἐςι τῶν δύο μονάδων· ὥσπερ γὰ τὸ οἰνόμελι τὸ μ̄ οἶνυ γλυκύτερον τὸ δὲ μέλιτος ἀγλευκέςερον, ὕτω ϗ ἡ δυὰς ὑςέρα μ̄ τὸ προτέρυ μέρυς αὐτῆς, πρεσβυτέρα δὲ τὸ δευτέρυ. ὅτι δὲ παίζοντός ἐςι μᾶλλον ϗ ἀπάγοντος ταῦτα ἢ σπυδάζοντος ϗ πραγματειώδη ποιυμένυ τὴν ἐξήγησιν τὸ δόγματος, οἶμαι συνορᾶν τὺς ἀγχινυςέρυς. "ἔτι 1081a 29.
... τύτυς". τὸ μ̄ λεγόμενον τοιῦτόν ἐςιν, ὅτι μ̄ τὸ ἓν τὸ ἀρχηγικὸν ϗ γεννητικὸν τῶν ὅλων ἐὰν τὴν προτέραν μονάδα τῆς δυάδος ἐπινοήσωμεν, ἔςαι δυὰς ἔκ τε τὸ ἑνὸς τὸ ἀρχηγικὸ ϗ τῆς μονάδος ταύτης, πρὶν γένηϑ δυάς. ϗ πάλιν ἐὰν τὰς δύο μονάδας τῆς δυάδος τῷ πρώτῳ ἑνὶ συντάξωμεν, ἔςαι τριὰς πρὶν ὑποςῇ τὰ τρία· ϗ ἀεὶ ἡ ποσότης τῶν μονάδων προλήψεϑ τὺς οἰκείυς ἀριθμύς. ταῦτα δὲ ὅτι παίζοντός ἐςι μᾶλλον ἢ σπυδαιολογυμένυ, πολλάκις ἐνεδειξάμεθα· πράγμασι γὰ ἀμερίςοις ϗ ἀπόσοις ϗ κ̄ πάντα ἀδιαιρέτοις τοιῦτον μερισμὸν ϗ ὑλικὴν ἐπιφέρειν διαίρεσιν, σύγχυσίν τε αὐτῶν ϗ μετάθεσιν ἐργάζεϑϑ ϗ ἐκ τῶν πρώτων ϗ τῶν δευτέρων ϗ πάντων τῶν ἐφεξῆς ἕν τι κατ' ἐπισύνθεσιν ὑφιςάνειν ϗ ἀπογεννᾶν παντάπασίν ἐςιν ἀνδρὸς μὴ προσποιυμένυ τὴν τῶν ὄντως ὄντων ἀληθῆ θεωρίαν. διὸ ϗ αὐτὸς ἐπισημαίνεϑ ϗ ὅτι παρὰ τὰ δοκῦντα ἐκείνοις φθέγγεϑ δι' ὧν [ταῦτα] ἐπιφέρει· "ὐδεὶς ... ἐφε- 1081a 35.
ξῆς". ὁμολογεῖ ϗ αὐτὸς μηδένα τὰς ἀσυμβλήτυς ταύτας

2 μοναδικῶ β. ‖ 3 *non posse priores ipsas esse nec posteriores materias, si quidem* — β. ‖ 4 εἶναι ante εἴπερ inserui. ‖ 5 αἱ ἰδέαι καὶ οἱ ἀριθμοὶ glossema seclusi. fuit cui γὰρ post ἄμφω traiciendum uideretur, ut fecit β. ‖ γὰρ τὰ ποῶτα *AH*. ‖ 8 τῶ παρμενίδυ *A*. ‖ 10 καὶ ἔτι ἐν *H*. ‖ πράξεσιν *H*. ‖ 13 τὰς deleuerim. ‖ 16 αἱ om *H*. ‖ πρόσθωσκον *C* προσθρώσκυσιν *AH resiliunt* β. ‖ 17 σώματος labem traxit. ‖ εἴρηται *H*. ‖ 21 μὲν εἰ β: μὲν εἰ μὲν εἰ *C* μὲν εἰ μὲν αἱ *AH*, μὲν εἰ μὲν edidit Brandisius. ‖ 22 αὐτῷ ἀριθμῷ *CH*: ἀριθμῷ *A*β, αὐτοαριθμῷ Brandisius edidit perperam. ‖ καὶ αἱ β: καὶ *BH*. ‖ 23 ὁ ante εἰδητικὸς om *H*. ‖ 24 λαμβάνειν (*A*)*H*. ‖ μοναδικὸς ex coni. interposui. ‖ 25 *sed ex differentibus* β. ‖ 27 σχέσει *H*. ‖ μονάδων συμβλητῶν *BH*β: correxi cl. Alex. p. 726, 17. ‖ 28 τὸ ἀληθὲς *AH*. ‖ 30 καὶ τὰς τῶν τῆς *C* ut edidit Brandisius: καὶ τὰς τῆς *H*β καὶ τῆς *A*. ‖ 31 φασίν] φησίν *BH*β. cf. Alex. p. 727, 13 ὡς καὶ αὐτοί φασιν. ‖ 32 κατ'] καὶ κατ' *BH*β. correxi cl. Alex. p. 727, 28. ‖ 36 δυάδος] μονάδος *BH*β: emendauit Bonitzius. ‖ τὰ αὐτὰ . . . b1 πρόοδυ om *H*.

1 ἐκ] fort. ἐπὶ, an delendum? ‖ *mansionem* β: μόνην *B*. correxi cum Bonitzio. ‖ 3 ἢ] καὶ *H*. ‖ 6 ἐν ἑνὶ *CH*: ἑνὶ *A*β. ‖ 14 τῆς νεωτέρας] fort. add. μονάδος ex Alex. p. 728, 5. ‖ 15 μῖξις *BH*. ‖ 17 προτέρυ] πρώτυ Alex. p. 728, 7 hinc corrigendus. ‖ ἑαυτῆς *B*β. ‖ πρεσβύτερον *A*. ‖ 18 *et subducentis* β. fort. παράγοντος. ‖ 21 τὸ post ἓν om *H*. ‖ 23 τῶ post ἑνὸς inserui. ‖ 25 τῆς δεκάδος *A*β. ‖ τῷ] ὡς *H*. ‖ ἑνὶ τάξωμεν *H*. ‖ 26 ὑποςῇ *C*: ὑποςῆναι *AH*. ‖ μονάδων . . . 28 γὰρ om *H*. ‖ 30 ἐπιφέρει *H*. ‖ 31 καὶ τῶν *CH*β: καὶ ἐκ τῶν *A*. ‖ 33 ὄντως om *H*. ‖ 34 καὶ ante ὅτι om β. ‖ 35 φθέγγεται *C*: φαίνεται *AH*β. ‖ ταῦτα inclusi. ‖ 36 τὰς ξυμβλήτυς *H*.

μονάδας παραδεδωκέναι· καὶ γὰρ κατὰ τὰς ἐκείνων ἀρχὰς ὑπάρχειν, φησίν, εὔλογον, κατ' ἀλήθειαν δὲ ἀδύνατον. ὅτι δὲ ταῖς ἐκείνων ὑποθέσεσιν ἀκολούθως λαμβάνουσι, πειρᾶται κατασκευάζειν τοῦτον τὸν τρόπον· εἰ ἔστιν ἓν πρῶτον κατ' αὐτοὺς καὶ πρώτη μονὰς καὶ δυὰς πρώτη, πᾶσα ἀνάγκη καὶ δεύτερον ἓν εἶναι καὶ μονάδα δευτέραν καὶ δυάδα δευτέραν· ὅπου γὰρ τὰ πρῶτα, ἐκεῖ καὶ τὰ δεύτερα, καὶ ὅπου ταῦτα, ἐκεῖ καὶ τρίτα, καὶ ὅτως ἐφεξῆς. ἀλλὰ μὴν εἰ ταῦτα ὅτως ἔχει, ἀνάγκη καὶ τὰς μονάδας διαφόρους ἀλλήλαις εἶναι καὶ ἀσυμβλήτους· ἄλλη γὰρ ἡ τρίτη παρὰ τὴν δευτέραν καὶ ἡ τετάρτη παρὰ τὴν τρίτην. καὶ δῆλος ὁ τύπος τῆς παιδιᾶς· εἰ μὴ γὰρ μονάδας ἐκάλει τῶν νοητῶν οὐσιῶν ἑκάστας ἢ ἀριθμοὺς οἰκείους αὐταῖς, οὐδὲν ἦν ἄτοπον τάξεως ὅσης ἐν τοῖς θείοις πράγμασι τὰ μὴ εἶναι πρῶτα, τὰ δὲ τούτοις ἐφεξῆς ὑφεσάναι λέγειν. ἐπειδὴ δὲ μαθηματικὰς τῷ ὑποκειμένῳ μονάδας ἐπισκεπτόμενος πάλιν αὐτῶν τὸ ἴδιον ἀναιρεῖ, ἀσυμβλήτους ὑποτιθέμενος εἶναι, καὶ περὶ τὰ θεῖα διὰ τῶν ὑποθέσεων τούτων ἀθύρει, πῶς ἂν ἄν τις παιδιὰν μᾶλλον ἢ σπουδὴν ὑπο-
1081b 6. νοήσειεν εἶναι τὸ γιγνόμενον; "ἅμα ... ἀδύνατον". τοῦτο διὰ μέσου προσέρριψεν ὡς καὶ περὶ τὰς ἀρχὰς ἀνακολούθως αὐτῶν διαγιγνομένων· οὐ γὰρ οἴεται δυνατὸν εἶναι καὶ μονάδα καὶ δυάδα τὴν πρώτην ἔχειν τάξιν μετὰ τὸ ἕν· εἰ γὰρ ἡ μονὰς πρώτη ἐστί, κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ δυάς. εἴρηται δὲ ἐν τοῖς προάγουσιν ὅπως ἑκατέραν τῶν ἀρχῶν πρώτην ἔλεγον οἱ ἄνδρες, ὡς ἐξηγουμένην
1081b 8. καὶ ἄρχουσαν τῆς ἑαυτῆ προσφόρου συστοιχίας. "οἱ δὲ ... οὐκέτι". τοῦτό ἐστιν ὃ ἔλεγεν ἔπεσι μὴ αὐτοῖς ἐξ ἀνάγκης, οὐ μέντοι λέγεσι ὑπ' αὐτῶν. καὶ ὅτι μὴ οὐ λέγει, καὶ παρ' αὐτοῦ ληπτέον· ὅτι δὲ οὐδὲ ἔπεσι, συνίδοι τις ἂν ἐπιστήσας. ὅπου γὰρ τῷ πρώτῳ τὸ δεύτερον, τῷ δευτέρῳ τὸ τρίτον καὶ τούτῳ τὰ ἐφεξῆς ἀκολουθεῖ, συντέτακται πάντα ἀλλήλοις καὶ ὁμοφυῆ ἐστι, καὶ ἡ τάξις ὡς ἐν ὁμουσίοις τὰ πρεσβεῖα παρέχει τοῖς πρώτοις· ταῖς δὲ ἀρχαῖς τῶν ὅλων οὐδὲν ἰσάξιον· ἄλλο γὰρ ἀρχὴ καὶ ἄλλο τὸ ἐκ τῆς ἀρχῆς· ὥστε ὀρθῶς πρῶτον ἓν καὶ πρώτην μονάδα καὶ πρώτην δυάδα ἐν ταῖς ἀρχαῖς ὑποθέμενοι τῇ τε μιᾷ καὶ ταῖς δύο δεύτερα καὶ τρίτα τοιαῦτα οὐκέτι παραλαμβάνειν ἠξίουν. ἀλλ' εἴ ποτε καὶ τοιοῦτόν τι λέγοιεν, τὰ τούτοις ἀνάλογον μὴ προ-

ελθυθότα, τῶν δὲ μέσων καὶ τῶν τελευταίων οὐσιῶν προσεχῶς αἴτια παραδιδόντες φαίνοντο, ἅπερ οὐκ ἐπ' ἄπειρον προσαγορεύειν, ἀλλ' ἐφ' ὅσον ἡ κατὰ τὴν πρόοδον ὕφεσις τῶν πραγμάτων, τὴν ἐξαλλαγὴν τῶν ὀνομάτων ποιῆσαι δεδύνηνται, ὡς τελευταίας ἀρχὰς εἶναι τὰς ἐν τῇ φύσει τῶν αἰσθητῶν καὶ τῆς ὕλης ὑποστατικάς, εἴδωλα ὅσας τῶν πρωτίστων ἀρχῶν τὰ ἔσχατα. "φανερὸν ... ἐχομένων". οὐ δύναται, φησίν, εἶναι 1081b 10.
ὁ εἰδητικὸς ἀριθμός, τουτέστιν ἡ αὐτοδυὰς καὶ ἡ αὐτοτριὰς ἀσυμβλήτων ὑποτεθεισῶν τῶν μονάδων· ὡς ἔπεται τὸ μὴ εἶναι τὸν ἀριθμὸν τὸν εἰδητικόν. *ἀλλὰ* τοῦτο μὴ ἀφῆκεν· ἐπήνεγκε δὲ ὅτι κἄν τε συμβλητοὶ ὦσι κἄν τε ἀσύμβλητοι αἱ μονάδες, δεῖ μὴ εἶναι τὴν αὐτοτριάδα τῷ πάντα μὴ ἀριθμὸν κατὰ πρόθεσιν ἀριθμεῖσθαι καὶ ἀποτελεῖσθαι οἷον τὴν δυάδα προσλαβοῦσαν μονάδα τριάδα γίγνεσθαι, καὶ διὰ τοῦτο πολλὰς εἶναι δυάδας ἔν τε τῇ ἑξάδι καὶ ὀκτάδι καὶ δωδεκάδι, μόριόν τε εἶναι δυάδα τριάδος μὴ τὸ δίμοιρον, τετράδος δὲ τὸ ἥμισυ· τοῦ δὲ εἰδητικοῦ ἀριθμοῦ μηδὲν εἶναι τοιοῦτον· (γεννᾶται γὰρ παρ' αὐτοῖς ἐκ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος. καὶ ἕκαστος αὐτῶν εἷς ἐστι καὶ εἷς οὐδεὶς ἄλλου μόριον)· τὰ μὴ ὑπάρχοντα τῷ εἰδητικῷ λέγων ὀρθῶς, οὐκ ὀρθῶς δὲ προσειληφὼς ὅτι πᾶς ἀριθμὸς μετρεῖται κατὰ πρόθεσιν καὶ ἀποτελεῖται· τὰ γὰρ τοῦ μοναδικοῦ ἀριθμοῦ ἴδια μεταφέρειν οὐκ ἐχρῆν ἐπὶ πάντας ἀριθμούς. οὐδὲν οὖν ἄλλο ἐστὶ καὶ ἐν τούτοις τὸ συναγόμενον ἢ ὅτι μοναδικὸν εἶναι ἀριθμὸν τὴν αὐτοδυάδα τῶν ἀδυνάτων ἐστίν, ὃ πρὸ παντὸς λόγου παρὰ πᾶσιν ὡς εἰπεῖν συγκεχώρηται. "ἀλλ' ἐκ ... τετράς". τοῦτο ὡς ἐνιστάμενος 1081b 21.
πρὸς ἑαυτὸν λέγει. ἀλλ' ἐκεῖνοι, φησίν, ἐκ τῆς αὐτοδυάδος (ταύτην γὰρ πρώτην καλεῖ δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος, ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτὰς οὐδὲ κατὰ πρόθεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης τὴν αὐτοδυάδα καὶ ὅτως ἀποτεκούσης τὴν τετράδα· ὥστε οὐκ ἂν τὸν ἐκεῖ ἀριθμὸν κατὰ πρόθεσιν ἀποτελοῖεν· ταῦτα δὲ ἑαυτῷ ὥσπερ ἀντιτιθεὶς ὁμολογεῖ μέν τι τῶν ἀληθῶν, ὅτι οὐ κατὰ πρόθεσιν ἐποίουν τὸν ἐκεῖ ἀριθμόν, καὶ ὅτι δυοποιός ἐστι καὶ γεννητικὴ πλήθους καὶ πολλαπλασιασμῶν αἰτία τῶν ἀρχῶν ἡ ἑτέρα ἡ πάντα εἰς ἑαυτὰ ἐπιστρέψουσα τὰ θεῖα καὶ εἰς

1 καὶ γὰρ] immo καίτοι. ‖ μὲν om *H*. ‖ 1—10 cf. Alex. p. 729, 16. ‖ 5 *et post binarius necesse est* (πᾶσα om.) *β*. ‖ 6 καὶ δυάδα δευτέραν om *Aβ*. ‖ 7 τρία *AHβ*. ‖ 12 οἰκεῖον *H*. ‖ 14 τῶν ποκειμένω sic *H*, τῶν ὑποκειμένων (*A*). ‖ 18 an τὸ λεγόμενον? ‖ Τοῦτο *Hβ*: τοῦτο δὲ *B*. ‖ 19 fort. παρέρριψεν, cf. Alex. p. 729, 30 διὰ μέσου παρέρριπται. ‖ ὡς καὶ ... 20 διαγ. om *β*. ‖ ἀκολούθως *BH*: ex Alex. p. 729, 31 em. Bonitzius. ‖ 20 διαγινομένων *B*. ‖ 24 ἑαυτῆς (*A*)*H*. ‖ προσφόρου *H*. ‖ συστοιχείας *B*. ‖ 25 ἐξ ἀνάγκης om *β*. ‖ 28 τὸ δεύτερον om *H*. ‖ 31 τῶν ἄλλων *AHβ*. ‖32 *primum unum β*: πρῶτον μὲν *B* ἄον μὲν *H*. cf. a4. ‖ 33 ὑποθέμενος *H*. ‖ καὶ τοῖς δύο *Bβ*. ad uerba ἐν ταῖς ἀρχαῖς ὑποθ. pertinet, non, ut *β* putabat, ad παραλαμβάνειν. ‖ 34 παραλαμβάνει *H*.

4 ἐξαναλαγὴν *H*. ‖ ὀνομάτων] ὄντων *BHβ*. ‖ δεδύνηται *BHβ*. ‖ ὡς] ὥστε *H*. ‖ 6 ὑποστατικὰ *H*. ‖ 9 ὑποτεθειτῶν μονάδων *H*. ‖ ἕπεται μὴ libri: τὸ addidi ex Alex. p. 730, 12. ‖ 10 εἰδητικὸν om *AH*. μοναδικὸν *β*. ‖ ἀλλὰ ex Alex. adiecit Bonitzius. ‖ ἐπήγαγεν δὲ *H*. ‖ 12 τὴν om *H*. ‖ 12. 20. 33 πρόθεσιν *H*. ‖ 14 γίνεσθαι *B* γενέσθαι Alex. ‖ 15 εἶναι τὴν δυάδα Alex. ‖ 16 τόδέμοιρον sic *H*. ‖ 17 εἶναί τι τοιοῦτον *BH*: τι deleui cum *β* cl. Alex. ‖ γεννᾷ (*A*). ‖ 18 καὶ οὐδεὶς Alex., ut conieceram. sed poterat esse cur Syr. εἷς adiceret. ‖ *alterius β* ἀλλ' οὐ *BH*: em. Bonitzius cl. Alex. ‖ 20 προειληφὼς *BH*. *praeassumens β*, qui ni fallor *praesumens* recte emendauerat. ‖ fort. μετρεῖταί τε καὶ. ‖ 22 ἄλλό ἐστι *H*. ‖ 25—31 ex Alex. p. 730, 24 transcripta. ‖ 25 τοῦτο δὲ ὡς *AH*. ‖ 26 τῆς αὐτοῦ δυάδος *H*. ‖ 28 τὴν τριάδα (*A*)*H*. ‖ 30 διπλασάσης *H*. ‖ 31 ἀποτελεῖεν *H conflauerunt β*. ‖ 32 ἀντιθεὶς *H*. ‖ 33 ἐκεῖ om *AHβ*. ‖ 34 γεννητικὴ *BH*. ‖ 35 εἰς ἀπογέννησιν] *ad absolutionem et generationem β*.

ἀπογέννησιν δευτέρων καὶ τρίτων εἰδῶν διεγείρασα. λύει δὲ τὴν ἔ μισοπλαῶς μὲν οἶε γοργῶς, παντὶ δὲ δῆλον ὅτι παραλογιζι-
1081b 22. κῶς· "δύο δυάδες ... ὡρισμένην". εἰ καὶ μὴ κατὰ πρόθεσιν, φησίν, αἱρεῖται τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' ἓν ἐν τῇ τετράδι δύο δυάδας ὁμολογήσουσιν εἶναι παρὰ τὴν αὐτοδυάδα· εἰ δὲ τοῦτο φεύγοιεν, πάλιν ὁμολογήσουσι μόριον εἶναι τὴν αὐτοδυάδα τῆς αὐτοτετράδος, καὶ κατὰ πρόθεσιν ἔσται ὁ ἀριθμὸς ἑτέρας δυάδος τῇ αὐτοδυάδι προσεθείσης, καὶ οὕτως ἀποτελεσάσης τὴν τετράδα· εἰ δὲ ἡ τετρὰς ἔσται ἐκ τῆς αὐτοδυάδος καὶ ἄλλης δυάδος, κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ ἡ δυὰς ὑποστήσεται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόντε τὴν ἑτέραν ἀρχὴν ἀόριστον εἶναι δυάδα· τὸ γὰρ γεννώμενον ὑπὸ τῆς ἀορίστου δυάδος δυὰς ὤφειλεν εἶναι· νῦν δὲ οὐ δυὰς γεννᾶται ἀλλὰ μονάς, ἥτις σὺν τῷ ἑνὶ τὴν ὡρισμένην ἀποτελεῖ δυάδα. ἐὰν ὦν, φησί, μὴ δέξωνται ἐν τῇ αὐτοτετράδι δύο εἶναι δυάδας παρὰ τὴν αὐτοδυάδα, ἕπεται αὐτοῖς ταῦτα πάντα, κατὰ πρόθεσίν τε εἶναι τὸν ἀριθμὸν καὶ ἀνῃρῆσθαι τὴν ἑτέραν τῶν ἀρχῶν. ταυτὶ δὲ ὅτι προσλαμβάνων ἀεὶ μοναδικὸν εἶναι τὸν τῶν εἰδῶν ἀριθ-
1081b 27. μὸν οὕτω συνάγει τὰ ἄτοπα, πολλάκις ὑπεμνήσαμεν. "ἔτι ... ἀδύνατον". ἔταττον μὲν οἱ ἄνδρες μετὰ τὸν νοερὸν ἀριθμὸν καὶ τὸν ψυχικὸν καὶ τὸν μαθηματικὸν καὶ τὸν φυσικὸν ἀριθμόν, οὐ μὴν μοναδικοὺς αὐτοὺς ἔλεγον οὐδὲ προτέρας καὶ ὑστέρας μονάδας ἐκάλουν ὡς ὑποβεβλημένας αὐτῶν τῇ ποσότητι. ἄποσοι γὰρ ἦσαν παρ' αὐτοῖς ἅπαντες πλὴν τοῦ μαθηματικοῦ· τριάδας δὲ καὶ πεμπάδας καὶ δεκάδας ἐν αὐτοῖς ἐθεώρων κατὰ τὰς δυνάμεις αὐτῶν καὶ τὰς οἰκειώσεις τὰς πρὸς τοὺς θείους ἀριθμούς. πεμπάδα γὰρ λέγοντες εἰ τύχοι τὴν ἐν ἡμῖν δικαιοσύνην, οὐκ ἐκ πέντε μονάδων αὐτὴν ἔλεγον συγκεῖσθαι δευτέρων μὲν τῶν ἐν νῷ, πρεσβυτέρων δὲ τῶν ἐν φύσει, ἀλλὰ κατ' ἄλλας ἐπιβολὰς τὸ μὲν τῆς πεμπάδος εἶδος συνέταττον τῷ τῆς δικαιοσύνης εἴδει, τὸ δὲ τῆς ἑπτάδος τῷ τοῦ καιροῦ, τὸ δὲ τῆς ἑξάδος αὐτό τε καὶ τὸν ἀπ' αὐτοῦ κύβον τῷ τῆς ψυχῆς· ὃ κατὰ βύθλησιν τὴν ἐκείνων θεωρῆσαι τῷ νῷ τις δυνηθεὶς οὔτε πλασματώδη οὔτε ἀδύνατα, πάντων δὲ τῶν ὅπως ποτὲ ὄντων ὑπολήψεται πρὸς τὸ εἶναι δυνατώτατα· διὸ καὶ αὐτός φησιν ὅτι ἀνάγκη μὲν εἶναι προτέρας καὶ δευτέρας τριάδας καὶ δυάδας, εἴπερ ἐκ τούτων ἀρχῶν ἐπιτελοῦνται· ἀδυνάτου δὲ ὄντος τοῦ ἑπομένου ἀναιρεῖται βύθλεται καὶ τὰς ἀρχάς. ἡμεῖς δὲ τὸ μὲν συνεισιέναι ταῖς ἀρχαῖς ταύταις πολλὰς ἀριθμῶν τάξεις προσιέμεθα, τὸ δὲ ἀδύνατον τῆς τῶν διαφόρων ἀριθμῶν ὑπάρξεως οὔτε εἴδομεν συναγόμενον οὔτε ἐγχωρεῖ ποτε θεάσασθαι. τό τε γὰρ ἀληθὲς ἀνέλεγκτον καὶ τὸ ψεῦδος ἀναπόδεικτον. "εἰ δ' αἱ ... δυοποιός". 1081b 35.
δείξας ὅτι εἰ πᾶσαι ἀδιάφοροι αἱ μονάδες, οὐκ ἔσται ὁ εἰδητικὸς ἀριθμός, ὑποκειμένου τοῦ πάντα ἀριθμὸν εἶναι μοναδικόν, καὶ εἰ πᾶσαι διάφοροι, ὅτι οὔτε ὁ μαθηματικὸς ἔσται οὔτε ὁ εἰδητικός, εἴπερ πᾶς ἀριθμὸς μοναδικός, νῦν ἐπὶ τὸ λειπόμενον ἔρχεται τῆς διαιρέσεως καὶ δείκνυσιν ὅτι κἂν αἱ μὲν ἀδιάφοροι τῶν μονάδων ὑποτεθῶσιν ὅσαι τοῦ αὐτοῦ εἰσιν ἀριθμοῦ, αἱ δὲ διάφοροι, ὅσαι ἑτέρου καὶ ἑτέρου συμπληροῦσιν, οὐδ' ὡς ἔσται ὁ εἰδητικὸς ἀριθμός, ὑποκειμένου πάλιν τοῦ πάντα ἀριθμὸν εἶναι μοναδικόν· ταύτης γὰρ τῆς ὑποθέσεως ψευδοῦς οὔσης καὶ καταγελάσου παρὰ τοῖς τὰκείνων ἐπεσκεμμένοις ἀποφῆναι οὐ βύθλεται, δι' ἧς οὐ χαλεπῶς πολλὰ καὶ ἄτοπα συνάγειν δύναται συμπεράσματα, ὅμοιον ὡς εἰ καὶ τὸν αὐτοάνθρωπον καὶ τὸ αὐτοζῷον τὸ μὲν ἐκ ψυχῆς ᾤετο εἶναι καὶ σώματος, τὸν δὲ ἐκ τοίας ψυχῆς καὶ τοίου σώματος μετὰ τοῦ καὶ γελαστικὸν εἶναι· ὧν ποῖα ἂν εὑρεθείη πρὸς γέλωτα μᾶλλον εὐδοκιμώτερα; τὰ μὲν οὖν πολλὰ τῶν ἀναγραφέντων, δι' ὧν πολλὰς μὲν ποιεῖ πεντάδας πολλὰς δὲ δεκάδας, ἀφείσθω· πάντως γὰρ ἐξ ὧν ἤδη προείπομέν ἐστι πρόδηλα· τὸ δὲ πρὸς τῷ τέλει ἐνθέν, ὅτι "ἡ ἀόριστος δυὰς λαβοῦσα τὴν ὡρισμένην δυάδα δύο δυάδας ἐποίησε, τοῦ γὰρ ληφθέντος δυοποιὸς ἦν", εἴληπται μὲν ἐκ τῶν εἰωθότων παρ' αὐτοῖς λέγεσθαι, χραίνεται δὲ μεταξὺ σοφίσματι ὡς ὑποκείμενον **· νοεῖται δὲ παρὰ τοῖς πρεσβυτέροις αὐτοῦ φιλοσόφοις τὸ τὴν δυάδα τὴν ἀόριστον κινητικὴν οὖσαν ἀρχὴν πάντα τὰ εἴδη γονίμου πληροῦν δυνάμεως καὶ πληθύνειν καὶ προάγειν εἰς ἀπογέννησιν τῶν δευτέρων καὶ τρίτων αὐλίων εἰδῶν· δυοποιὸς δὲ εἴρηται παρ' ὅσον ἐν τῇ προσθήκῃ τὸ μὲν πλῆθος ἐπιδίδωσιν ὥσπερ διπλασιαζόμενον, ἡ δὲ δύναμις ὑφίησιν, ἅμα δὲ ὅτι καὶ ἡ τοῦ μαθηματικοῦ ἀριθμοῦ ἀρχὴ πάντας τοὺς περιττοὺς καὶ τοὺς ἀρτίους διπλασιάζουσα τὸν

1 διαγείρασα *B*. ‖ 2 sine dubio scribendum ὡς Ἀλέξανδρος μέν, cf. Alex. p. 730, 31. ‖ 3—17 ex Alex. p. 731, 4 hausta. ‖ 5 τριάδι (*A*), αὐτοτετράδι Alex. idemque sic infra constanter. ‖ 6 φύγοιεν (*A*)*H*. ‖ τὴν αὐτοδυάδα *C*. ‖ 7 αὐτοτριάδος *β*. ‖ 9 εἰ δὲ ἡ Alex. ἡ δὲ *BHβ*: corr. Bonitzius. ‖ ἔσται] ἐστιν Alex. ‖ καὶ ἄλλης δυάδος om *AHβ*. ‖ 11 τὴν ante ἑτέραν om *AH*. ‖ 15 εἶναι om *H*. ‖ 17 ἀνῃρεῖσθαι *H*. ‖ ταυτὶ *H*: ταῦτα *B*. ‖ 18 προλαμβάνων *BH* *quod praeaccipiat β*. cf. p. 905 b20. ‖ εἰδῶν ὁρισμὸν *AH*. ‖ 19 συνάγειν *BHβ*: em. Bonitzius et Brandisius. ‖ 21 καὶ τὴν ψυχικὴν *H*. ‖ 25 πεμπτάδας *C* πεντάδας *AH*. ‖ ἐν αὐτοῖς] nonne ἐν τοῖς ὅσιν? ‖ 27 πεμπάδα *AH* ut l. 30: πεμπτάδα *C*. ‖ γὰρ] δὲ *H*. ‖ 28 ἐκ] ἐν *H*. ‖ 29 δευτέρων *C*: δευτέραν *AHβ*. ‖ πρεσβυτέρων *C*(?)*H*: πρεσβυτέραν (*A*)*β*. ‖ ἐν τῇ φύσει *H*. ‖ 30 καὶ τ' ἄλλας *H*. ‖ *occursus β* ἐπιβολὰς *BH*. ‖ πεντάδος an πεμπτάδος *C* non liquet. ‖ 31 τῷ τοῦ] τὸ τοῦ *H*. ‖ 32 αὐτό τε om *β* sciens, puto. ‖ 33 ὃ] *Quae β*. ‖ 34 πλατώδη (*A*)*H*. ‖ ὁπώς ποτε *H*. ‖ 35 πρὸς τῷ εἶναι δυνατωτάτῳ *A*.

2 ὄντως *H*. ‖ 3 *eo quod* (τῷ μὲν) *his principiis assentimus β*. ‖ συνιέναι (*A*)*H*. ‖ 6 cf. ad p. 878 b25. ‖ 8 εἰ om *AH*. ‖ 12 μὲν διάφοροι *H*. ‖ 13 εἰσὶ τοῦ ἀριθμοῦ *A*. ‖ 14 οὐδ' ὡς *BH*. ‖ 16 ψευδοῦς οὔσης *H* *falsa ex necessitate β*. ‖ 19 *per se hominem β* τὸν αὐτὸν ἄνθρωπον *BH*: correxi cum Bonitzio. ‖ 20 τὸ δὲ *BH*. ‖ 21 ποία *BH*. ‖ 22 εὐδοκιμώτεροον *H*. ‖ 24 ἀφείσθω] *demittat β*. ‖ πάντως δὲ ἐξ *AHβ*. ‖ 25 προσδυοποιὸς *AH* δυοποιὸς *β* scilicet omissis τῷ τέλει . . . ληφθέντος. ‖ 27 εἴληται *H*. ‖ παρ' αὐτοῦ *B* (h. e. *C*). sed cf. Alex. p. 734, 11. ‖ 28 σοφίσματα *H* σόφισμά τι (*interpolluitur autem sophisma quoddam ut imminens.*) *β*. ‖ ἀποκείμενον *BH* ἐπικείμενον *β*. fort. ὑποκειμένῳ ‖ hiatum notaui. intercidit infinitiuus quo Aristotelis cauillatio explicabatur. ‖ 29 νοεῖται] νοεῖ *BHβ*. ‖ 31 πληθύνειν *H* *plurificare β*: πληθύειν *B*. ‖ ἀπογέννησιν *H*. ‖ 32 αὔλων *H*.

ἄρτιον ὑφίςησι· καὶ γὰρ εἰ πάντων ἀριθμῶν ἥ τε μονὰς καὶ ἡ δυὰς ἀρχαί, ἀλλ' ἴσμεν ὅπως ἀρρενωπὸς μὲν ἡ μονὰς καὶ διὰ τοῦτο περιττοποιὸς ἄλλου, θηλυπρεπὴς δὲ ἡ δυὰς καὶ διὰ τοῦτο τοῦ ἀρτίου προςάτις καὶ ἡγεμών. ἔξεςιν οὖν κατ' ἀναλογίαν καὶ ἐπὶ τῶν πρεσβυτέρων αὐτὰ θεωρεῖν ἀριθμῶν, τὰς μὲν μονάδας καὶ τὴν ποσότητα παραιτουμένους, τὰ δὲ εἴδη καὶ τὰς δυνάμεις ἐπι-
1082a 15. σκεπτομένους τῶν χωριςῶν ἀριθμῶν. "ἔτι . . . . αὐτῶν". ταῦτα πρὸς μὲν τοὺς θείους ἀριθμοὺς οὐδ' ἠπόρηται τὸ παράπαν· οὐ γάρ εἰσιν οὔτοι μοναδικοί, ἵνα ζητῶμεν ἐπ' αὐτῶν τί ἐςιν ἕκαςος παρὰ τὰς ὑποβεβλημένας αὐτῷ μονάδας· πρὸς δὲ τὸν μαθηματικὸν λέγοιτ' ἂν οἰκειότερον. ἐρωτῶμεν οὖν καὶ ὑπὲρ τοῦ μαθηματικοῦ πρὸς αὐτόν, ὅτι ἐπειδὴ ἐν παντὶ καὶ κοῦ σὲ τὸ μὲν ὕλη ἔοικε τὸ δὲ εἴδει, καὶ ἐν τῇ πεντάδι αἱ μὲν πέντε μονάδες καὶ ὅλως ἡ ποσότης καὶ τὸ ὑποκείμενον τοῖς ἀριθμοῖς ἀπὸ τῆς δυάδος, τὸ δ' εἶδος οἷον ἡ πεντὰς ἀπὸ τῆς μονάδος· πᾶν γὰρ εἶδος αὐτό τε μονάς ἐςι καὶ τὴν ὑποκειμένην ὁρίζει ποσότητα, οἷον ἡ πεντὰς αὐτή τε μονάς τίς ἐςι, διὸ πρόεισιν ἀπὸ τῆς ἀρχηγικῆς μονάδος, καὶ τὴν ὑποβεβλημένην ἑαυτῇ ποσότητα καὶ μορφοῖ τέως ἀνείδεον οὖσαν καὶ τῷ ἑαυτῆς εἴδει συνδεῖ. νοῆσαι γὰρ χρὴ δύο πάλιν ἀρχὰς τῶν μαθηματικῶν ἀριθμῶν ἐν ταῖς ψυχαῖς ἡμῶν οὔσας, παρ' ἃς καὶ τίκτεται πᾶς ὁ μαθηματικὸς ἀριθμός, τὴν μὲν μονάδα πάντα τὰ εἴδη τῶν ἀριθμῶν ἐν ἑαυτῇ περιέχουσαν καὶ ἀναλογοῦσαν τῇ ἐν τοῖς νοητοῖς μονάδι, τὴν δὲ δυάδα γεννητικήν τινα δύναμιν καὶ ἀνείδεον καὶ ἀπειροδύναμον, καὶ διὰ τοῦτο κατ' εἰκόνα τῆς ἀνεκλείπτου καὶ νοητῆς δυάδος ἀόριςον καὶ αὐτὴν κληθεῖσαν· ταύτης οὖν ἐπὶ πᾶν δραμούσης καὶ ποῖ γὰρ οὐ προελθούσης οὐκ ἀπολείπεται ἡ μονάς, ἀλλ' ἀεὶ τὸ παρ' αὐτῆς προϊὸν ἀόριςον ποσὸν διαρθροῖ καὶ διαμορφοῖ καὶ εἰδοποιεῖ πάσας αὐτῆς τὰς προόδους ἐφεξῆς καὶ ἀπαραλείπτως τοῖς εἴδεσι διακοσμοῦσα. καὶ ὥσπερ ἐν τοῖς ἐγκοσμίοις πράγμασιν οὔτε ἀνείδεον οὐδὲν οὔτε κενὸν μεταξὺ τῶν εἰδοποιημένων παρεμπίπτει διὰ τὴν τοῦ δημιουργοῦ πρόνοιαν, οὕτω κἀν μαθηματικῷ ἀριθμῷ οὔτε ἀρρύθμιςόν τι καταλείπεται ποσόν (ἐνικήθη γὰρ ἂν οὕτως ἡ τῆς μονάδος εἰδοποιὸς δύναμις ὑπὸ τῆς ἀορίςου δυάδος), οὔτε μεταξὺ τῶν ἐφεξῆς ἀριθμῶν ἄλλο παρεμπίπτει διὰ τὴν ἀκατάληκτον καὶ εὔτακτον τῆς μονάδος ἐνέργειαν. ὥτ' οὖν ἐξ οὐσίας καὶ συμβεβηκότος ὑφέςηκεν ὁ πέντε, ὡς ὁ λευκὸς ἄνθρωπος, οὔτε ἐκ γένους καὶ διαφορᾶς, ὡς ὁ ἄνθρωπος ἐκ ζῴου καὶ δίποδος, οὔτε τῶν πέντε μονάδων ἁπτομένων ἀλλήλων, ὡς ἡ δέσμη τῶν ξύλων, οὔτε μιγνυμένων, ὡς τὸ οἰνόμελι, οὔτε θέσιν ὑπομεναςῶν, ὡς οἱ λίθοι τὴν οἰκίαν ἀποτελοῦσιν. οὐ μὴν οὐδ' ὡς ἀριθμητὰ οὐδέν ἐςι παρὰ τὰ καθ' ἕκαςα· συγκεχωρήσθω γὰρ αὐτῷ πρὸς τὸ παρὸν τοὺς δύο ἀνθρώπους μηδὲν εἶναι παρ' ἑκάτερον, καίτοι Πλάτωνι πάντα ταῦτα μεθέξει τινὸς εἴδους δοκεῖ τοὺς διαφόρους ἀριθμοὺς καὶ αὐτὰ δέχεσθαι, ὡς ἐν τῷ Φαίδωνι γέγραπται· ἀλλ' οὖν μὴ ὑπαρχέτω τοῦτο τοῖς ἀριθμητοῖς πρὸς τὸ παρόν· ἀλλ' οἵ γε ἀριθμοὶ οὐχ ὅτι ἐξ ἀδιαιρέτων σύγκειν[illegible] τῶν μονάδων, διὰ τοῦτο ἕτερόν τι ἔχουσι παρὰ τὰς μονάδας (καὶ γὰρ τὰ πολλὰ σημεῖα ἀδιαίρετα, ἀλλ' ὅμως οὐ δοκεῖ τι αὐτά γε συμπληροῦν ἄλλο παρ' αὐτὰ τὰ ὑποκείμενα), ἀλλ' ὅτι ἔςι τι ἐν αὐτοῖς τὸ μὲν ὕλη τὸ δὲ εἴδει ἀναλογοῦν. ἀμέλει ὅταν τὸν τρία τῷ τέσσαρα συντιθῶμεν καὶ ποιῶμεν τὸν ἑπτά, λέγομεν μὲν ὅτως, οὐ μήν ἐςι τὸ λεγόμενον ἀληθές, ἀλλὰ γὰρ αἱ μονάδες ταῖς μονάσι συμπλακεῖσαι τὸ ὑποκείμενον *μόνον* ποιοῦσι τοῦ ἑπτὰ ἀριθμοῦ, γίγνεται δὲ ὁ ἑπτὰ ἐκ μονάδων τοσῶνδε καὶ τῆς ἑπτάδος. τίς οὖν ὁ τὴν ἑπτάδα ταῖς μονάσιν ἐπιφέρων; τίς δὲ ὁ τὸ εἶδος τῆς κλίνης τῇ τοιᾷδε συνθέσει τῶν ξύλων; ἢ δῆλον ὅτι ψυχὴ μὲν τεκτονικὴ τῷ ἔχειν τὴν τέχνην εἰδοποιεῖ τὰ ξύλα πρὸς κλίνης ἀπογέννησιν· ψυχὴ δὲ ἀριθμητικὴ τῷ ἔχειν ἐν ἑαυτῇ τὴν ἀρχηγικὴν μονάδα πάντας εἰδοποιεῖ καὶ ὑφίςησι τοὺς ἀριθμούς. διαφέρει δὲ τοσοῦτον, ὅτι ἡ μὲν τεκτονικὴ οὔτε φύσει ἡμῖν ὑπάρχει καὶ δεῖται χειρουργίας διὰ τὸ περὶ ὕλην αἰσθητὴν ἀναςρέφεσθαι, ἡ δὲ ἀριθμητικὴ καὶ φύσει πάρεςιν ἡμῖν (διὸ καὶ πᾶσιν ὑπάρχει) καὶ διανοητὴν ἔχει τὴν ὕλην, ὅθεν αὐτὴν καὶ ῥᾳδίως καὶ ἀχρόνως μορφοῖ. καὶ ἴσως δι' αὐτὸ τοῦτο καὶ ἠπατήθησαν οἱ πολλοί, μηδὲν εἶναι νομίσαντες τὰ ἑπτὰ παρὰ τὰς τοσάσδε μονάδας· ἡ γὰρ τῶν ἰδιωτῶν φαντασία ἐὰν μὴ πρότερον ἴδῃ τὸ ἀκόσμητον, εἶτα τὴν εἰς αὐτὸ παρατεταμένην τοῦ κοσμοῦντος ἐνέργειαν, εἶτα ἐπὶ πᾶσι τὸ πρᾶγμα ὅ τι ποτ' ἂν ᾖ τελειωθὲν καὶ εἰδοποιημένον, οὐ πείθεται δύο φύσεις ὁρᾶν, τὴν μὲν ἀνείδεον τὴν δὲ εἰδητικήν, καὶ ἔτι τούτων ἔξωθεν τὴν τὸ εἶδος ἐπιφέρουσαν, ἀλλ' ἕν τε τὸ ὑποκείμενον λέγει καὶ ἀγένητον, αἰτίαν δὲ αὐτοῦ οὐδαμῶς ἐπινοεῖ. διό μοι δοκοῦσιν οἵ τε θεολόγοι καὶ ὁ Πλάτων τῶν τε ἀγενήτων ἀπὸ χρόνου γενέσεις παραδιδόναι

2 ἀρρενοπὸς *H* ἀρρενοποιὸς *C*. ‖ τοῦτο τὸ περ. (*A*). ‖ 3 ἄλλου] μὲν ἄλλου *H*. ‖ 4 πρό τίς καὶ *H*. ‖ ἐπὶ] ἔτι *H* om *β*. ‖ 5 τῶν om *A*. ‖ 6 παραιτουμένη (*A*)*H*. ‖ 12 ἐπειδὴ] *quemadmodum β*. ‖ 15 οἷον *C*: ἤγουν *AHβ*. ‖ 16 καὶ τὴν . . . 17 τίς ἐςι om *H*. ‖ ὁρίζει] ἑνίζει (*unit*) *β*. ‖ 17 τις om *A* et codex unde *H* ductus est. ‖ διὸ] fort. διότι. ‖ 21 ὄσαις (*A*)*H*. ‖ παρ' αἷς *BHβ*. ‖ 22 τὴν μὲν] τὴν δὲ *H*. ‖ 23 ἀναλογοῦσαν ἐν cum hiatu *H*. ‖ *in intellectibus β*. ‖ μονάδος (*A*)*H*. ‖ 24 γεννητικὴν *H*. ‖ 27 αἰεὶ *H*. ‖ παρ' αὐτοῖς *AH*. ‖ 29 ἀπαλείπτως *BH absque fuco* (ἀναλείπτως?) *β*: correxi cum Bonitzio. cf. p. 911 b4. ‖ 33 ἀριθμιςὸν *H* ἀναρίθμητόν *Aβ*. ‖ 35 ἄλλο . . . ἀκατάλ. om *Aβ*. ‖ ἄλλο corruptum. fort. διάλειμμα. ‖ ἀκατάληπτον *CH*. ‖ 36—b5 uestigia Alexandri p. 734, 27 agnoscas.

4 οὐδ' οὖν οὐδ' *A neque etiam β*. ‖ ὡς] ὡς τὰ *BH*(*β*). fuit qui ὡς τὰ coniceret. ‖ 7 ταῦτα πάντα *AH*. ‖ 8 Phaedon. p. 101 C. ‖ 9 τούτῳ τοῖς *A*. ‖ ἀριθμητικοῖς *H*. ‖ 10 σύγκειται (*A*)*H*. ‖ 12 τι om *A*. ‖ 14 ὕλη *BH*. ‖ εἴδη *H*. ‖ τῶ τε τέσσαρα *A*. ‖ 15 τὸν $\overline{\zeta}$ *A* τὸν $\overline{\beta}$ $\overline{\zeta}$ *H*. ‖ λέγομεν ὅτως *AHβ*. ‖ 17 συμπλακεῖσθαι (*A*). ‖ *μόνον* interponi oportuit. ‖ 19 ὑποφέρων *H*. ‖ τίς δὲ . . . 20 κλίνης om pr *H*. ‖ 20 κλίνης ἀπογέννησιν τῇ *A* et quo codice *β* utebatur. τις δὲ το εἶδος τῆς κλ. απεγέννησεν correxerat *β*. ‖ τῆς τοιάδε συνθέσεως *H*. ‖ 22 πρὸς κλίνην (κλίνης *H*)· ψυχὴ δὲ *AHβ*. ‖ 23 ἀρχικὴν (*A*)*H*. ‖ 29 τὰ $\overline{\zeta}$ (*A*)*H*. fort. τὸν ἑπτά. ‖ παρὰ τοσάσδε *A*. ‖ 33 *non persuadetur quod duas naturas habeat β*. ‖ 35 ἀγένητον *B*. ‖ 36 ἐπινοεῖν *BHβ*: corr. Bonitzius et Brandisius. ‖ οἵ τε *Hβ*: οἱ *B*. ‖ 37 ἀγεννήτων *BH*. ‖ γενέσεως *H*.

τῶν τε ἀεὶ κεκοσμημένων τὴν ἀρχαίαν ἕξιν ἄτακτον εἶναι καὶ πλημμελῆ καὶ ἀόριστον ἀποφαίνεται, ἵνα τῆς τε εἰδητικῆς αἰτίας καὶ τῆς ποιητικῆς εἰς ἔννοιαν τοὺς ἀνθρώπους ἀναπέμψωσι. θαυμαστὸν οὖν οὐδέν, εἰ καὶ μηδέποτε αἱ ἑπτὰ μονάδες ἄνευ τῆς ἑπτάδος εἰσίν, ὅμως τόν γε ἑπτὰ σύνθετόν τε ὑπὸ τῆς ταῦτα διαρθρώσης ἐπιστήμης ἀποπεφάνθαι καὶ ἔχειν τὸ μέν τι ὕλη καὶ
1082a 26. ὑποκειμένῳ ἀναλογοῦν, τὸ δὲ εἴδει καὶ μορφῇ. "ἀλλὰ μὴν ... ἀριθμούς". ἐλλιπῶς εἴρηκε διὰ συντομίαν, τὸ δὲ τέλειον τοῦ λόγου τοιοῦτόν ἐστιν· ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν ὅτι συμβαίνει κατ' ταύτην τὴν ὑπόθεσιν δυάδας δυάδων εἶναι προτέρας καὶ ἄλλους ἀριθμοὺς ἄλλων ἀριθμῶν, οἷον τριάδας τριάδων προτέρας φαίνεται. πῶς οὖν τοῦτο παρ' αὐτῷ δείκνυται, κατακούσω-
1082a 28. μεν. "αἱ μ' γ' ... ἔσονται". ταῦτα εἴρηται μ' ἀπὸ τῆς ἐννοίας ἐκείνης, καθ' ἣν δυοποιοῦς οὖσα τῶν ἀρχῶν ἡ ἑτέρα διπλασιάζειν ἕκαστον ἐλέγετο τῶν ἀριθμῶν. ἔστι δὲ οὐδὲν ὁ μόνον πρὸς τὸν εἰδητικὸν ἀναφερόμενα καὶ τελεώς ἀμερῆ καὶ ἄποσον ἀριθμόν, ἀλλ' οὐδὲ πρὸς τὸν μαθηματικὸν καὶ μοναδικόν· αἱ γὰρ ποσότητές εἰσι τῶν ἀριθμῶν τῶν ἐλαττόνων αἱ ἐπισυντιθέμεναι καὶ ὑποβαλλόμεναι τῷ εἴδει τοῦ μείζονος ἀριθμοῦ, καθάπερ εἴρηται, ἀλλ' οὐκ αὐτοὶ οἱ ἀριθμοί. ὥσπερ οὖν ὅταν τὸ ὕδωρ εἰς ἀέρα μετα-
πίπτῃ, ὁ τὸ ὕδωρ ἀὴρ γίγνεται ἢ ὑποκείμενον τοῦ ἀέρος, ἀλλ' ὁ ἓν ὕδατος ὑποκείμενον, ἀέρος γίγνεται ὑποκείμενον· οὕτω καὶ ὅταν ὁ τρία τὸν δύο προσλάβῃ, ὁ τὰ εἴδη μίγνυται τῶν ἀριθμῶν, εἰ μὴ ἐν τοῖς αὐτοῖς αὐτῶν λόγοις, ἐν οἷς καὶ διακρινόμενα εὐθέως ὁ κωλύει, ἀλλ' αἱ μονάδες εἰσὶ καὶ ἡ ὕλη ἡ ἐπισυν-
τιθεμένη. μία οὖν καὶ ἡ τριὰς καὶ ἡ τετρὰς καὶ ἐν τῷ μαθηματικῷ ἀριθμῷ· κἂν γὰρ ἐν τῇ ἐννεάδι τὴν μ' πρώτην τὴν δὲ μέσην τὴν δὲ τελευταίαν ἐννοῇ τριάδα, μίαν ὁρᾷς καὶ ἀδιάφορον τρίτον παραλαμβανομένην· καὶ ὅλως ἐν μ' τῷ ἐννέα οὐδὲν ἄλλο ὁρᾷς ἢ τὸ τῆς ἐννεάδος εἶδος ἐπὶ τῇ ποσότητι, ἐὰν δὲ τῇ διανοίᾳ μερίσῃς αὐτῆς τὸ ὑποκείμενον (τὸ γὰρ εἶδος ἀμέριστόν ἐστιν), εὐθέως αὐτὸ καὶ μορφοῖς οἰκείοις εἴδεσι τοῦ μερισμοῦ· τὸ γὰρ ἀνείδεον ἀκόσμητον μ' οὐκ ἀνέχει ἡμῶν ὁρᾶν ἡ ψυχή, ἄλλως τε
1082a 32. κἂν αὐτὴ κυρία ᾖ τοῦ κοσμεῖν αὐτό. "ὁ δ' αὐτὸς ... ἔσονται". οὐδέ γε τούτων οὐδὲν πρὸς τὴν τῶν παλαιῶν θεωρίαν ἀποτείνει· ὅτε γὰρ μοναδικὸς ὁ τῶν ἰδεῶν ἀριθμός, εἰ καὶ μονὰς λέγεται· ἀριθμὸς μ' ὡς εἶδος καθαρὸν ἐξομοιοῦν ἑαυτῷ τὰ μετέχοντα, μονὰς δὲ ὡς τῶν εἰδῶν τῶν ψυχικῶν καὶ τῶν φυσικῶν καὶ τῶν αἰσθητῶν μέτρον ὅσα καὶ πρόμετρον· ὅτε σύγκειται κατ' αὐτοὺς ἰδέαι ἐξ ἰδεῶν, τοῦ ἵππου εἰ τύχοι ἐκ τῆς τοῦ ἀν-
θρώπου καὶ τοῦ κυνός, ἵνα καὶ ὁ τῆδε ἵππος ἐκ τῶν τῆδε φύσεων ἀνομοίων ὄσων σύνθετος ᾖ. πάντα γὰρ ταῦτα κωμῳδοῦντός ἐστι μᾶλλον ἢ σπουδάζοντος. ἀλλ' οὐδὲ ἐν τῷ μαθηματικῷ ἀριθμῷ διάφοροί εἰσιν αἱ μονάδες, ἀλλὰ πᾶσαι ἀδιάφοροι αἱ ὑποκείμεναι τοῖς ἀριθμοῖς, ἐξῃρημένης ἐκείνης ἥτις ἀρχὴ πάντων ὅσα καὶ
πηγὴ καὶ μήτηρ τοσοῦτον ἀποδεῖ τοῦ δεῖν τῶν εἰδοποιησόντων αὐτήν, ὡς τὰ εἴδη πάντα προϊέναι παρ' αὐτῆς ἅπασι τοῖς ἀριθμοῖς. ὁμώνυμοι δὲ ὁ τῇ μονάδι μόνῃ αἱ πολλαὶ μονάδες, ἀλλὰ καὶ ἡ τῶν μαθηματικῶν ἀριθμῶν ὡρισμένη δυὰς τῇ ἀορίστῳ δυάδι· ἡ μ' γὰρ ἄοριστος ἀρχὴ παντὸς μέν, μάλιστα δὲ τοῦ ἀρ-
τίου, ἡ δὲ ὡρισμένη ἄλλως ἀρχὴ οὐχ ὡς γεννητική, ἀλλ' ὡς τὸ πρῶτον τοῦ πράγματος ἀρχὴν αὐτοῦ λέγομεν εἶναι, ὡς τῆς Πολιτείας τὸ "Κατέβην χθὲς εἰς Πειραιᾶ". "ὅλως ... μο- 1082b
νάδος". εὖ ταῦτα λέγει πρὸς τὰς μονάδας τὰς ὑποβεβλη- 1.
μένας τῷ ἀριθμῷ· ὅτε γὰρ ποσῷ διοίσουσιν, ἐλάχιστα ὄσαι πᾶσαι, ὅτε ποιῷ, ἀνείδεοι γάρ. εὖ δὲ καὶ τὸ πλασματῶδες ὡρίσατο. "ἀνάγκη ... μοναδικόν". ** καὶ τὸ εὖ· ἡ γὰρ ἰσότης 1082b
καὶ ἀνισότης χωρεῖ διὰ παντὸς ἀριθμοῦ φυσικοῦ τε καὶ ὑπερφυοῦς καὶ μαθηματικοῦ. προσεκτέον δὲ τούτῳ τῷ ῥητῷ, ἐν ᾧ σαφῶς ὁμολογεῖ καὶ αὐτὸς μὴ πάντας τοὺς ἀριθμοὺς εἶναι μοναδικούς. τὸ γὰρ "ἀλλὰ μάλιστα τὸν μοναδικόν" βεβαιωτίς ἐστιν ἐναργὴς τοῦ δόγματος τῶν παλαιῶν· οὐκ ἄρα τι ἀποδέδεικται ἡμῖν κατ' τῶν [μοναδικῶν] ἀριθμῶν, ἐπειδὴ ἐκ μοναδικῶν ἐλαμβάνετο πάντα τὰ ἐπιχειρήματα. "ὥστε εἰ ... εἶναι". καὶ ταῦτα 1082b
εὖ πάνυ λέλεκται περὶ τῶν πολλῶν μονάδων, καὶ ὁ μόνας αὐτὰς 7.
ἀδιαφόρους δείκνυσιν, ἀλλὰ καὶ τοὺς ἴσους ἀριθμούς· ὥστ', ὅπερ ἐλέγομεν, ἕνα εἶναι τὸν τρία, κἂν πολλάκις λαμβάνηται ἐν τῷ τριάκοντα· τὰ γὰρ ἴσα ἐν ἀριθμοῖς ταὐτά. ἀδιάφοροι οὖν καὶ αἱ ἐν τῇ δεκάδι δυάδες, οὐχ ὅτι αἱ μονάδες αὐτῶν ἀδιάφοροι, καὶ τοῦτο μ' γάρ, ἀλλ' ὅτι τὸ εἶδος ἕν· ἓν δὲ οὐχ ὡς εἰς διάφορα ὑποκείμενα δεδωκὸς ἑαυτό (μίαν γὰρ μόνην ποιεῖ τῷ ἀριθμῷ δυάδα), ἀλλ' ὡς ἐκ μονάδος τῆς ἀρχηγικῆς προελ-

4 αἱ ἑπτὰ] αἰσθηταὶ *BHβ*. ‖ 6 ἔχει *H*. ‖ 8—12 *φαίν.* ex Alexandro p. 735, 27 conpilata. ‖ 8 ἐλλιπῶς ... συντομίαν om *β*. ‖ εἴρηται Alex. ‖ 9 μὴν] νῦν *H*. ‖ 11 τριάδων *β* et Alex.: τριάδος *BH*. ‖ προτέρας φαίνεσθαι Alex.: ποτέρας pr *C* sed γρ. φαίνεσθαι marg. *C*, εἶναι προτέρας *Aβ*. ‖ 12 παρ' αὐτὸ *H*. ‖ 13 εἰ μὲν γὰρ *B* in lemmate. ‖ 15 ἐλέγετο τὸ τῶν *A*. ‖ οὐδὲν om *A*. *sed non modo non feruntur β*. ‖ 18 τῶν ante ἐλ. om *H*. ‖ 21 ὁ τὸ *CHβ*: αὐτὸ *A*. ‖ ἢ τὸ ὑποκείμενον *BH*: deleui articulum. an scribendum ἤτοι ὑποκ.? ‖ 24 λόγος *H*. ‖ 25 ὁ ante κωλ. om *A*. ‖ *sed unitates sunt materia ipsa apposita β*. ‖ ἡ ὕλη ἡ] ἡ ὕλη *BH*. ‖ 26 καὶ ἐν] καὶ ἡ ἐν *BHβ*. ‖ 27 ἀριθμῷ om *Aβ*. ‖ 28 καὶ ἀδιάφορον om *β*. ‖ 29 τρίτον] *ter β*. ‖ 30 ἐννάδος (*A*)*H*. ‖ εἶδος om *H*. ‖ 33 μὲν om *β*, recte ut uidetur.

5 ἵνα ὁ cum spatio V litterarum *H* ἵνα τε ὁ *A*. ‖ 6 ἐστι] ἔσται *BHβ*. ‖ 7 μᾶλλον om (*A*)*H*. ‖ 10 *tantum abest ut fiat ex his quae ipsam formarunt β*. ‖ δεῖσθαι] ποιεῖσθαι *BH*. ‖ εἰδοποιησάντων *BHβ*. ‖ 11 *ab ipsa β* παρ' αὐτοῖς *BH*: correxi cum Bonitzio. ‖ 13 ἀριθμῶν om *AHβ*. ‖ ὡρισμένη] *interminata β*. ‖ 18 εὖ] ὁ *BHβ*. *Huec non β*. ‖ 19 ἐλάχιστοι *C* ἐλαχίστοις (*A*)*H*. ‖ 20 πλασματῶ *H*. ‖ ὡρίσαιτο (*A*)*H decretum est β*. ‖ 21 ** spatium VI litterarum uacuum reliquit *C*. ‖ *Et hoc recte β* καὶ τὸ ἓν· *A*. ‖ ἢ γὰρ *H*. ‖ 24 τοὺς om *CH*. ‖ 27 κατὰ βάνετο *H* omissis τῶν ... ἐλαμ- ‖ μοναδικῶν inclusi. quod qui adposuit, pro uitioso μονάδων legi uolebat. ‖ μοναδικῶν] μονάδων *BHβ*. ‖ 29 περὶ πολλῶν *A* παρὰ πολλῶν *H*. ‖ fort. ταύτας. ‖ 32 καὶ ἐν τῇ *BHβ*: inserui αἱ, item Bonitzius. ‖ 34 δὲ] γὰρ *H*. ‖ fort. εἰς ἀδιάφορα.

θὸν καὶ μεῖναν καθαρῶς ἕν. εἰ μὴ γὰρ καὶ ἡμεῖς συνεχωρῶμεν ἐκ δυάδων πέντε συγκεῖσθαι τὴν δεκάδα, ὥσπερ ἔχειν δέκα μονάδας, ἀναγκαῖον ἦν ὁμολογεῖν πολλὰς μὴ εἶναι τῷ ἀριθμῷ δυάδας, μίαν δὲ τῷ εἴδει· ἐπειδὴ δὲ οὐ τὰς δυάδας φαμὲν συντιθεμένας ποιεῖν τὴν δεκάδα (τὰ γὰρ εἴδη τῶν ἀριθμῶν ἁπλᾶ ἐστι καὶ ἐκ τῆς μονάδος πρόεισιν, ὥςε καὶ τὰ τῆς δεκάδος), ὅτε τὰς μονάδας τὰς ὑποκειμένας τῇ δυάδι πλέον προαχθείσας ὑποκείμενον γενέσθαι τῆς δεκάδος, προϊούσης μὴ ἀπὸ τῆς οἰκείας ἀρχῆς, ἀποτελούσης δὲ τὸν δέκα μετὰ τοῦ ὑποκειμένου, οὐκ ἀναγκαζόμεθα πολλὰς τῷ ἀριθμῷ δυάδας ὑποτίθεσθαι, ἵνα μὴ ἀριθμητὰς αὐτὰς ἀντὶ ἀριθμῶν ποίησωμεν· ἐπεὶ καὶ εἰ πολλαὶ εἶεν δυάδες, ὡς αὐτὸς ἀξιοῖ, καὶ πολλαὶ τριάδες καὶ δεκάδες πολλαί, καὶ ἁπλῶς ἕκαςος τῶν μοναδικῶν ἀριθμῶν πολὺς εἴη καὶ ἄπειρος, ἀνάγκη καὶ τὸν σύμπαντα μαθηματικὸν ἀριθμὸν μὴ ἕνα εἶναι, ἀλλ' ἀπείρους εἶναι μαθηματικοὺς ἀριθμούς· δοκεῖ δὲ εἷς εἶναι ὁ μαθηματικός, καθόλου γάρ, ὥςε καὶ ὅδε ὁ μαθηματικὸς εἷς οἷον ὁ τρία καὶ ὁ τέσσαρα καὶ τῶν ἄλλων ἕκαςος, ἵνα καὶ ὁ σύμπας εἷς μείνῃ ὁ ἐξ αὐτῶν συγκείμενος. ἐὰν γάρ τις καὶ τὸν σύμπαντα πολλαχῶς εἶναι λέγῃ καὶ ἀπειραχῶς ὡς τὰ ὁμοειδῆ τῶν καθ' ἕκαςα, πάλιν ἐπὶ τὸ ἓν εἶδος ἀναδραμούμεθα, ὃ ἐπισκέπτεται ἡ μαθηματική· καὶ εὑρήσομεν ἓν μὲν εἶδος τοῦ σύμπαντος μαθηματικοῦ ἀριθμοῦ, μίαν δὲ περιέχον δυάδα καὶ μίαν τριάδα καὶ οὐ πολλάς, ἵνα μὴ πάλιν καὶ ὁ σύμπας πολλαπλῶς γένηται καὶ τοῦτο ἐπ' ἄπειρον προέλθῃ. ὅτ' οὖν διαιροῦμεν τὸν δέκα εἰς πέντε δυάδας, ἀλλὰ πεντάκις [τὸ ὑποκείμενον τῇ δεκάδι καὶ] τὸ ὑποκείμενον τῇ δυάδι παραλαμβάνεσθαι λέγομεν· ὅτε συντίθεμεν τὴν δεκάδα ἐκ πέντε δυάδων, ἵνα μὴ σύνθετον αὐτῆς τὸ εἶδος ἀποφήνωμεν, ὅπερ οὐδὲ ἐπὶ τῶν αἰθητῶν εἰδῶν ὑπὸ τῆς φύσεως ὁρῶμεν γιγνόμενον· ὅθ' ὅλως ἀριθμὸν πολὺν εἶναί φαμεν συνδιαιρούμενον τῷ ὑποκειμένῳ, ἀλλ' ἕκαςον πολλαχῶς ὑφεςάναι, εἰ μέλλοι καθαρῶς ἀριθμὸς εἶναι καὶ μὴ ἀριθμητόν.

1082b 11. "ἔτι ... μονάδων". ταῦτα περὶ μὲν τῶν εἰδητικῶν ἀριθμῶν καὶ ἐν τοῖς φθάσασι καὶ νῦν γελοίως λέγεται· ὅτε γὰρ δύο μονάδες ὑποβέβληνται τῇ αὐτοδυάδι, ὅτε τρεῖς τῇ αὐτοτριάδι, ὅτ' εἰ ἦσαν ὑποβεβλημέναι, δυνατὸν ἦν ἀφαιρεῖν ἐξ ἑκατέρας καὶ ἄλλο τι ποιεῖν, ἐπεὶ καὶ ταὐτότης καὶ ἑτερότης ἐν ἑκατέρᾳ αὐτῶν καὶ οὐ δήπου ἀφελὼν ἑκατέρας τὴν ἑτερότητα ἢ τῆς μὲν τὴν ἑτερότητα τῆς δὲ τὴν ταὐτότητα, τρίτον τι μικτὸν ἐξ αὐτῶν ἀποτελέσεις καὶ ζητήσεις πότερον ἀμφοῖν ἐςιν ὕςερον ὡς ἐξ ἀμφοῖν ὑποςάν, ἢ τοῦ μὲν προτέρου αὐτοῖν ὕςερον, τοῦ δὲ δευτέρου πρότερον, ὃ μᾶλλον ἀναγκαῖον εἶναί φησι. πάντα γὰρ ταῦτα ἐκ τῶν ἐνύλων καὶ ὅλως μεριςῶν εἴληφε τὰ ζητήματα, καὶ ἀναξίως ταῖς νοεραῖς καὶ ἁπλαῖς καὶ παντελῶς ἀμερίςοις οὐσίαις προσφέρει. εἰ δὲ περὶ τοῦ μαθηματικοῦ αὐτὰ προτείνειν ἤθελεν ἀριθμοῦ, μᾶλλον μὲν ἂν ἐκίνησεν ἀπορίαν τὸ προταθέν, οὐ μὴν ἀλλ' ἐκ τῶν προαγόντων εἶχε καὶ τοῦτο τὴν λύσιν· εἴτε γὰρ ἐκ τοῦ δύο εἴτε ἐκ τοῦ τρία δεόμεθα μονάδας ἀφαιρεῖν ἵνα ποιήσωμεν ἄλλον δύο (ταῦτα γὰρ περὶ τὰ ἀριθμητὰ συμβαίνει, οἷον ἐκ δύο ἵππων καὶ τριῶν ἀνθρώπων)· ἐὰν οὖν ἀφ' ἑκατέρων λάβωμεν, δυάδα ποιοῦμεν ἐξ ἀνομοίων μονάδων ** ὅθ' ὅλως ἐν ὅσῳ δύο ἐςὶν ὁ δύο καὶ τρία ὁ τρία, οὐδ' εἰ ἔςιν ἑκάτερος αὐτῶν ὅ ἐςι, μονάδα δυνήσεται ἀποβάλλειν. ἀλλὰ πάντα ταῦτα τὰ φαντάσματα οἱ ὑςερογενεῖς ἀποφηνάμενοι εἶναι τοὺς ἀριθμοὺς καὶ ἐκ τῶν αἰθητῶν ἀποσυλᾶσθαι καὶ πολλαπλοῦν ἕκαςον εἶναι παρεισκυκλοῦσι τῇ καθαρᾷ θεωρίᾳ. "καὶ ἡμεῖς ... μονάδας". 1082b 16. ὅτός τε γὰρ ὡς ἀριθμητοῖς προσβάλλει τοῖς πράγμασι καὶ διὰ τοῦτο μέτρῳ χρῆται περὶ αὐτὰ τῷ μοναδικῷ ἀριθμῷ· ἐκεῖνοί τε εἰ τὰς μονάδας τὰς ὑποκειμένας τῷ μοναδικῷ ἀριθμῷ διαφόρους εἶναι λέγουσι, δικαίως ἐγκαλοῦνται· εἰ δὲ ἕκαςον τῶν εἰδῶν μονάδα καλοῦσιν ὡς πρόμετρον τῶν τῇδε πραγμάτων, πῶς οὐκ ἀνάγκη, διαφόρων ὄντων τῶν εἰδῶν, διαφόρους μονάδας αὐτοὺς λέγειν; καὶ εἴεν ἂν καὶ αἱ ἐν νῷ διάφοροι ἀλλήλων διὰ τὴν ἐν αὐταῖς ἑτερότητα καὶ πολλῷ πλέον αἱ ψυχαὶ τῶν νοερῶν, ὅσῳ πλείων ἡ ἀπόςασις, καὶ πάλιν πᾶσαι συμβληταὶ διὰ τὴν ἐκ τἀγαθοῦ τοῖς πᾶσιν ἐφήκουσαν ἕνωσιν καὶ διὰ τὴν τῆς ταὐτότητος ἐν τοῖς ἀύλοις εἴδεσιν ἐπικράτειαν. ἀλλ' ὅτος μὲν ὁ τρόπος ἑτέρᾳ θεωρίᾳ προσήκει. τῶν δὲ μονάδων, ὧν νῦν ἐξεταςὴς ὁ Ἀριςοτέλης γίγνεται, ὅτε ἀνῆγόν τινας εἰς τοὺς εἰδητικοὺς ἀριθμοὺς ὅτε διαφορὰς παρεδίδοσαν οἱ Πυθαγόρειοι. "εἴτε δὲ μὴ ... τῇ δεκάδι". 1082b 19. πρῶτον μὲν μὴ θαυμάσῃς εἰ αὐτὴν δυάδα καὶ αὐτὴν τριάδα φάσκοντες εἶναι μήτε πλείω φασὶ τὸν τρία τοῦ δύο μήτε ἐνυπάρχειν τὸν δύο τῷ τρία· ὅτε γὰρ ποσό-

1 συγχωροῦμεν *BH*: em. *β*. ‖ 4 fort. ὅτε τὰς. ‖ 6 ὥςε ... 9 ὑποκ.] *quare et quae est denarii, non eo, quod unitates subiectae binario ulterius productae subiectum fiant, sed quia denarius procedit a proprio principio, quod ipsum denarium perficit cum subiecto β.* ‖ 6 ὅτε] ὅτω *BH*, ὁ τῷ *β* quod fuerunt quibus placeret. ‖ 7 fort. ἐπὶ πλέον. ‖ 9 τὸν δέκα *CH*: τὴν δεκάδα *Aβ*. ‖ 10 ἀριθμῷ ... ἵνα μὴ om *H*. ‖ 15 εἷς εἶναι μαθημ. *BH*: addidi ὁ. ‖ 16 καὶ ὧδε ὁ *Aβ* καὶ ὅδε *H*. ‖ 17 ὁ δ̄ *B*. ‖ 19 λέγει corr. *H*. ‖ 21 σύμπαντος om *β*. ‖ 23 τετράδα *AHβ*. ‖ 24 ἐπάπειρον προέλ'θ· *H*. ‖ 25 τὸ ... καὶ inclusi. corrupta lectio et correcta iuxta ponuntur. ‖ 31 καθαρὸς *AHβ*. ‖ 32 τοῦτο *β*. ‖ 33 τοῖς φθάνουσι *AHβ*. ‖ 35 ὅτ' εἶσαν *H*. ‖ 36 ἄλλό τι (*A*)*H*. ‖ ἐπειδὴ καὶ *H*.

1 τῆς μὲν ἑτερότητα libri. ‖ 2 τί *H*: δὲ *B* om *β*. ‖ μικρὸν *H*. ‖ ἐξ αὐτῶν] *ex utraque β.* an ἐξ αὐτοῖν? ‖ 3 *conflabis β*: ἀπολέσεις *B* ἀπολέσειε *H*. ‖ 5 fort. φής. ‖ 8 μαθητικοῦ *H*. ‖ 9 τὸ προταχθὲν *A*. ‖ 10 προαγαγόντων *A*. sed cf. p. 905 a22. ‖ *neque enim ex binario neque ex ternario oportet nos auferre β.* ‖ 12 ἄλλον *C* ἄλλα *H* ἄλλας *Aβ*. ‖ 13 λάβωμεν δυάδα, τετράδα ποιοῦμεν *β*. ‖ 14 hiatu oratio hoc loco laborat, nisi grauius turbatum est. possunt enim uerba δυάδα π. ἐξ ἀν. μον. ad l. 13 τριῶν ἀνθρώπων pertinere. ceterum cf. infra p. 910 b20 sqq. ‖ 15 καὶ τὰ τρία ὁ τρία *AH*. ‖ οὐδ' εἰ ἔςιν] εἰ δὲ ἔςιν *BHβ*. ‖ 16 μονάδα *CH*: δυάδα *Aβ*. ‖ 18 ἀπολύσασθαι *H*. ‖ 20 ὅτός τε] ὅτε *BHβ*. de pronomine cf. p. 861 b35. 904 b2. 910 a14. 911 a1. 912 a26. 914 b23 al. ‖ 22 fort. εἰ μὲν τὰς. ‖ 24 μονάδας *BHβ*. ‖ ὡς πρότερον *Aβ*. ‖ 26 καὶ ἐν (om. αἱ) *H*. ‖ 34 δεκάδι] corrigas δυάδι. ‖ εἰς αὐτὴν *H*. ‖ 36 δύο τὰ τρία (*A*)*H*.

τητος ὅτοι μετέχουσιν οἱ ἀριθμοί, ὅτε τὸ τῆς ἰσότητος καὶ ἀνισότητος εἶδος ὅτως ἐστὶν ἐν αὐτοῖς ὡς ἐν τοῖς μοναδικοῖς ἀριθμοῖς· ἐν ἐκείνοις μὴ γὰρ ὐδέποτε οἱ ἴσοι καὶ ἄνισοι οὐδ' οἱ ἄνισοι *ἴσοι* εἰσίν· ἐν δὲ τοῖς εἰδητικοῖς οἱ αὐτοὶ καὶ ἴσοι καὶ ἄνισοι ἀλλήλοις, ὥσπερ ταὐτὸν καὶ ἕτεροι διὰ τὴν τῶν γενῶν τοῦ ὄντος καὶ τῶν περιληπτικωτάτων εἰδῶν εἰς αὐτοὺς παρουσίαν, καὶ οὐχὶ ἡ ἀντίφασις ἐπ' αὐτῶν διὰ τοῦτο· ὁ γὰρ ἢ ἴσοι, ταύτῃ ἄνισοι, οὐδ' ἢ ὅμοιοι, ταύτῃ ἀνόμοιοι, οὐδ' ἢ ταὐτόν, ταύτῃ ἕτεροι, ἀλλ' ὅμοιοι μὴ καὶ ἴσοι καὶ ταὐτὸν δι' ὁμοιότητα καὶ ἰσότητα καὶ ταυτότητα, ἀνόμοιοι δὲ καὶ ἄνισοι καὶ ἕτεροι διὰ τὰ ὡς ἀντικείμενα τοῖς προτέροις εἴδεσιν εἴδη. ἀμήχανον γὰρ ἦν ἐν ταῖς ἀρχαῖς μονάδος ὕσης καὶ τῆς ἀορίστου δυάδος μὴ οὐχὶ καὶ τὰ παρ' αὐτῶν ὑποστάντα ἀμφοτέρων δυνάμεις ὑποδεδέχθαι. ἐπὶ δὲ τούτοις ἐχρῆν ἐννοεῖν ὡς ὅτος ὁ τὸν ἐν τοῖς εἴδεσιν ἀδιάφορον ποιεῖ (τί γὰρ εἰ καὶ ἰσότητος καὶ ἑτερότητος τὰ εἴδη μετέχει),
1082b 22. ἀλλ' εἰ ἄρα, τὸν ἐν τοῖς μοναδικοῖς ἀριθμοῖς. "ἀλλ' οὐκ ... ἀριθμοί". ὅτι μὴ οὐκ ἐνδέχεται δύο δυάδας ἀδιαφόρους εἶναι ἐν τῷ εἰδητικῷ ἀριθμῷ, εὖ λέγει· ὅτι δὲ τῇ αὐτοῦ ὑποθέσει ἠκολούθησε, ποσότητος μοναδικῆς μεταδούσῃ τοῖς νοεροῖς εἴδεσιν,
1082b 24. ὁμολογεῖν οὐκ ἐθέλει. "τοῦτο μὴ γὰρ ... ἀναιροῦσιν". λέγουσι μέν, φησίν, ἑαυτοῖς τὰ ἀκόλουθα οἱ τῶν ἰδεῶν τὸν ἀριθμὸν ἐκ διαφορουσῶν μονάδων συνεσάναι φάσκοντες, ἵνα μὴ πολλὰς ἰδέας τοῦ αὐτοῦ ποιεῖν ἀναγκαζῶσι καὶ ἀπολιμπάνειν δυάδας καὶ ἐν τετράδι καὶ πενταδι καὶ ἑξάδι καὶ ὅλως ἐν πᾶσιν ἀριθμοῖς ἀδιαφόρων οὐσῶν τῶν μονάδων. ἔτι δὲ κἀκεῖνο κατ' αὐτὸν λέγουσιν ὀρθῶς πρὸς τὴν ἑαυτῶν ὑπόθεσιν, ὅτι οὐ χρὴ τῷ δύο προστιθέντας μονάδα τὸν τρία ποιεῖν ἐκεῖ. οὐ γὰρ ἀδιάφοροί εἰσιν αἱ ἐν τῷ δύο καὶ αἱ ἐν τῷ τρία μονάδες ἀλλ' ἀσύμβλητοι· ὥςε χρὴ χωρίζειν ἕκαστον τῶν ἀριθμῶν καὶ ἀεὶ ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὰς ἑξῆς μεταβαίνειν. εἰ γὰρ οἱ μὴ ἀριθμοὶ ἰδέαι, αἱ δὲ ἰδέαι οὐ περιέχονται ὑπ' ἄλλων ἰδεῶν ὥςε μέρος εἶναι τῶν περιεχουσῶν, οὐδ' ἂν ἀριθμοὶ μέρη εἶεν ἄλλων ἀριθμῶν· ὑπάρξει δὲ αὐτοῖς τοῦτο, εἰ διάφοροι εἶεν αἱ ἐν αὐτοῖς μονάδες. ταῦτα δέ, φησίν, εἰ καὶ σώζει τὴν αὐτῶν ὑπόθεσιν, ἀλλ' ἀνατρέπει πολλὰ τῶν ἀριθμητικῶν θεωρημάτων· διὸ πρὸς μὴ τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ἁπλῶς δὲ οὐκ ὀρθῶς. ὅτι δὲ οἱ ἄνδρες ἐκεῖνοι τοιαύτας μονάδας οὐκ ᾠοντο εἶναι καθάπαξ ἐν τῷ εἰδητικῷ ἀριθμῷ, ἄλλως δὲ αὐτοὺς τοὺς ἀριθμοὺς μονάδας λέγοντες διαφόρους πρός τε ἑαυτοὺς καὶ πρὸς τὴν φύσιν ὡμολόγουν τὴν τῶν πραγμάτων, οὐ θέλει προσποιεῖσθαι. "ἐπεὶ ... διαφοράν". 1082b 34. εἰώθασι, φησίν, ἀπορεῖν, πότερον ἀπὸ τοῦ δύο ἐπὶ τὸν τρία δεῖ μεταβαίνειν καὶ τέσσαρα καὶ πέντε, καὶ ὅλως κατὰ σύνθεσιν ἀριθμεῖν, ἢ κατὰ διαίρεσιν ἀπὸ τῆς δεκάδος λαμβάνειν ἐν δύο τρία τέσσαρα· αὐτοῖς μὴ γὰρ ὐδέτερον τούτων ἀρέσκει. ἡμῖν δέ, φησί, ῥητέον ὅτι γελοῖον ἐξ ὅτως ἐπιπολαίου ζητήματος ἕκαστον τῶν ἀριθμῶν οὐσίαν ποιεῖν καὶ ἰδέαν, ἀποκριτέον τε πρὸς αὐτοὺς ὅτι ἀμφοτέρως ποιοῦμεν· ὡρισμένου μὴ γὰρ τοῦ μεγίστου διαιροῦμεν, ἀορίστου δὲ ὄντος συντίθεμεν. ταῦτα δὲ ὅτι πρὸς μὴ τὸν εἰδητικὸν ἀριθμὸν ὐδαμῶς ἀνάγεται δύναται, πρὸς μέντοι τὸν μαθηματικὸν πῇ μὴ πῇ δὲ ὅ, πολλάκις ἐπεσημηνάμεθα· ὡς καὶ τὴν ἀπορίαν τῶν πρεσβυτέρων λίαν ἐπιζήμονα φαίνεται καὶ τὴν ἀπάντησιν τοῦ Ἀριστοτέλους μὴ πάντῃ ψευδῆ· ὁ μὴ γὰρ ἐνεργείᾳ τρία, ὁ τὸ εἶδος καταδεξάμενος τῆς τριάδος εἷς ἐστι καὶ οὐκ ἂν μονάδα προσλαβὼν τέσσαρα γένοιτο (πῶς γὰρ τὸ τῆς τριάδος εἶδος εἰς τὸ τῆς τετράδος μεταπεσεῖν δυνήσεται);· ὁ δὲ δυνάμει τρία ὁ ἐν ταῖς τρισὶ μονάσι θεωρούμενος, ὁ ἄνευ τοῦ εἴδους τριάδος ἐπινοούμενος, εἰ μονάδα προσλάβοι, ποιήσειεν ἂν τὸ ὑποκείμενον τοῦ τέσσαρα, ὃ ἐν ὅσῳ μέν ἐστιν ἄμορφον οὐκ ἀδυνατεῖ μονάδα προσλαβὸν ποιῆσαι τὸ ὑποκείμενον τοῦ πέντε, κρατηθὲν δὲ τῷ τῆς τετράδος εἴδει τὸν τέσσαρα μόνον ποιεῖ. αἱ οὖν διαιρέσεις καὶ οἱ πολλαπλασιασμοὶ κατὰ τὴν ὕλην καὶ τὴν ποσότητα τῶν ἀριθμῶν ἐπιτελοῦνται, οὐ κατὰ τὰ εἴδη· ταῦτα γὰρ οὐ μόνον αὐτὰ ἀκίνητα ἀλλὰ καὶ οἷς ἂν ἐπιγένηται, τούτοις μίαν ἐπιφέρει μορφὴν τὴν ἑαυτῶν.

"Πάντων ... μονάδων". προείρηται πολλάκις ὅτι ἄλλως μὴ ἐκεῖνοι μονάδας ἔλεγον καὶ ἀριθμοὺς αὐτὰ τὰ εἴδη, ἄλλως 1083a 1.

1 οἱ ante ἀρ. om *H*. ‖ ὅτε τῆς *BH*: adieci τὸ. ‖ *sic est β* ὅτός ἐστιν *CH* ὅτος (om. ἐστὶν) *A*: correxi cum Bonitzio. ‖ 3 οὐδ' οἱ ἄνισοί εἰσιν *C*: εἰσιν *AHβ*. ἴσοι addidit Brandisius. ‖ 5 et 9 ταὐτὸν] ταὐτοὶ *BH* *iidem β*. correxi cl. l. 8, etsi l. 5 procliue erat καὶ αὐτοὶ scribere. ‖ 6 εἰς αὐτοὺς coni. Brandisius: *in eis β* εἰς αὐτὴν *BH*. fort. ἐπ' αὐτῶν. ‖ οὐχὶ ἡ] οὐχ ᾗ ἡ *B* οὐχ ἡ *Hβ*. correxi cum Bonitzio. ‖ 7 ἄνισον *H*. ‖ 8 ἀνόμ. οὐδ' οἱ *H*. ‖ ταὐτὸν *C*: ταὐτοὶ (*A*)*Hβ*. ‖ 9 ταὐτὸν] cf. ad l. 5. ‖ 10 ὡς ἂν ἀντικείμενα *CH*. ‖ 13 ἐπὶ τούτοις *Aβ*. ‖ 14 fort. ὡς ὅτως ... ποιεῖς. ‖ 16 ἄρα, τὸν ἐν] ἄρα καὶ ἐν *Aβ* ἄρα ἐν *CH*. ‖ 18 οὐ λέγει *BHβ*. ‖ 19 μεταδούσης *BHβ*. ‖ 21 φησίν *C*: γὰρ *AHβ*. ‖ εἰδεῶν ex εἰδῶν corr. *H*. ‖ 23 δυάδα *Hβ*. ‖ 24 καὶ πεντάδι om *AHβ*. ‖ 25 κατ' αὐτὸ *H*. ‖ 26 πρός τε τὴν *BHβ*: deleui τε, cf. infra b2. ‖ ὅτι om *H*. ‖ τῷ δύο] *duobus β* τῶν δύο *B*. ‖ 27 διάφοροι (*A*)*β*. ‖ 28 καὶ ἐν τῷ τρία *BHβ*: αἱ adieci. ‖ 29 ἀεὶ *C*: om *AHβ*. ‖ 30 εἰ γὰρ ... b3 οὐκ ὀρθῶς Alexandro p. 740, 5—12 debentur. ‖ 30 οἱ μὲν om *H*. ‖ 31 ὑπ' *H*: ἀπ' *Bβ*, ὑπὸ τῶν Alexander, hinc corrigendus. ‖ ἄλλων] ἀλλήλων *H*. *a se ipsis ideis β*. ‖ 32 εἶεν *β*, Alex.: εἶναι *BH*. correxerunt Bonitzius et Brandisius. ‖ *inerit β* ὑπάρξοι *BH*: corr. Bonitzius cl. Alex. ‖ 33 εἰ διάφοροι *β* Alex.: ἀδιάφοροι *BH*. ‖ εἶεν] εἶναι *H*. εἰσίν Alex.

1 φησὶ καὶ εἰ *CH*. ‖ αὐτῶν om *Aβ*. ‖ 2 θεορημάτων ex ὀνομάτων corr *H*. ‖ 4 τοιαύτας *CH*: αὐτὰς τὰς *Aβ*. ‖ 5 ἄλλως τε *Aβ*. ‖ 6 λέγοντας *H*. ‖ 7 προσποιεῖσθαι *C*: ποιεῖσθαι (*A*)*H* *dicere β*. cf. p. 902 b37. 904 b33. 914 a1. ‖ 8—15 ex Alex. p. 740, 18 excerpta. ‖ 11 ἀρέσκειν *BHβ*. ‖ 13 οὐσίαν ποιεῖν καὶ] αὐτὸ ποιεῖν κατ' *BHβ*. cf. Alex. p. 741, 7 ποιεῖν ἰδέαν καὶ οὐσίαν καθ' αὑτήν. ‖ 14 ἀμφοτέροις (*A*)*H*. ‖ 20 ὁ τὸ] ὁ δὲ τὸ *BH*: deleui δὲ cum *β*, item Bonitzius. ‖ 23 μονάσι etiam Bonitzius: μόναις *BH* *solis unitatibus β*. ‖ 24 *trinitatis β*: τριάδα *BH*. correxit etiam Bonitzius. ‖ ποιήσει *H*. ‖ 26 προσλαβὼν *AH* προσλαβεῖν *C*. ‖ 27 τετράδος] τριάδος *BHβ*. ‖ *ternarium solum facit β*, unde fuit qui τὸν τρία coniceret. τοῦ $\overline{\delta}$ *H*. ‖ μόνον] μόνως *BH*. ‖ 31 μίαν μὲν ἐπιφέρει *AH*.

δὲ ὅτος προτείνει οἰκεῖα ὄντα μοναδικῷ ἀριθμῷ τὰ προβλήματα, ἐφ' ᾧ ϗ διεῖλεν εὖ ϗ ἐπέκρινε· τῷ γὰρ ὄντι εἰ αἱ μονάδες αἱ ὑποβεβλημέναι τῷ μαθηματικῷ ἀριθμῷ διάφοροι εἶεν, ϗ πολλαχῶς ὁ τρία ϗ ὁ πέντε ϗ ἕκαστος ὑποστήσει ϗ διοίσει ὁ ἐν τῷ ἑπτὰ δοκῶν εἶναι τρία τοῦ ἐν τῷ πέντε ϗ τοῦ ἐν τῷ
1083a 6. δέκα. "ἔτι πότερον ... ποσοῦ". ϗ ταῦτα ὡς πρὸς τὰς συνήθως λεγομένας μονάδας κάλλιστα εἴρηται. ϗ μέντοι εἰ γιγνομένου τις ἐπινοεῖ τοὺς μοναδικοὺς ἀριθμούς, τὸ εἶδος τὸ τὴν ποιότητα ἐπιφέρον ὕστερον ὄψεται μορφοῦν τὴν ὑποβεβλημένην
1083a 11. αὐτῷ ποσότητα. "ἔτι ὅτ' ἂν ... λέγουσιν". ὅτι μὴ εἴ τί ἐστιν ἐν τοῖς μετὰ τὰς ἀρχάς, ἀπὸ τῶν ἀρχῶν ὀφείλει παραγίνεσθαι, λέγει μετρίως· ϗ ὅτι ταῖς συνεγνωσμέναις μονάσιν αἱ ἀριθμητικαὶ ἀρχαὶ τὸ διάφορον οὐκ ἐμποιοῦσιν, ἐπεὶ μηδ' ὅλως εἰσὶ διάφοροι, ϗ τοῦτο καλῶς· ὅτι δὲ τὸ ἕν, ὅπερ ἀντὶ τῆς ἀρχηγικῆς παρείληφε μονάδος, ϗ εἰ βούλεται μὴ εἶναι ποιόν, οὐ συγχωρεῖ ποιότητος αἴτιον εἶναι, διαφέρει ϗ πρὸς ἐκείνους ϗ πρὸς τάληθές, ἐπεὶ ϗ δυὰς ἡ ἄριστος ποσότητος ἂν εἴη μᾶλλον αἰτία, οὐ ποσοῦ ϗ ποιοῦ. ἥκει δὲ πάλιν αὕτη ἡ ὑπόληψις ἀπὸ τοῦ νομίζειν μηδὲν εἶναι ἓν τρία παρὰ τὰς τρεῖς μονάδας· τῷ γὰρ ὄντι εἰ τοῦτ' εἶχεν οὕτως, ἡ τὸ ποσὸν γεννῶσα δυὰς ϗ τὸ ποιὸν παρῆγε· νυνὶ δὲ ἡ μὴ τὰς ἀπείρους γεννᾷ μονάδας, ἡ δὲ κρείττων ἀρχὴ τοῖς εἴδεσιν αὐτὰς καταλαμβάνει ϗ διαμορφοῖ. εὖ δὲ αὐτοὺς ἀπαιτεῖ λέγειν μὴ μόνον ὅτι διαφέρουσιν αἱ μονάδες, ἀλλὰ τίς ἡ μονάδος διαφορά. ϗ εἰρήκασί γε οὐ τῶν ὑποβεβλημένων τῷ ἀριθμῷ μονάδων διαφοράν (οὐδὲ γὰρ εἶναι βούλονται), ἀλλὰ τούτων τε ϗ τῆς ἀρχηγικῆς αὐτῶν αἰτίας. ὅταν μὴ γὰρ λέγωσι μονάδα εἶναι ποσοῦ τὸ ἐλάχιστον ἢ ποσοῦ τὸ πρῶτον ϗ κοινὸν μέρος, τὴν συνεγνωσμένην ὁρίζονται· ὅταν δὲ λέγωσι μονάδα εἶναι εἰδῶν εἶδος, τὴν ἀρχηγικὴν αὐτῶν αἰτίαν ἐνδείκνυται τὴν πάντων ἐν ἑαυτῇ τὰ εἴδη τῶν ἀριθμῶν προειληφυῖαν, ἣν ϗ οἱ ἀπὸ τῆς Στοᾶς ἓν πλῆθος οὐκ ὤκνουν καλεῖν· ἐπεὶ ϗ ὅταν περὶ τῶν θείων μονάδων διαλέγωνται, ἄλλως μὴ τὴν νοητὴν ἀφορίζονται μονάδα, ἀφ' ἧς ὁ πρώτιστος πρέσεισιν ἀριθμὸς "μονάδος ἐκ κευθμῶνος ἀκηράτου", ἄλλως δὲ τὴν νοερὰν ϗ δημιουργικήν, ἣν ϗ Δία καλεῖν ἠξίουν, περὶ ὧν πολλοὶ μὴ τῶν πρεσβυτέρων, πολλοὶ δὲ ϗ τῶν νεωτέρων διελέχθησαν, σαφέστατα δὲ ὁ θεῖος Ἰάμβλιχος ἐν ἑβδόμῃ βίβλῳ τῆς τῶν Πυθαγορείων δογμάτων συναγωγῆς. εἰ δέ τις αὐτῷ τῷ Πυθαγόρου Ἱερῷ λόγῳ παρακολουθεῖν δύναιτο, πάσας εὑρήσει τάξεις ἐκεῖ τῶν τε μονάδων ϗ τῶν ἀριθμῶν ἀπαραλείπτως ὑμνουμένας. ἔχομεν οὖν παρ' αὐτοῖς ϗ τὴν ἀνάγκην τοῦ διαφέρειν ἀλλήλων τὰς μονάδας (καθ' ἑκάστην γὰρ πρόοδον ἀνάγκη τὴν ἐξηγουμένην τῆς τάξεως ἐκείνης μονάδα πληθύνεσθαι μᾶλλον τῶν πρὸ ἑαυτῆς), ϗ τίνας αὐτῶν οἴεσθαι χρὴ τὰς διαφορὰς εἶναι· ὅσαι γὰρ ϗ οἷαι τῶν ὄντων, τοσαῦται ϗ τοιαῦται ϗ τῶν ἀρχηγικῶν μονάδων αἱ διαφοραί. "ὅτι μὴ οὖν ... τρόπον". 1083a 17.
εἰ μὴ ἀριθμοὶ μοναδικοὶ εἶεν αἱ ἰδέαι, πᾶσαι τῶν μονάδων αἱ ὑποθέσεις ἐπ' αὐτῶν ἐλέγχονται· κἄν τε γὰρ ἀδιάφοροι ὦσιν αὐτῶν αἱ μονάδες, πολλὰ τὰ ἄτοπα (οὐδὲν γὰρ διοίσει τοῦ μαθηματικοῦ ἀριθμοῦ ὁ εἰδητικός), κἄν τε διαφέρουσαι, πλασματώδης ὁ λόγος, κἂν αἱ μὴ οὕτως αἱ δὲ ἐκείνως ἔχειν ὑποτεθῶσιν. εἰ δὲ μὴ μοναδικὸν εἶναί τις λέγοι τὸν τῶν ἰδεῶν ἀριθμόν, ὑπ' οὐδενὸς τῶν ὑπ' αὐτοῦ ῥηθέντων ἐνοχληθήσεται· οὐδὲ γὰρ ὅλως εἴρηταί τι πρὸς αὐτόν. "ἀλλὰ ... τὸ ἕν". εἴπερ εἴεν τινες 1083a 20.
ταῦτα λέγοντες, δικαίως ὑπ' αὐτοῦ κακίζονται. ἀλλὰ μήποτε τῷ μὴ τῶν ἰδεῶν ὀνόματι οὐ κατεχρῶντο, διὰ δὲ τῶν μαθηματικῶν ὀνομάτων περὶ τῶν θείων οὐσιῶν ἠνίττοντο· πῶς γὰρ ἂν τὸ ἓν ϗ τὸν ἀριθμὸν προέταττον τῶν ὅλων, εἰ μὴ τὸ ὑπερούσιον ἓν ϗ τὰ ὄντως ὄντα ϗ τὸν τῶν ἰδεῶν προσεκύνουν διάκοσμον; ὁ δ' οὖν Ἀριστοτέλης ἀκόλουθα τῇ ἑαυτοῦ ὑποθέσει ϗ ταῦτα γράφει· "ἄτοπον ... πάντα ἐστίν. καλῶς ὁρᾷ 1083a 24.
τὴν πρὸς ἑαυτὸ τοῦ δόγματος συμφωνίαν· εἰ γὰρ εἰσὶν ἑνάδες καθ' ἑκάστην τάξιν τῶν ὄντων ἡγεμονικὴν ἀξίαν ἔχουσαι, ϗ πᾶσαι προεληλύθασιν ἀπὸ τοῦ ἑνὸς τοῦ ὑπερουσίου ϗ πάντων ἐξῃρημένου, δεῖ τὸν εἰδητικὸν εἶναι ἀριθμόν. "εἰ μὴ ... ἀλλήλους". ὁ μὴ 1083a 27.
οὖν πᾶς λόγος τοιοῦτος· εἰ ὁ μαθηματικός ἐστι μόνος ἀριθμός, οὐκ ἂν εἴη τὸ ἓν ἀρχὴ τῶν πάντων· εἰ δέ ἐστι τὸ ἓν ἀρχή, κρατεῖ Πλάτων, ϗ ἔστιν ὁ εἰδητικὸς ἀριθμός, ϗ διαφέρει ἕτερος ἑτέρου τῇ οὐσίᾳ. ἡμέτερον δὲ λοιπὸν ἂν εἴη δεικνύναι ὅτι τὸ ἓν ἀρχὴ τῶν ὅλων, ὃ μήτε νοῦς μήτε ὂν μήτε ἀριθμὸς ὑπάρχον μήθ' ὅλως ὑπάρχον ἀλλ' ἐξῃρημένον ϗ αὐτῆς τῆς ὑπάρξεως ϗ τοῦ εἶναι πάντων ἐστὶν αἴτιον ἀγαθῶν ϗ πᾶσιν οὐσίαν ϗ ἑνω-

1 ὅτως pr *H*. ‖ τὰ ante προβλ. om *H*. ‖ 2 ἐφ' ᾧ . . . ἐπέκρινε] *et ubi diuisit et ubi respondet β*. ‖ ἀφ' ᾧ *H*. ‖ διεῖδεν *C*. ‖ εὖ] ᾧ *BHβ*. ‖ 4 καὶ ante πολλ. om *β*. ‖ ὁ πέντε] *quinarius β*: πέντε *BH*. ‖ 5 τῷ ἐν δέκα *A* τῷ ἑνδεκα *H*. ‖ 8 τις] τὶ (*A*)*H*. ‖ ἐπινοεῖν *H*. ‖ 11 ἐν τοῖς om *A*. ‖ 13 αἱ ἀριθμηταὶ *C* αἱ (οἱ *Aβ*) ἀριθμοὶ καὶ *AHβ*. ‖ ἀρχὰς *H*. ‖ 15 καὶ εἰ] ἐπεὶ *β*. ‖ 16 *differt et ut ad illos et ut ad ueritatem β*. ‖ καὶ πρὸς ἐκείνους om *H*. ‖ 18 necessario scribendum οὐ ποσὸν ἢ ποιόν. ‖ 20 ὅτι τὸ τοῦτ' *H*. ‖ 22 καταλαμβάνει] *concludit β*. ‖ 23 λέγει *H*. ‖ 24 ἡ μονάδων διαφ. *β*, quem sequerer, nisi ap. Aristotelem legeretur διοριστέον περὶ μονάδος διαφορᾶς. ‖ 26 τοῦτο τε *H*. ‖ 30 ἐνδείκνυται *H*. ‖ 31 cf. Iambl. l. IV (arithm.) p. 12a Tenn. ‖ 32 διαλέγονται *H*. ‖ 33 ἀφ' ἧς . . . 34 ἀκηράτου] cf. p. 893a19. ‖ 34 μονάδος *BH*. ‖ ἀκράτου (*A*)*H*. *ex latebra aeterna β*. ‖ 36 καὶ post δὲ om *Aβ*.

1 ἑβδόμῃ *H*: ζ̄ *B*. ‖ 4 ἀπαραλήπτως *H*. ‖ 6 καθεκά γὰρ cum hiatu *H*. ‖ πρόοδος (*A*)*H*. ‖ 10 τρόπον] τόπον *H*. ‖ 12 *redarguerentur β*. ‖ 12 κἄν τε *B* κάνται *H*. cf. ad p. 899a32. ‖ 13 τοῦ μοναδικοῦ ἀρ. *β*. ‖ 14 διαφέρουσα *H*. ‖ 16 μὴ om *H*. ‖ λέγει *H*. ‖ 17 οὐδὲν γὰρ *β*. ‖ εἴρηταί τι] εἴρηται *BHβ*. cf. Syr. ad N p. 1093b24 al. ‖ 20 *abutebatur β*. ‖ 23 ὄντα τὸν *AH*. ‖ προσεκύνουν *H*. ‖ 24 οὐδ' ἓν ἀρις. *H*. ‖ 25 ὁρᾷ post δόγματος collocant *Aβ*. ‖ 26 εἰσὶν] εἴκοσιν *H* εἴκοσι *B proceedunt* (προΐασιν) *β*. ‖ 28 ἑνὸς τοῦ om *H*. ‖ 30 εἰ . . . 33 οὐσίᾳ ex Alex. p. 744, 7 transcripta. ‖ μόνος ἐστὶ Al. ‖ 31 τῶν om Al. ‖ 32 ἕτερος *β*, Alex.: ἕτερον *C* ἕτερον τοῦ *AH*. correxit Bonitzius. ‖ 35 μήθ' ὅλως ὑπάρχον om *AH* μήθ' . . . . ἐξῃρημένον om *β*. ‖ 36 πάντων om *AHβ*. ‖ ἀγαθὸν *β*.

σιν χορηγεῖ· τούτου γὰρ ἱκανῶς κατασκευασθέντος ἔοικε συγχωρήσειν ὁ Ἀριστοτέλης πᾶσι τοῖς γνησίοις τοῦ Πυθαγόρου καὶ τοῦ
1083a 35. Πλάτωνος δόγμασιν. "ἂν δ' αὖ ... συμβαίνει". οὐδὲν μὴν ὅν, εἰ ὀρθῶς τις αὐτὰ καὶ κατὰ νοῦν ὑπόθοιτο τῶν ἀρχαίων φι-
1083a 36. λοσόφων. "ἀλλὰ μὴν ... χωριστόν". εἰ χωριστός, φησίν, ἐστὶν ἀριθμός, ἀνάγκη ἢ τὸν μαθηματικὸν εἶναι πρῶτον ἢ τὸν εἰδητικόν· εἰ δὲ μηδετέρως ἐγχωρεῖ, ἀναιρεῖται καὶ τὸ ἡγούμενον. ἀλλ' οὔτε τὸ συνημμένον ὑγιὲς πάντῃ (εἰσὶ γὰρ καὶ πρὸ τοῦ εἰδητικοῦ ἄλλοι ἀριθμοί), οὔθ' ἡ πρόσληψις ἀποδέδεικται οὐδ' ἂν ἀπο-
1083b 1. δειχθείη ποτέ. "φανερὸν ... λέγειν". τοὺς μὲν δύο φησὶ ποιεῖν ἀριθμοὺς καὶ διακρίνειν αὐτούς, ὥσπερ Πλάτωνα (σαφῶς γὰρ τὸν μαθηματικὸν ἕτερόν φησιν εἶναι τοῦ εἰδητικοῦ), τοὺς δὲ ἕνα τὸν μαθηματικόν, ὥς τινας τῶν Πυθαγορείων, τοὺς δὲ γινώσκειν ἀμφοτέρους, ἕνα δὲ ποιεῖν αὐτούς· αἰνίττεται δὲ Σπεύσιππον ἴσως καὶ Ξενοκράτην, οὓς καὶ χειρίζης ὑποθέσεώς φησι προεσάναι, καὶ δι' ἃς αἰτίας σαφῶς λέγει· προείπομεν δὲ καὶ ἡμεῖς περὶ τούτων ὅτι εἰ καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἐκέχρηντο, ἀλλ' ὧν ἤδεσαν κατ' εἴδη διάκρισιν τῶν διαφόρων ἀριθμῶν, ἐπεὶ καὶ ἄλλως ὁ τοὺς ἀριθμοὺς τούτους μὴ διακρίνων ἀλλὰ συγχέων τόν τε εἰδητικὸν ἀριθμὸν ἔχοντα ἐν ἑαυτῷ τὸν μαθηματικὸν ἀριθμὸν ὑποσάτην τῶν ὅλων ποιεῖ αὐτὸν τὸν μαθηματικόν, τῷ τε * καὶ ποιητῇ τῶν πάντων ἀριθμητικὴν ἕξιν περιτίθησιν·
1083b 8. ὧν τί ἂν εἴποι τις ἀπιθανώτερον; "ὁ δὲ ... ἀδύνατόν ἐστιν". κατὰ μὲν τὸ ἀληθὲς θεωρία Πλάτωνός ἐστι καὶ Πυθαγόρου*) καὶ τῶν γνησίως τὰ παρ' αὐτῶν ὑποδεξαμένων δόγματα περὶ τῶν ἀριθμῶν· οὗτος δὲ ὑποδιαιρεῖ, καὶ περὶ ὃ διέτριψαν ἕκαστοι, τοῦτο μόνον αὐτούς φησι πρεσβεύειν. ἀμέλει τοὺς Πυθαγορείους ὡς μὲν ἀχωρίστους τῶν αἰσθητῶν φάσκοντας εἶναι τοὺς ἀριθμοὺς ἐπαινεῖ· ὅτι δὲ συγκεῖσθαί φασι καὶ δημιουργεῖσθαι τὰ σώματα ἐξ αὐτῶν, ταύτῃ μέμφεται. ἔστι δὲ ὁ ἔπαινος ψευδὴς καὶ χείρων τῆς μέμψεως· μᾶλλον δὲ ἄμφω μὲν ψευδεῖς, καὶ ὁ ἔπαινος καὶ ὁ ψόγος, ἀλλ' ὁ μὲν ἐπὶ μηδὲν αὐτοῖς προσηκούσῃ γέγονεν ὑποθέσει, ὁ δὲ ἐπὶ ἀληθεῖ· δῆλον δὲ πότερος ἐπὶ ποτέρᾳ. τίς γὰρ οὐκ ἂν γελάσειεν ἀκούων ὅτι οἱ Πυθαγόρειοι χωριστοὺς ἀριθμοὺς οὐκ ἤδεσαν; αὐτοῦ μὲν Πυθαγόρου διχῶς εἰωθότος ὁρίζεσθαι τοὺς ἀριθμούς, καὶ διὰ τοῦ ἑκατέρου μὲν τῶν ὅρων τὸ πάντῃ χωριστὸν αὐτῶν καὶ ἄχραντον ἐνδεικνυμένου, διὰ δὲ τοῦ ἑτέρου καὶ τὸ δημιουργικὸν αὐτῶν καὶ προνοητικόν τε καὶ φροντιστικὸν τῶν ὅλων ἀναδιδάσκοντος (ὅταν μὲν γὰρ ἔκτασιν καὶ ἐνέργειαν τῶν ἐν μονάδι σπερματικῶν λόγων εἶναι φῇ τὸν ἀριθμόν, τὸν ἀπὸ τῆς οἰκείας ἀρχῆς αὐτογόνως καὶ αὐτοκινήτως προεληλυθότα καὶ τὸν ἐν ἑαυτῷ ἱδρυμένον καὶ ἐν εἴδεσι παντοίοις ἀφωρισμένον παραδίδωσιν· ὅταν δὲ τὸ πρὸ πάντων ὑποσὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηρθρωμένα, τὸν παραδειγματικὸν καὶ ποιητὴν καὶ πατέρα θεῶν τε καὶ δαιμόνων καὶ τῶν θνητῶν πάντων ἀριθμὸν ἀνυμνεῖ)· τῶν δὲ περὶ Ἵππασον ἀριθμὸν εἶναι λεγόντων παράδειγμα πρῶτον κοσμοποιίας, καὶ πάλιν κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον, Φιλολάου δὲ διοχυριζομένου τὸν ἀριθμὸν εἶναι συνοχὴν τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν αὐτογενῆ καὶ κρατιστεύουσαν, ἁπάντων δὲ ὡς εἰπεῖν τῶν ἄλλων Πυθαγορείων κατ' ἴχνη ταύτης τῆς θεωρίας τὴν περὶ τῶν ἀριθμῶν ὑπόληψιν διαρθρωσάντων. εἰ δὲ ὅτι καὶ τὰ σώματά φασιν ἐκ τῶν φυσικῶν ἀριθμῶν ἐσχηκέναι τὴν ὑπόστασιν, διὰ τοῦτο ἢ περὶ μόνων ἀχωρίστων αὐτοὺς οἴοιτό τις διαλέγεσθαι ἢ καὶ μεγέθη διδόναι τοῖς ἀριθμοῖς, δῆλός ἐστιν ἑκὼν ἢ ἄκων τὴν μὲν ὅλην αὐτῶν διδασκαλίαν παρατρέχων, τὰ δὲ τελευταῖα τῆς ἀριθμητικῆς αὐτῶν θεωρίας ἐπὶ τὸ χεῖρον ἐκλαμβάνειν πειρώμενος· οὔτε γὰρ περὶ μόνων τῶν φυσικῶν ἀριθμῶν οἱ ἄνδρες διαλέγονται, οὔτε φύρουσιν εἰς ταὐτὸ τὸν φυσικὸν καὶ μαθηματικόν, οὔτε μέγεθος διδόασι τοῖς τῶν μεγεθῶν αἰτίοις ἀριθμοῖς. ὁ δὲ ὡς τούτων οὕτως ἐχόντων καὶ τὰ ἑξῆς περαίνει. "οὔτε γὰρ ἄτομα
1083b 13. ... ἀριθμῶν". ἃ μὲν λέγουσιν οἱ ἄνδρες, ἀνέλεγκτά ἐστι καὶ διαμένει τὸν σύμπαντα χρόνον· τὸ γὰρ ἀληθὲς οὐκ ἐλέγχεται κατὰ τὸν θεῖον Σωκράτην. τὰ δὲ νῦν ἐλεγχόμενα παντὶ μᾶλλον ἢ τοῖς Πυθαγορείοις προσήκει· οὔτε γὰρ τὸν ἀριθμὸν δι' οὗ μετροῦμεν τὰ αἰσθητὰ τῶν αἰσθητῶν αἴτιον εἶναι λέγουσιν, εἰ καὶ θεωροῖεν εἰκόνας

*) Ἐκ τῶν Ἰαμβλίχου ὁρισμὸς Πυθαγόρου· ἀριθμός ἐστιν ἔκτασις καὶ ἐνέργεια τῶν ἐν μονάδι σπερματικῶν λόγων· ἢ τὸ πρὸ πάντων ὑποσὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηρθρωμένα.

4 εἰ om *H*. ‖ ὑποθοῖτο (*A*)*H*. ‖ 5 ἐστὶν *CH*: ἐστὶν ὁ *A*. ‖ 10—16 προεσάναι ex Alexandro p. 744, 13 petita. ‖ 11 αὐτὰς ὡς πλάτωνα *H*. ‖ 12 γὰρ οὗτος τὸν Al. ‖ 13 τῶν μαθηματικῶν *H*. ‖ 15 ξενοκρά *H*. ‖ 16 cf. p. 880 a20—37. 902 a9. 14 cet. ‖ 17 ὅτι om *β*. ‖ 21 ante ἀριθμὸν deesse uidetur τόν τε μαθηματικόν. ‖ *uniuersorum constitutorem facit et factori omnium materialem habitum circumponit β*. ‖ αὐτὸν (ἑκτὸν *C*) τὸν μαθηματικὸν om *AHβ*, seclusit Brandisius. ‖ 22 ante καὶ hiatum notaui, intercidit παραδείγματι (cf. b13) uel πρώτῳ. ‖ 24 *speculatio Pythagoricorum est et Pythagorae et eorum qui — β*. deest ἡ αὐτή. ‖ 30 ταύτῃ] ταῦτα *H*. ‖ 31 ψευδὴς (*A*)*H*.

32—35 scholion ad l. 24 adscriptum ex solo *H* (p. 179) edo; idem in *A* quoque legi eo intellegas, quod ei spatium certe Brandisius in apographo reliquit. fons et scholiastae et Syriano b4—19 Iamblichi l. IV (arithm.) p. 11 Tennul. fuit. Ceterum codicis *H* haec uitia correxi: 32 ἐστι. ‖ 33 τῶν ἐκ μονάδων. ‖ λόγον $\overline{\beta}$· ἢ. ‖ ὑποσᾶν. ‖ 34 καὶ μία τάξιν ἀλύτου διηριθμημένην:

1 ἐπεὶ μηδὲν (*A*)*H*. ‖ ὑποθέσεως (*A*)*H*. ‖ 2 δῆλον δὲ om *H*. cf. ad p. 897 a18. ‖ 4 διὰ τοῦ ἑκατέρου μὲν *C*: διὰ μὲν τοῦ ἑνὸς *AHβ* et sic edidit Brandisius. possis διὰ τοῦ ἑτέρου μὲν cl. l. 7 sqq., sed sanum uidetur quod *C* testatur. ‖ 9 φησὶ *AH*. ‖ 10 τὸν ἑαυτῷ *AH*. ‖ 12 καὶ μένει om *β*. ‖ 13 ποιητήν τε καὶ *A* ediditque Brandisius. ‖ 15 ἀριθμὸν om *AHβ*. ‖ 15 sqq. cf. p. 902 a29. ‖ 20 κατ' ἴχνη *Hβ*: καὶ ἴχνη *B* et sic edidit Brand. ‖ περὶ om *Aβ*. ‖ 25 τελευταῖα] suspicor τελεστικά. ‖ 27 μόνον *H*. ‖ 28 φύρουσιν (*A*)*H*: φέρουσιν *Cβ*. ‖ ταὐτὸ τὸν] ταὐτὸν *BH*. ‖ 31 ἀνέλεκτα *H*. ‖ 32 τὸ γὰρ . . . Σωκράτην] cf. ad p. 878 b25. ‖ 35 αἴτια εἶναι *H*.

ἐν αὐτῷ τοῦ φυσικοῦ ἀριθμοῦ (ὥσπερ ἐν τῷ βωμίσκῳ τῷ διακόσια δέκα σώματος ἰδέαν ἐμφαίνεσθαι διεχυρίζοντο, ἐν δὲ τῷ $\bar{\alpha}$ πυρὸς ἰδέαν, ἀέρος δὲ ἐν τῷ $\bar{\gamma}$ καὶ τῆς γῆς ἐν τῷ $\overline{\kappa\zeta}$ καὶ ὕδατος ἐν τῷ $\bar{\theta}$· ταῦτα γὰρ κατά τινα ἀναλογίαν αὐτοῖς ἐλαμβάνετο πρὸς ἔνδειξιν δυνάμεων φυσικῶν)· ὅτε τὰς μονάδας ἐν αὐτῷ ἢ μέγεθος ἔχειν ᾤοντο ἀδιαίρετον ἢ ὅλως ἐνυπάρχειν τοῖς αἰσθητοῖς· ἀλλ' ὅταν μὴ ἀδιαίρετα μεγέθη λέγωσιν, ἐπὶ τοὺς αἰτίους τῶν μεγεθῶν ἡμᾶς λόγους ἀναπέμπουσι καὶ ἐπὶ τὴν παραδειγματικὴν αἰτίαν τῶν μεγάλων, ἣν αὐτομέγεθος εἴωθε καλεῖν ὁ μέγας τῷ ὄντι Πλάτων· ὅταν δὲ τὰς μονάδας μέγεθος ἔχειν, τὴν ἐπὶ πάντα διατείνουσαν δύναμιν τῶν δημιουργικῶν ἀνυμνοῦσι μονάδων· ὅταν δὲ μέγεθος ἐξ ἀδιαιρέτων ὑφίστασθαι, οὐχ ὅτι συνελθόντα τὰ ἄτομα καὶ οἱονεὶ συμπαγέντα ποιεῖ τὰς διαστάσεις φασί (τοῦτο γὰρ τὸ Δημοκρίτειον δόγμα καὶ ταῖς γεωμετρικαῖς καὶ πάσαις ὡς εἰπεῖν ταῖς ἐπιστήμαις ἀντιφθέγγεται), ἀλλ' ὅτι τῶν ἀδιαιρέτων ὅσα μέν ἐστιν εἴδη νοερὰ καὶ ἄχραντα δημιουργικά τε καὶ ζωογόνα, ταῦτα μὴ ἐξιστάμενα ἑαυτῶν τά τε ἄλλα καὶ τὸν τῶν σωμάτων ὄγκον ἐν ἑκάτοις ὑφίστησιν· ὅσα δὲ φυσικὰ καὶ ῥέπει ταῖς ἐνεργείαις εἰς ὕλην, ταῦτα καίπερ ἄογκα καὶ ἀσώματα ὄντα ὅμως τῆς σωματικῆς ἐπισυστάσεως αἴτια τρόπον τινὰ συνόντα τοῖς σώμασι καὶ διὰ τοῦτο καὶ ἀχώριστα τῶν σωμάτων δυνάμενα λέγεται. ἐκ δὲ σωμάτων σῶμα δημιουργεῖται ἀπεγίγνωσκον διὰ πολλὰς αἰτίας· ὡς' εἴπερ ἀληθὲς τοῦτο, πᾶσά ἐστιν ἀνάγκη τὰ σώματα ἐξ ἀδιαιρέτων ἔχειν τὴν ὑπόστασιν, οὐ μέντοι συγκεῖται ἐξ ἀδιαιρέτων οὐδ' ἀναλύεται εἰς ἀδιαίρετα εἰ μὴ παρὰ τῷ λόγῳ.
10836 19. "εἰ τοίνυν ... αὐτόν". ἡ μὲν ἀγωγὴ συλλογιστική, τὸ δὲ συνημμένον οὐχ ὑγιαίνει· πάντας γὰρ μοναδικοὺς ὑπεθέμεθα τοὺς ἀριθμοὺς καὶ τὰ ἑνὸς ἴδια ἐπὶ πάντας ἠνέγκαμεν, εἶθ' ὅτως ἐδόξαμέν τι λέγειν πρὸς αὐτούς. καὶ οἱ μὲν παλαιοὶ καὶ μακάριοι ἄνδρες καὶ τὰ ἄτακτα διὰ τῶν ἀριθμῶν ἔλεγον τάττεσθαι· ἡ δὲ πρὸς αὐτοὺς ἀντιλογία καὶ τὰ περὶ τῶν ἀριθμῶν θεῖα νοήματα συγχεῖ καὶ ἐπιταράττει. "ἔτι ... μονάδος". ὁ ἀπορεῖ τοιοῦτόν ἐστιν. ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος τά τε ἄλλα γεννῶσι καὶ τὰς μονάδας. ἐπεὶ οὖν ** ἐν τῇ ἀορίστῳ δυάδι, λέγω δὴ τοῦ τε μεγάλου καὶ τοῦ μικροῦ, εἰ αἱ μὲν ἐκ τοῦ μεγάλου αἱ δὲ ἐκ τοῦ μικροῦ, οὐκ ἀπὸ πάντων ἑκάστῳ τῶν στοιχείων οὐδ' ἴσαι αἱ μονάδες, ἀλλὰ πρὸς τῷ διάφοροι εἶναι καὶ ἐναντίωσιν ἕξουσι πρὸς ἀλλήλας, εἴ γε αἱ μὲν μεγάλαι αἱ δὲ μικραὶ ἔσονται· ἥ τε τριὰς πόθεν ἕξει τὴν τρίτην μονάδα, ἀπὸ τοῦ μεγάλου ἢ ἀπὸ τοῦ μικροῦ; εἰ μὴ ἄρα διὰ ταύτην, φησί, τὴν ἀπορίαν τὸ ἓν ἐν τῇ τριάδι καὶ παντὶ τῷ περιττῷ μέσον ποιοῦσιν, ἵνα ἴσαι ὦσιν αἵ τε ἐκ τοῦ μεγάλου γιγνόμεναι καὶ αἱ ἐκ τοῦ μικροῦ μὴ μόνον ἐν ἀρτίῳ ἀλλὰ καὶ ἐν περιττῷ ἀριθμῷ. εἰ δὲ ἑκάστῳ μονὰς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ** δῆλον γὰρ ὅτι καὶ εἰ ἡνώθη ὕστερον ἰσασθέντα, ἀλλ' ὅν ἦν πρὸ τῆς ἑνώσεως δύο. ἔπειτα δὲ τί διοίσει μονὰς δυάδος; εἰ γὰρ ἐν τῇ μονάδι δυάς ἐστιν ἰσασθεῖσα καὶ ἡ δυὰς αὐτὸ τοῦτο λέγεται δυὰς εἶναι, τί διοίσουσιν ἀλλήλων; τοιαῦτα δὴ προτείναντος τοῦ Ἀριστοτέλους τὴν μὲν ἀόριστον δυάδα, εἴτε τὴν πρώτην εἴτε τὴν νοερὰν εἴτε τὴν ψυχικὴν εἴτε τὴν φυσικὴν εἴτε καὶ αὐτὴν τὴν ἐν τῇ ὕλῃ θεωρουμένην τις ἐπισκέπτοιτο, οὐδέποτε φήσομεν μεμερισμένως ἐνεργεῖν ἢ πάσχειν κατὰ τὸ μέγα καὶ τὸ σμικρόν, ἀλλ' ἑκάστῳ τῶν γεννωμένων ὑπ' αὐτῆς καὶ τὸ μέγα συνεισφέρειν καὶ τὸ σμικρὸν οἰκείως ἐν ἑκάστῃ τάξει τῶν ὄντων· τὰς δὲ μονάδας, εἰ μὲν τὰς ἐν τῷ μαθηματικῷ σκέπτοιτο νῦν ἀριθμῷ, ἐπεὶ μηδὲ

10836 23.

1 διακόσια δέκα cod. Paris. Alexandri p. 745, 20, $\overline{\sigma\iota\nu}$ libri Syr. ad N 1092 b 8. Arulae cur hunc maxime numerum (210) corporis ideam esse uoluerint, non perspicio. nam neque minima est earum quae quidem ex integris numeris efficiatur (uidetur esse 19), et ipsa ut constituatur, uariae eodem iure adhiberi possunt rationes. constituitur enim, siue altitudinem sumis 5 basin 2×36 cacumen 1×18, siue altitudinem 5 basin 4×24 cacumen 1×6, siue altitudinem 10 basin 2×18 cacumen 1×9, siue altitudinem 10 basin 4×12 cacumen 1×3. quarum rationum etsi nouissima numeris efficitur simplicioribus, tamen ne hanc quidem cur Pythagorei illi elegerint, satis patet. ceterum in indagandis numeris operam gratissimam Lipschitzius collega mihi praestitit. || 2 διεχυρίζετο *BH affirmabatur β*. || ἐν δὲ τῷ πυρὸς οἷον τῷ ἄ *BH ignis uero ut in uno β*. ἐκ δὲ τοῦ ἕνδεκα τὸ πῦρ Alex. De igne cf. theol. arithm. p. 7 Ast. || 3 γῆς ἐν τῷ $\overline{\zeta}$ *BHβ*: restitui cubum ternarii. fort. καὶ τῆς ... $\overline{\kappa\zeta}$ post 4 τῷ $\bar{\theta}$ collocanda. || 4 nouenarium ὠκεανὸν dictum esse theol. ar. p. 57 et Nicomachus Photii p. 144 b 39 perhibent. || 7 ἀδιαίρετα τὰ μεγέθη *H*. || 10 Plat. Parmen. p. 150 C. || 11 ἔχῃ τὴν *A*. || 14 ποιεῖν *BHβ*. || *diuisiones dicunt β*. || 17 τε om *A*. || 18 ἑαυτῶν *H* αὐτῶν *C* ἐξ αὐτῶν *A*. || 20 ὁμοίως *A*. || 23 ἀπεγίνωσκον *H negauerunt β*: ὑπεγίγνωσκον *B*. || 24 ἀνάγκη σώματα *A*. || 28 ὑπεθέμεθα κτλ. scil. Aristoteles. sed uereor ne Syrianus ὑποθέμενος ... ἐνεγκάμενος ... ἔδοξέν τι scripserit.

1 ἀδοξαμέντοι *H*. || 3 ἡ δὲ *Cβ*: εἰ δὲ (*A*)*H*. || 5 ἐπιταράττειν *H*. || 7 γεννῶσι *H*. || hiatum notaui. fort. intercidit αἱ μονάδες γίγνονται ἐκ τῶν —. nam in breuius Syrianus contraxit, quae Alexander p. 746, 6 fusius explicat. || 8 λέγω δὲ *B scilicet β*. || τοῦ ante μικροῦ om *A*. *parui, haec sunt, scilicet magnum et paruum β*. || *Si haec quidem β*, cf. Alex. p. 746, 10: ἢ αἱ μὲν *BH*. || αἱ μὲν ἐκ τοῦ μικροῦ (omissis ἐκ τοῦ μεγάλου αἱ δὲ) *H*. || 10 διάφορον *H*. || ἐναντιώσεις Alex. || 11 εἴγε αἱ μὲν *C*, Alex.: εἴ γε μὲν *H* ἔτι γε μὲν *A amplius hae quidem β* ἔτι εἴ γε αἱ μὲν edidit Brandisius. || 15 καὶ ἐκ (αἱ om.) *AH*. || 16 ἐν ἀρτίῳ *CHβ*: ἀναρτίῳ (*A*). || ἐν τῷ περιττῷ *AH*, Brandisius. || εἰ δὲ *CHβ*: ἐδὲ *A*, Brandisius. || 17 *ex magno β*, cf. Alex. p. 746, 27: ἐκ τῆς τοῦ μεγάλου *BH*, Brandisius. || καὶ τοῦ μικροῦ *AH*. || hiatum notaui ex homoeoteleuto ortum, fort. sic explendum cl. Alex. μικροῦ [ἐστιν ἴσων ἀλλήλοις γενομένων ἐν τῇ κράσει, πρῶτον μὲν ἡ αὐτοδυὰς πῶς ἔσαι μία καὶ ἁπλῆ φύσις ἐκ δυοῖν ὅσα τοῦ μεγάλου καὶ μικροῦ]; δῆλον —. || καὶ εἰ] καὶ ἡ (*A*) καὶ *CHβ*, Brandisius. εἰ καὶ Alex. || 18 ἔπειτα τί Alex. || 19 εἰ] ἐπεὶ Alex. || 21 δὴ] δὲ *A* om *β*. || 24 τίς (*A*)*H*. || μεμερισμένην *A*. || 25 item 26 μικρὸν (*A*)*H*. || 26 γενομένων (*A*)*H*. || καὶ μέγα (om. τὸ) *AH*.

ἄλλας ἐθέλει προσποιεῖσθαι, παράγεσθαι μὴ ἀπὸ πασῶν τῶν ἀρχῶν καὶ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, οὐ μέντοι διῃρημένως ἐν ἑαυτοῖς τὸ μέγα ἢ τὸ μικρὸν οὐδ' ἐχηκέναι ποτέ, ἵνα καὶ διαπορήσωμεν τί διοίσει μονὰς ἑκάστη τῆς αὐτοδυάδος. ἀλλ' εἶναι ὡς μὴ πρὸς τοὺς ἀριθμοὺς τούς τε ἄλλους καὶ τὴν δυάδα ἀνειδέους καὶ ἀπείρους, κατέχεσθαί γε μὴν ἰνδαίμματι καὶ αὐτὰς τοῦ ἑνός· εἰ δὲ περὶ μονάδων λέγοι τῶν αὐλῶν (ἕξεσι γὰρ οὐ μόνον ἀριθμοί, ἀλλὰ καὶ μονάδας τὰ εἴδη καλεῖν τὰ νοερά), πολλῷ πλέον ἐρῶμεν ἕκαστον ἀπὸ πασῶν εἶναι τῶν ἀρχῶν, καὶ ἔχειν ἐκ μὲν τοῦ ἑνὸς αὐτὸ τὸ ἑνιαῖον εἶδος καὶ τὸ μοναδικόν, ἐκ δὲ τῆς δυάδος τῆς ἀορίστου τό τε ἀμερὲς καὶ τὸ ἐπὶ πάντα διῆκον ταῖς δημιουργίαις καὶ προνοίαις καὶ ταῖς φρουρητικαῖς δυνάμεσι· τοιαῦτα γὰρ οἶμαι τὰ σμικρὰ καὶ μεγάλα παρὰ τοῖς θείοις ὑποτίθεσθαι
1083b 32. χρή. "ἔτι προτέρα ... δυοποιὸς ἦν". ἡ μονάς, φησί, προτέρα τῆς αὐτοδυάδος **. εἰ δὲ ἡ αὐτοδυὰς ἰδέα, καὶ ἡ πρεσβυτέρα ταύτης ἡ μονὰς ἰδέα· ἐκ τίνος ὧν προῆλθεν; οὐ γὰρ δὴ ἐκ τῆς ἀορίστου δυάδος· ἐκείνη γὰρ καὶ τὰ ἁπλᾶ διπλασιάζει. ἐν δὴ τούτοις οὐ διορίζει μὴ περὶ ποίας λέγει μονάδος, δῆλος δέ ἐστι περὶ τῆς συνεγνωσμένης προτείνων τὴν ἀπορίαν, ἥτις ὅτε ἔστιν ἐν τῷ εἰδητικῷ ἀριθμῷ καὶ ἐν ὑσάτοις τῶν μαθηματικῶν ἀπέρριπται, οὐδὲ τῆς μοναδικῆς δυάδος ἁπλῶς ὅσα πρεσβυτέρα, ἀλλ' ἴσως μὴ γενέσει, οὐσίᾳ δὲ οὐδαμῶς· τοιαῦτα γὰρ τὰ ὑλικὰ αἴτια. παράγεται δὲ καὶ αὕτη καὶ πᾶν τὸ ὑποκείμενον τῶν μαθηματικῶν ἀριθμῶν ἀπὸ πασῶν μὴ τῶν ἀρχῶν, μάλιστα δὲ ἀπὸ τῆς οἰκείας ἑαυτοῖς δυάδος· αὕτη γὰρ διαιρουμένων τῶν ἀριθμῶν εἰς εἶδος μὴ καὶ ὕλην τῆς ὕλης ἐστὶ μᾶλλον ἀρχή, εἰς δὲ ἄρτιον καὶ περιττόν, τοῦ ἀρτίου μᾶλλον ἐξηγεῖται· ταῦτα δὲ ποιοῦσα καὶ πρὸς τούτοις ἄλλα πολλὰ καὶ θαυμαστὰ περὶ τοὺς ἀριθμοὺς εἰκότως δυοποιὸς κέκληται· δυὰς γάρ πως πᾶσα ὕλη καὶ πᾶς ἄρτιος καὶ πᾶς ἑτερομήκης καὶ εἴ τι ταύτῃ
1083b 36. προσήκει τῇ συζυγίᾳ. "ἔτι ἀνάγκη ... ἀριθμόν". ἄφυκτος ἡ διαίρεσις καὶ ἡ αἰτία πάνυ ἐμβριθής· ἐπὶ μὴ γὰρ τῶν αἰθητῶν οὐδέτερον ἀφωρισμένως ἔστιν εἰπεῖν, ἀλλ' ὅτι τὰ μὴ ἐν ἑνὶ χρόνῳ πεπέρανται, τὰ δὲ ἐν τῷ ἀπείρῳ ἄπειρά ἐστιν· ἐπὶ δὲ τῶν ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχόντων, ἐφ' ὧν οὐδὲν δρᾷ χρόνος, ἀνάγκη ἢ τὸ ἄπειρον ἢ τὸ πεπερασμένον παραλαμβάνειν. ῥητέον ὅν ὅτι δυνάμει μὴ ἄπειρα τὰ θεῖα, ἀριθμῷ δὲ χρῆται μὴ πεπερασμένῳ· πόσῳ δέ, οὐκ ἂν εἴποι μερικὴ ψυχή, πλὴν ὅτι τοσοῦτός ἐστιν ὅσον ἴασιν αἱ τούτων ἀρχαὶ καὶ βούλονται παράγειν ἄλλον κατ' ἄλλην τάξιν τῶν ὄντων· εἰ δ' ὅπου μὴ τριαδικὸν ἢ τετραδικὸν ἀριθμὸν ὑποθοίμεθα, ὅπου δὲ ἑβδομαδικὸν ἢ δεκαδικόν, οὐ δήπου κατὰ τὰ ἄλλα τῶν ἀριθμητῶν ὅτως ἀριθμήσαντες τἀκεῖ θεῖα τοσαῦτα εἶναι ἀπεφηνάμεθα, ἀλλ' ἐπειδὴ πάντα τέλειά ἐστι καὶ ἀρχοειδῆ καὶ ἀγένητα καὶ τῶν ὅλων προληπτικά, διαπρέπει δὲ ἄλλη ἰδιότης ἐν ἄλλοις, εἰ καὶ πάντα ἐν πᾶσιν, ἐν οἷς μὴ τὸ πρώτως τέλειον ἐθεωρήθη, τὸν τούτων ἀριθμὸν τριαδικὸν εἶναι λέγομεν· ἐν οἷς δὲ ἀρχοειδῶς πάντα τὰ ἐγκόσμια περιείληπται, τετραδικόν· ἐν οἷς δὲ ἀγενήτως τὰ γενητὰ προνοίας ἀξιοῦται, ἑβδομαδικόν· ἐν οἷς δὲ διακεκριμένως μᾶλλον καὶ ἤδη νοερῶς πάντα προείληπται, δεκαδικόν. καὶ αὕτη μέν ἐστιν, ὡς ἐν ἐλαχίστοις περὶ μεγίστων εἰπεῖν, ἡ σύμπασα αὐτῶν θεωρία. ὁ δὲ Ἀριστοτέλης μιγνὺς πάλιν τὰς μονάδας τὰς συνεγνωσμένας τοῖς ἐκεῖ θείοις ἀριθμοῖς, χαίρει πάντα κυκῶν καὶ ταράττων. "ὅτι μὴ ... ἀεί ἐστι". πρὸς τὸν μα- 1084a 2.
1 ἑκάστου *Hβ*: ἕκασον *B*. ‖ καὶ] καὶ τὸ *BH*. ‖ 2 ἔτι om *β*. ‖ 4 τὸ μικρὸν *H*. ‖ παρ' αὐτοῖς] *apud ipsum β*. ‖ ἢ τὸ *AH*. ‖ 6 ἀποφάσεις ὅτε om *H*. ‖ τὰ πολλὰ μὲν om *β*. ‖ 8 αὐτὴν] *ipsam β*: ταύτην *BH*, quod potest sane ad l. 10 pertinere. ‖ 9 καλοῖεν *Cβ*: καλοῖ ὡς *H* καλῶς *A*. ‖ 10 ταύτην] ταῦτα *BHβ*. ‖ 11 *ostendunt β*: ἐνδείκνυται *BH*. correxi cum Bonitzio. ‖ τὸν] τῶν *H*. ‖ ἀνωμαλίαν *H*. ‖ 13 ὅτι καὶ neglexit *β*. ‖ 14 καὶ ἕτερον γίγν. om *β*. ‖ γίνεται *B*. ‖ 16 τῷ] τῶν *H*. ‖ 18 ὅτε] ὅτε *H* οὐ *β*. ‖ 19 ὑφηγῇ] *putas β*. ‖ εἰωθότα *A*. ‖ 21 καταβάλλονται *H*. ‖ 23 *occasionem β*. ‖ καὶ ante περὶ om *AHβ*. ‖ 25 κἀκεῖνος *H*. ‖ συλλογίζεσθαι *AHβ*. ‖ μὲν om *β*. ‖ 29 μήτε — μήτε — μὴ *β*. ‖ 30 ζητήσειεν ἂν] *iure quaesierit β*. ‖ 31 ἄλλως τε] *Praeterea β*. ‖ 32 ἡ ἀπόστασις *BH*. *cum quo erat ipsis rebellio β*. frequens est uerbi ἀποστέινεσθαι apud Syr. usus (p.878 b23. 892 b9 al.), nominis significatio apud grammaticos (cf. Apollon. π. συντ. p. 113, 5. 20) paullo latius patet.

πρὸς τὴν ἄνδρα, δεικνύναι δὲ ὅτι κἀκεῖ πλῆθός ἐςι· πρὶν δὲ δείξωσιν, ἀναγκαίως ἐζήτων τὴν αἰτίαν τοῦ ἐκεῖ πλήθους, καὶ εὕρισκον ὡς μὲν ἐν τοῖς γένεσι τοῦ ὄντος τὴν ἑτερότητα καὶ τὸ κατ' αὐτὴν μὴ ὂν τοῦ πλήθους ἀρχήν, ὡς δὲ ἐν ταῖς αἰτίαις ταῖς πρωτίσαις τὴν ἀόριςον δυάδα, ἣν Χάος ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ κέκληκε, συντάττων αὐτὴν τῷ Πρωτεῖ (ταύτην γὰρ ἀπονέμει τῇ μονάδι τὴν προσηγορίαν ἐν ἐκείνοις)· ὀρθῶς ἄρα καὶ ταύτην ἐνίςαντο τὴν ζήτησιν καὶ τὴν αἰτίαν παρεδίδοσαν τοῦ πλήθους τῶν ὄντως ὄντων, καὶ ὅτε πρός τι τὴν ἑτέραν ἐποίουν τῶν ἀρχῶν ὅτε τὸν περὶ τῶν αἰθητῶν λόγον πάντῃ παρελίμπανον, ὡς δηλοῖ τὰ Ὀκκέλου μὲν Περὶ τᾶς τοῦ παντὸς φύσιος, ἐξ ὧν τὰ Περὶ γενέσεως καὶ φθορᾶς μονονυχὶ μεταβεβλῆσθαι δοκεῖ, τοῦ Τιμαίου δὲ τὰ πλεῖςα, καθ' ὃν ἡ περιπατητικὴ φι-
1089b 24. λοσοφία τὰ πολλὰ θεολογεῖ. "ἐπὶ .. μία". ἐπὶ τῶν συμβεβηκότων, φησί, καὶ τοῦτο ἄν τις ἀπορήσειε, πῶς οὐκ ὄντα τῶν ὑποκειμένων χωριςὰ πολλά ἐςιν ὅμως· ἐπὶ μὲν τῶν οὐσιῶν συγκεχωρήσθω τὸ πλῆθος ἐκ τοῦ μὴ ὄντος εἶναι· πῶς δὲ τὸ χρῶμα ἐκ μὴ χρώματος; εἶτα ἐφιςὰς λέγει ὅτι "ἀνάγκη μὲν καὶ τὰ συμβεβηκότα ὕλην ἔχειν, ἀλλ' οὐ χωριςήν" φησί "τῶν σωμάτων". μάλιςα δέ φησιν ἐκεῖνο εἶναι ἄπορον, πῶς πολλαὶ οὐσίαι ἐνεργείᾳ εἰσίν. οὐκοῦν ἵνα καὶ ἡμεῖς ἀπὸ τῶν τελευταίων ἀρξώμεθα, ταὐτὰ φαίνεται ζητῶν ἐκείνοις ἄντικρυς· καὶ γὰρ αὐτοὶ περὶ τοῦ πλήθους ἠπόρουν τῶν νοητῶν, ἐν οἷς τὸ δυνάμει καὶ τέλεον ἐξήρηται. καὶ ὅτος μὲν ἐπὶ τῆς ἀπορίας μένει, μήτε τὰ εἴδη δεχόμενος μήτε τὰς ἀρχηγικὰς αἰτίας μήθ' ὅλως ποιητικὴν ἀρχὴν ἐπὶ τῶν ἀιδίων προσιέμενος (διὰ τί γὰρ τοσοῖδε παρ' αὐτῷ οἱ νοῖ καὶ ὅτε πλείους ὅτε ἐλάττους, εἰπεῖν οὐκ ἔχομεν· οὐ γὰρ δὴ διὰ τὰς σφαίρας τὰς ὑπ' αὐτῶν κινουμένας τοσοῖδε οἱ νοῖ· ἀλλ' εἰ ἄρα, ἀνάπαλιν. ἔπειτα κἂν ὅτω τις ἐξ ὑπτίας ἐπιχειρῇ λέγειν, ἀπορήσομεν πάλιν περὶ τοῦ πλή-

θους τῶν σφαιρῶν πόθεν καὶ πῶς τοσαῦτα)· οἱ δὲ πάντων τῶν ἐγκοσμίων μέτρον ἀποθέμενοι παρὰ τῷ δημιουργῷ νῷ καὶ εἰς ταῦτα καὶ εἰς τἆλλα πάντα προβλήματα μετὰ πολλῆς ῥαςώνης καὶ ἀληθείας ἀναςρέφουσι. ἀλλὰ μὴν καὶ τὸ μέσον παρ' αὐτῷ θεώρημα, τὸ τὰς αἰθητὰς οὐσίας ἐκ μὴ τοιούτων γίγνεσθαι, προσίεται μὲν ὁμοίως ἐκείνοις τὸ ὑλικὸν αἴτιον, παραλιμπάνει δὲ τὸ ποιητικὸν καὶ τὸ παραδειγματικόν. ἡ δὲ περὶ τῶν συμβεβηκότων ἐπίςασις λύεται μὲν καὶ παρ' αὐτοῦ· πολλὰ γὰρ εἰ καὶ μὴ τῷ ὑποκειμένῳ τὰ συμβεβηκότα, ἀλλὰ τῷ γε λόγῳ· τελειότερον δὲ ἔςι τὴν ἐμφανῆ δημιουργίαν αἰτιᾶσθαι καὶ τὴν ἑτερότητα τῶν φυσικῶν δυνάμεων καὶ τὴν τῶν ἐνύλων εἰδῶν περὶ τὰ ὑποκείμενα διαίρεσιν. "ἀλλὰ μὴν .. ἐναντιώσεις". πάλαι μὲν 1089b 32.
ἠτιᾶτο τὸ πλῆθος μόνον τῶν οὐσιῶν ζητήσαντας ὁπόθεν ὑπέςη· νυνὶ δὲ οὐδὲ τοῦτο συγχωρεῖν αὐτοῖς ἔοικεν, ἀλλ' ἐπειδὴ περὶ ἀριθμῶν τὰ πολλὰ διαλέγονται καὶ μεγεθῶν, μιᾶς κατηγορίας αὐτοὺς ἔφη τὸ πλῆθος διερευνήσασθαι, οὐχὶ τῆς οὐσίας ἀλλὰ τοῦ ποσοῦ· ἀριθμὸς γάρ, φησί, πᾶς ποσὸν καὶ ἡ μονάς· εἶτα ἐπιςήσας, εἰ μὴ ἄρα, φησίν, ἡ μονὰς οὐ ποσόν, ὅτι μέτρον ἀριθμοῦ καὶ ἀδιαίρετος· εἰ μὲν οὖν, φησί, καὶ αὐτοῖς ἀρέσκει διαφέρειν ποσὸν οὐσίας, περὶ πλήθους ἐζήτησαν μόνου τοῦ κατὰ τὸ ποσόν· εἰ δὲ ταὐτὸν οἴονται εἶναι ποσὸν καὶ οὐσίαν, εἰς ταὐτὸν ἄγουσι συμβεβηκὸς οὐσίᾳ, καὶ ὑποκείμενον *τῷ* ἐν ὑποκειμένῳ, καὶ ὅλως ἐναντιοῦνται τοῖς ἐναργέσι. ῥητέον οὖν πάλιν τὰ αὐτὰ πρὸς αὐτόν, ὅτι πάντα τὰ ὄντα ἀριθμοὺς ἐκάλουν, ζητοῦντες οὖν πῶς τὸ πλῆθος ὑπέςη τὸ ἐν τοῖς ἀριθμοῖς, περὶ τῶν νοητῶν ἐζήτουν ἁπάντων καὶ τῶν αἰθητῶν καὶ τὴν ἁπανταχοῦ δυαδικὴν ἀρχὴν τοῦ πλήθους ἠτιῶντο τοῦ ἑκαςαχοῦ. "ἐπιςήσειε .. ἐλέχθη". μάχεται μὲν ἐν τούτοις 1090a 2.
τῷ τὸν μαθηματικὸν ἀριθμὸν τοῦ αἰσθητοῦ χωρίζοντι καὶ ἰδίαν οὐσίαν αὐτῷ παρέχοντι. θαυμάσειε δ' ἄν τις ὅπως οὐδενὸς αὐτὸν αἴτιον εἶναι νομίζει· καίτοι τίς ἄλλος αἴτιός ἐςι ταῖς

1 δεικνύναι τε β. ‖ ad u. πλῆθός ἐςι adscribi in marg. *C* ἐπαχθῆ ἢ ἐπιπλαςὰ Brandisius auctor est, sed huc certe id glossema non pertinet, fort. ad l. 30 ἐξ ὑπτίας. ‖ 2 fort. δεῖξαι. ‖ 4 κατὰ τὴν μὴ *H*. ‖ 6 αὐτὴν cum β Bonitzius: αὐτῶν *BH*. ‖ Πρωτεῖ] πρώτῳ *B* *intellectui* β ex mera coniectura, nam uocabulum relicto spatio uacuo om *H*. cf. ad p. 842 a8 et 935b1. ‖ 10 τὸν] τῶν *H*. ‖ 11 τὰ ἐκκέλου *CHβ*, item codex Caiensis unde Galeus opusc. myth. p. 502 hunc locum edidit: τὰ κέλλου cum interstitio *A*. ‖ τᾶς] τῆς libri. cf. Mullachius fragm. phil. gr. I p. 384sq. ‖ τῷ *C*: τοῦ *AH*. ‖ φύσιος *CH* cum cod. Caiensi: φύσεως *A*. ‖ 12 γενέσεως ἢ φθορᾶς *AH*. ‖ exspectes μετειλῆφθαι. ‖ 13 τιμίου *H*. ‖ δὲ delebat Brandisius. ‖ 14sq. cf. Alex. p. 789, 27—30. ‖ 17 συγκεχωρήσθη *B* συγκεχωρήσθην *H* *concessum fuerat* β unde συνεχωρήθη Brandisius edidit: correxi cl. Alex. p. 789, 19. 24, item Bonitzius. ‖ 18 ἐκ μὴ] ἐκ τοῦ *A*. ‖ μὲν γὰρ] fort. μέντοι, cf. Alex. p. 789, 34 ἀνάγκη δὲ λέγειν. ‖ 19 καὶ τὰ *Hβ*: κατὰ *B*. ‖ prius φησί olim suspectabam, sed cf. Alex. p. 790, 2. ‖ 20 ἐκεῖνος *H*. ‖ 22 ἀρξόμεθα *H*. ‖ ταῦτα (*A*)*Hβ*. ‖ ζητῶν *H*: ζητεῖν *B*. ‖ 24 ὅτος μὲν *C*: ὅτως *AH*, ὅτος β quod fuit qui probaret. ‖ 25 ἀρχικὰς (*A*)*H*. ‖ fort. μηθ' ὅλως. ‖ 27 et 29 τὸ σοῖδε *H*. ‖ 29 ἔπειτα] ἐπὶ τὰ *A*. ‖ 30 τις om *AH*. ‖ ἐξ ὑπτίας] cf. Pl. Phaedr. p 264A ἐξ ὑπτίας [ἀνάπαλιν] διανεῖν τὸν λόγον (glossema cl. l. 29 et Hermia p. 187 seclusi).

1 τοσαῦτα *H*. ‖ 2 *penes opificis intellectum* β: fort. δημιουργικῷ, cf. p. 857b27. 899a19, ad 849b2. ‖ 4sq. cf. Alex. p. 790, 34. ‖ 4 μὴν] μὴ *A*. ‖ 5 τὸ τὰς] τῶν τὰς (*A*)*H*. ‖ τοιούτων *CH*: ὄντων *Aβ*. ‖ 7 καὶ τὸ παραδειγματικόν om *H*. ‖ 8 παρ' αὐτοῦ] cf. Alex. p. 791, 1—3. ‖ 10 δέ ἐςι *BHβ*. ‖ 11ἐν ὕλων *H*. ‖ 13 τὸ interposui. ‖ ζητήσαντας cum β et Bonitzio edidit Brandisius: ζητήσαντες *CH* ζητῆσαν *A*. ‖ ὁπόθεν] ὅθεν *BH*. ‖ 15 ἀριθμοῦ *Aβ*. ‖ καὶ om β. ‖ μεγεθῶν] ἐθῶν ex μεθῶν corr *C* μεθῶν edidit Brandisius: om *AHβ*. ‖ μιᾶς] fort. ἐπὶ μιᾶς. ‖ 16 πλῆθος καὶ διερευν. *BH*. possis καὶ ante οὐχὶ ponere, sed saepius καὶ ante διὰ librariorum socordia procreauit (cf. mus. Rhen. t. XXV p. 602), eoque καὶ deleui cum β et Bonitzio; debebam idem etiam p. 891 a19 facere, non hiatum notare. ‖ 17 ἀριθμὸς ... 19 ἀδιαίρ. ex Alex. p. 791, 20 conpilata. ‖ 20 ἐζητήσαμεν *BHβ*. ‖ μόνου (*A*)β: μόνον *CH*. ‖ 21 ποσὸν] ποσέν *H*. ‖ οὐσίαν] οὐσία *H*. ‖ εἰς ... 23 ἐναργ.] Alexandrum p. 791, 17—20 sequitur. ‖ οὐσίᾳ *Hβ*: οὐσίαν *B*. ‖ 22 τῷ ante ἐν inserui cum β et Bonitzio. ‖ τοῖς om *H*. ‖ 24 ζητοῦντος *H*. ‖ 26sq. *et ubique in singulis duale principium multitudinis causam esse dicebant* β pro arbitrio suo interpretatus. ‖ 26 ἢ τῶν το *A*. ‖ 27 τοῦ] τ' ὅτω *C*: τὸ τόδ' *AH*. ‖ 27—29 παρέχ. ex Alex. p. 791, 24 petita. ‖ 28 τῷ] τὰ pr *H*. ‖ τῶν αἰσθητῶν β, sed cf. Alex.

ψυχαῖς ἡμῶν τοῦ μετρεῖν ταδὶ ὡρισμένα πρὸ τούτου; πῶς δὲ τῶν θείων ὅτως ἐναργεῖς εἰκόνας ὁρῶμεν ὡς ἐν αὐτῷ; πῶς δὲ τὰ χήματα καὶ τὰς αἰτίας τῶν χημάτων καὶ τὰς ἀρχὰς πάντων τῶν μαθημάτων ἴδοι τις ἂν καθαρῶς ὡς ἐν τούτοις τοῖς ἀριθμοῖς· τοῦτό τε ὃν θαυμάσειεν ἄν τις καὶ τὸ ῥηθὲν ἐν ἐχάτοις τῶν ἐκκειμένων ῥητῶν, ὅτι πάντα τὰ τῶν μαθηματικῶν ἀριθμῶν θεωρήματα καὶ κῆ τῶν αἰθητῶν ὑπάρξει. πρῶτον μὲν γὰρ ποῖα τῶν αἰθητῶν ὅτως ἐφεξῆς τέτακται ὡς μονάδι μόνον ἀλλήλων διαφέρειν καὶ ταύτῃ τῇ διαφορᾷ προϊέναι ἄχρι παντός; ἔπειτα πῶς τῶν αἰθητῶν τοιαύτη χέσις καὶ εὐταξία θεωρηθήσεται ὡς τῶν ἀναλόγον πολλαπλασίων τὸν μὲν τρίτον εἶναι τετράγωνον, τὸν δὲ τέταρτον κύβον, τὸν δὲ ἕβδομον κύβον ἅμα καὶ τετράγωνον; ἀλλ' εἰ καὶ βιάσαιτό τις καὶ τάξειεν ὅτω τὰ αἰθητά, μάλιχα μὲν ἄχρι τινὸς ἡ βία προβαίνει διὰ τὸ μὴ πεφυκέναι τὰ αἰθητὰ τοῦτον διασώζειν πρὸς ἄλληλα τὸν λόγον. ἔπειτα δὲ ἐκ τῶν μαθηματικῶν ἀριθμῶν μετοίσει τὴν τάξιν· οὐ γὰρ δὴ τοιαύτην ἐν τῇ φύσει τῶν αἰθητῶν ἐνέθηκεν ἡ δημιουργία· πῶς δὲ τὸ κάλλος τοῦτο τῶν θεωρημάτων ἡ ὕλη δύναται δέχεσθαι; τὸ δὲ παρ' ἕνα εἶναι ἄρτιον καὶ περιττὸν πῶς ἔχει τὰ αἰθητά, εἰ μή τις ἐκ τῶν ἀριθμῶν καὶ τοῦτο λαβὼν ἐπ' ὀλίγον αὐτῷ χρήσαιτο τὴν ἔνυλον φύσιν βιασάμενος; εἰ δὲ μή, ὅσον ἐπὶ τοῖς αἰθητοῖς οὐδὲν κωλύει καὶ ἄρτιον ἀρτίῳ καὶ περιττῷ περιττὸν ἐφεξῆς τετάχθαι. καὶ εἰ μὴ ἄχρι τινὸς τοῦτ' εἶχον οἱ ἀριθμοί, τάχ' ἄν τις κατά τινα θέσιν [καὶ νομοθεσίαν] τῆς ἡμετέρας διανοίας ὅτως αὐτὸς ἔφατο διακεκοσμῆσθαι· ἐπειδὴ δὲ σὺν τῇ αὐτῇ τάξει καὶ τοῖς αὐτοῖς εἴδεσιν ἄχρι τοῦ ἀπείρου προΐασι καὶ ἐφ' ὅσον αὐτῶν ὁ λογισμὸς ἡμῶν ἐπιέναι δύναται, τοσοῦτον τῇ αὐτῇ ποικιλίᾳ θεωρεῖ κατακοσμουμένους, παντὶ δῆλον ὡς τῇ οἰκείᾳ φύσει συνεισιοῦσαν ἔχουσι ταύτην τὴν εὐταξίαν, ἣν ὁ νοῦς αὐτοῖς καὶ ἡ τῶν πρεσβυτέρων ἀριθμῶν αἰτία παραδειγματικὴ τὴν σύγασιν ἐν ψυχῇ λαβοῦσι χαρίζεται. μήτ' οὖν τὸ κάλλος μήτε τὴν τάξιν μήτε τὰς τῶν χωριστῶν εἰδῶν εἰκόνας μήτε τὸ πλῆθος τῶν ἐν τοῖς μαθηματικοῖς ἀριθμοῖς θεωρημάτων μήτε τὰς ἀρχὰς τῶν ἁπασῶν ἐπιστημῶν ἀτιμάσωμεν ὑστερογενῆ ποιοῦντες τὸν ἀριθμὸν καὶ τῶν αἰθητῶν ἀφαίρεσιν εἶναι νομίσαντες.

"Οἱ μὲν οὖν .. σώμασιν". τριῶν δοξῶν ἐν τούτοις μνη- 1090a 16.
μονεύσας, τῆς τε τὸν εἰδητικὸν ἀριθμὸν πρεσβευούσης, ἣν εἰς τὸν ἑαυτοῦ διδάσκαλον ἀναπέμπειν εἴωθε, καὶ τῆς τὰ σώματα ποιούσης ἀριθμούς, ἣν ἀπονέμει τοῖς Πυθαγορείοις, καὶ τῆς τὸν μαθηματικὸν ἀριθμὸν μόνον εἰδυίας, τὴν τρίτην κακίζει πλέον ὡς ἂν ἀλογωτέραν τῶν ἄλλων. ὅτε δὲ περὶ τῶν δύο, τῆς Πλατωνικῆς καὶ Πυθαγορείου, φαμὲν αὐτὸν ἱκανῶς ἱστορεῖν ὅτε περὶ τῆς τρίτης ὑγιές τι λέγειν. πρῶτον μὲν γὰρ οὐκ ἐγένετό τις ὃς τὸν μαθηματικὸν ἀριθμὸν εἶναι μόνον ὑπέλαβεν, ἀλλ' ἴσως μαθηματικοῖς ὀνόμασι καὶ ἐπὶ τῶν θείων ἀριθμῶν ὁ τοιοῦτος χρησάμενος αἴτιος ἐνίοις πλάνης ἐγένετο. ἔπειτα πῶς οὐχ ἱκανῷ τεκμηρίῳ χρῶνται τοῦ εἶναι κεχωρισμένην τῶν αἰθητῶν τὴν τῶν μαθημάτων ὕπαρξιν λέγοντες "εἴπερ ἔστιν ἀριθμητικὴ ἐπιστήμη, ἔστι χωριστὸς ἀριθμός"; ἀλλὰ μὴν τὸ ἡγούμενον, καὶ τὸ ἑπόμενον ἄρα. ὁ δέ φησι πρὸς τὸ συνημμένον ἀπηντηκέναι πρότερον· καίτοι οὐδὲ ἐν ἐκείνοις εἴρητό τι πρὸς ἔλεγχον τῶν μαθημάτων ἱκανόν, ἀλλ' ὅτι ἡ τῶν καθόλου ἐπιστήμη δυνάμει ἐστίν, ἡ δὲ τῶν καθ' ἕκαστα ἐνεργείᾳ. ἀλλ' οὐδὲ τὸ νῦν λεγόμενον ἰσχὺν ἔχει τινά· οὐ γὰρ ἂν κεχωρισμένων, φησί, τὰ πάθη περὶ τὰ αἰθητὰ ἐφαίνετο. πάλιν γὰρ ἀποχρῆται τῇ ὁμωνυμίᾳ τῶν τε ἀριθμῶν καὶ τῶν παθῶν· ἄλλως γὰρ κῆ τῶν μοναδικῶν, καὶ ἀνάλογον μέν, ἑτέρως δὲ κῆ τῶν τῆς φύσεως δημιουργημάτων τὰ τοιαῦτα τάττεται. "οἱ μὲν ... ἐν τοῖς αἰθητοῖς". ὑποθέ- 1090a 30.
μενος τοὺς μὲν Πυθαγορείους χωριστὸν ἀριθμὸν μὴ ποιεῖν, τὸν δὲ αἰθητὸν κόσμον ἐξ ἀριθμῶν συνιστάνειν, ἄλλους δέ τινας ἐπειδὴ τὰ ἀξιώματα καὶ αἱ καθόλου προτάσεις ἐπ' οὐδενὸς μὲν τῶν αἰθητῶν, ἀληθεύουσι δέ ** μεγέθη τε καὶ ἀριθμοὺς ποιοῦντας, ἀπορεῖ πρὸς μὲν τοὺς Πυθαγορείους, πῶς ἐξ ἀβαρῶν καὶ ἀμεγεθῶν τῶν ἀριθμῶν τὰ αἰθητὰ δύναται συνίστασθαι σώματα, πρὸς δὲ

1 μετρεῖν τὰ διωρισμένα (διορ. *H*) *BHβ*. ‖ πρὸς τούτου *H ad hunc β*. ‖ 2 θείων ὄντως *H*. ‖ ὡς om *H*. ‖ 4 τούτοις] sc. mathematicis. an delendum? ‖ 6 ῥητῶν nonne glossema? cf. p. 915 a20. ‖ 8 μοναδικὸν μόνον (*A*) *unitate sola β*. ‖ 10 πῶς] πρὸ *A*. ‖ καὶ ἀταξία *BH*: emendaui cum *β* cf. l. 29, itidem Bonitzius. ‖ 11 ἀναλόγον *H*: ἀνάλογον *B*. ‖ *ut respondentium multiplicium, et tria quidem sit quadratum — β*, qui numerorum signis, quibus *BH* quoque utuntur, $\overline{\gamma}$ $\overline{\delta}$ $\overline{\zeta}$ non intellexit ordinem notari. ueteribus enim, ut qui unius cuiusque numeri multiplicandi gradus ab ipsa unitate deducerent (uid. Nicom. ar. II 24. Olympiod. in Pl. Phil. p. 250 cet), in constanti hoc ordine $1\ x^1\ x^2\ x^3\ x^4\ x^5\ x^6$ necessario tertius erat quadratus numerus, quartus cubicus, septimus qui cubicus simul et quadratus est. ceterum mihi olim et ipsi erranti Lipschitzius monitor fuit. ‖ τὸ μὲν $\overline{\gamma}$ *H*. ‖ 12 τὸ δὲ $\overline{\delta}$ *H*. ‖ κοῦβον *B*. ‖ τὸν δὲ ζ κοῦβον om *H*. ‖ 15 διασώζει (*A*)*H*. ‖ τὸν om *AH*. ‖ 17 τοιαύτην *H*: ταύτην *Bβ*. ‖ ἐνέθηκεν] ἐνέδειξεν *A*. ‖ *opificis prouidentia β*. ‖ 19 fort. τὸ δ' ἕνα παρ' ἕνα, cf. Nicom. ar. II 24 p. 129, 8 Hoch. ‖ 19 πῶς οὐκ ἔχει *β*. ‖ 20 χρήσαι τὸ τὴν εὔλογον *H*. ‖ 22 κωλύει] ἐλύπει *BH*. *nihil utique molestia afficiet β*. cf. p. 928 a32. 916 a7. ‖ ἄρτιον ἀρτία *H*. ‖ 24 καὶ νομοθεσίαν glossema inclusi, cf. infra p. 940 b8. ‖ 25 σὺν om *β*. ‖ 27 ἡμῶν om *H*. ‖ ἐπιέναι] *ascendere β*. ‖ 28 κατακοσμούμενον *BH*: cum *β* correxi, item Bonitzius. ‖ 29 συνεισιοῦσαν *H*: συνιοῦσαν *Bβ*. cf. p. 906 b3. 923 a31. ‖ ταύτην τὴν] ταύτην *BH*. ‖ 31 ἐν τῇ ψυχῇ *A in animis β*.

2 ἀτιμάσομεν *H*. ‖ 4 τριῶν δὲ δοξῶν *A*. ‖ 5 τῶν εἰδητικῶν ἀριθμῶν *H*. ‖ 9 ἀλογωτέρα *H*. ‖ δὲ ante περὶ om *H*. ‖ τῆς] περὶ τῆς *A*. ‖ 15 κεχωρισμένων (*A*)*H*. ‖ 16 εἴ πέρ ἐστιν *H*, *B*. ‖ 17 ἐστὶ *B*, non *H*. ‖ 18 δέ φησι] δὲ ἔφη *BHβ*. ‖ 21 ἔχει (ἔχειν *H*) τινὰ ἰσχύν *AHβ*. ‖ 24 κατὰ post γὰρ om *AH*. ‖ 25 τὰ τοιαῦτα] *huiuscemodi pleraque β* τοιαῦτα *H*. ‖ 26 ὑποτιθέμενος μὲν τοὺς *A*. ‖ 28 συνιστάνειν *CH* συνιστάναι *A*. cf. ad p. 902 b37, adde p. 924 b2. 942 b4. ‖ ἐπειδὴ om *H*. ‖ 29 μὲν] fort. μέν εἰσι, cf. Alex. p. 793, 30 et Arist. ‖ 30 hiatum notaui, quo praeter finem enuntiati causalis absumptum uidetur χωρίζειν, μαθηματικὰ — ‖ ἀριθμοὺς] αἰσθητὰ *BHβ* errore etiam procliuiore quam quo uitium p. 867 a22 ortum est. ‖ ποιοῦντες *BH* ποιεῖν *β*. ‖ 31 πρὸς om *H*. ‖ τοὺς μὲν *H*. ‖ καὶ μεγεθῶν *H*.

τὺς χωρίζοντας, πῶς ἂν τὰ πάθη τῶν μεγεθῶν καὶ τῶν ἀριθμῶν ὑπῆρξε τοῖς αἰθητοῖς, εἰ μὴ ἀχώριςοι αὐτῶν ἦσαν οἱ ἀριθμοί. ῥητέον δὲ ὑπὲρ μὲν τῶν Πυθαγορείων ὅτι γινώσκυσι μὲν καὶ ἄλλυς ἀριθμύς, καὶ ὐ περὶ τῦ αἰθητῦ μόνυ διάλεγονθ, ἀλλὰ καὶ περὶ νοερῶν καὶ ψυχικῶν καὶ φυσικῶν διακόσμων ἀναδιδάσκυσιν, ὐ μὴν ἀλλὰ γὲ καὶ τὸν αἰθητὸν κόσμον ἐκ τῶν ἀύλων λόγων καὶ δραςικῶν καὶ πρεσβυτέρων αἰτίων ὑφιςᾶσιν. ὅσοι δὲ ὐδὲ τῇ φύσει λόγυς διδόασιν ἵνα μὴ διπλᾶ ποιήσωσι τὰ πράγματα, ὅτοι θαυμάζυσι πῶς ἐξ ἀβαρῶν καὶ ἀμεγεθῶν βάρος ἀποτελεῖθ καὶ μέγεθος. καίτοι γε ὡς μὲν ἐκ μορίων ἀμεγεθῶν ἢ ἀβαρῶν ὐκ ἄν ποτε συντεθείη βάρος ἢ μέγεθος, καὶ τύτῳ ἱκανῶς δέδεικθ· ἐκ δὲ ςοιχείων ἀμερῶν καθ' αὑτὰ ὄντων δημιυργεῖθ μέγεθος, εἴπερ ὕλη καὶ εἶδος ςοιχεῖα σωμάτων· καὶ ἔτι πολλῷ πλέον ὑπὸ τῶν ἀληθεςέρων αἰτίων τῶν ἐν λόγοις καὶ εἴδεσι δημιυργικοῖς θεωρυμένων πῶς ὐ πᾶσαι διαςάσεις καὶ πάντες ὄγκοι τῶν ἐν κινήσει φερομένων ἑαυτῶν γένεσιν ὑποδέχονθ; ἢ γὲ ἀγένητα καὶ ὡς ἔξω αἰτίυ τὰ σώματα, ἢ τῶν διαςατῶν ἀδιάςατα καὶ τῶν μεριςῶν ἀμέριςα καὶ τῶν αἰθητῶν καὶ ἀντιτύπων ἀφανὴ καὶ ἀναφῆ καταλειπτέον αἴτια, καὶ συγχωρητέον τοῖς ὅτως ἐξ ἀμερῶν τὰ μεμεγεθυσμένα γενέθζ λέγυσιν. ὑπὲρ δὲ τῶν χωριζόντων τὺς ἀριθμύς, ὅτι θαυμαςὸν ὐδὲν εἰ ἔοικε τὰ ἀποτελέσματα τοῖς αἰτίοις. δημιυργικῶν γὲν ὄντων τῶν χωριςῶν ἀριθμῶν, ὃς μιμθνθ καὶ οἱ μαθηματικοί, εἰκότως καὶ ὁ αἰθητὸς κόσμος εἰκόνας ἔχει τῶν αὐτὸν κοσμύντων ἀριθμῶν [ἵνα] πάντων μὲν ἐν πᾶσιν, οἰκείως δ' ἐν ἑκάςοις. τὸ δὲ ἀπὸ τῶν ἀξιωμάτων καὶ ὅλως τῶν ἐπιςημῶν ἐπιχείρημα πολλάκις εἴπομεν ὅτι καὶ παρὰ τοῖς ἀντιλογικωτάτοις δυσαντιβλεπτότατόν ἐςι· ἢ γὲ ψευδθ ταῦτα ἢ συμφωνεῖ καὶ συζυγεῖ τοῖς ὅσιν· εἰ μὲν ὂν ψεύδεται, ἄνελε πᾶσαν κατάληψιν (ἐκ τύτων γὲ αἱ ἀποδείξεις)· ἀνελὼν δὲ πᾶσαν κατάληψιν περὶ μηδενὸς διιχυρίζυ. εἰ δὲ ἀληθεύει καὶ συζυγεῖ τισι τῶν ὄντων, ἐπεὶ μὴ τοῖς αἰθητοῖς πρώτως (ἄτομα γὲ ταῦτα, καὶ ὅσα δὲ κοινὰ ἐν αὐτοῖς κατατέτακθ, ταῦτα κατακρατεῖθ ὑπὸ τῆς ὕλης), λείπεθ τοῖς διανυητοῖς αὐτὰ συμφωνεῖν ὡς ἰσαξίοις, τοῖς δὲ νοεροῖς ὡς εἰκόνας καὶ τύπυς παραδείγμασιν. "εἰσὶ . . χωριςὰ ἔςαι". τὰ πέρατα τινὰς αὐτῶν ὡς εἴδη καὶ ὐσίας φησὶ λαμβάνειν, καὶ αἰτιᾶθ ὅτι μήτε ὐσίαι ταῦτα μήτε πολὺ πλέον χωριςαὶ ὐσίαι. ῥητέον δὲ ὑπὲρ τῶν ἀνδρῶν ὅτι περ ὐ τὰ συνεγνωσμένα πέρατα χωριςὰς ἐποίυν ὐσίας, ἀλλὰ τὰ ἐν τοῖς ὐσιώδεσι λόγοις τῦ νῦ καὶ τῆς ψυχῆς καὶ τῆς φύσεως, ἃ κυριώτερον περατοῖ καὶ ὁρίζει τὴν γένεσιν, ὧν τὰ φαινόμενα πέρατα τελευταίαν ἀπεικασίαν ἀπετυπώσατο. "ἔτι δὲ . . συνείρειν". *ἀποροῖ* πρὸς μὲν τὺς τὴν μαθηματικὴν μόνην ὐσίαν πρεσβεύοντας, πῶς ὄντων ἀριθμῶν παρ' αὐτοῖς καὶ μεγεθῶν καὶ ψυχῆς καὶ σωμάτων ὐ γίγνεθ τὰ δεύτερα ἀεὶ ἐκ τῶν προτέρων, ἀλλὰ καὶ ἀριθμῶν μὴ ὄντων τὰ μεγέθη καὶ ἔςι καὶ γίγνεθ, κἂν ταῦτά τις ἀνέλῃ, ψυχὴ ἔςι καὶ σώματα. πρὸς δὲ τὺς τὸν εἰδητικὸν ἀριθμὸν προσιεμένυς, πότερον τὰ μεγέθη τὰ προσεχῶς ἐκ τῶν ἀριθμῶν γιγνόμενα καὶ αὐτὰ ἰδέαι ἢ ὔ, καὶ εἰ ἐπιδέχονθ θεωρίαν ἰδίαν ἢ τὴν μαθηματικὴν εἰς αὐτὰ δεῖ μεταφέρειν; ῥητέον δὲ ὑπὲρ τῶν προτέρων πρότερον ὅτι μήτε τὴν μαθηματικὴν ὐσίαν μόνην ἐπισκέπτονθ, καὶ τάξιν ὅλως ὄντες τοῖς ὑποκειμένοις ἀεὶ συντελεῖν εἰς τὴν τῶν δευτέρων ὑπόςασιν τὰ πρότερά φασιν. εὖ γὲ εἴρηθ τῦτο ὅτι μίαν εἶναι δεῖ συνέχειαν τῶν ἐν φύσει πραγμάτων καὶ μηδὲν ἐπεισοδιῶδες αὐτοῖς ἐμφανάζεθζ. ὅτι δὲ μὴ μόνην τὴν μαθηματικὴν ὐσίαν οἱ ἄνδρες ὅτοι γιγνώσκυσι κἂν διὰ μαθηματικῶν ὀνομάτων καὶ τὰ περὶ τῆς νυητῆς ἀναδιδάσκωσιν, εἴρηθ μὲν πολλάκις ἐν τοῖς προάγυσιν, ὐ μὴν ἀλλὰ καὶ ἡ νῦν ἀπορία δῆλον ποιεῖ. εἰ γὲ αἰτιᾶθ αὐτὺς ὡς μὴ ποιῦντας ἐκ μεγεθῶν καὶ ἀριθμῶν τὴν

10906 5.

10906 13.

2 ὑπῆρξαι *B* ὑπάρξαι *β*. ‖ 4 διαλέγεται ἀλλὰ περὶ (*A*)*H*. ‖ 9 ὅτοι] exspectes εἰκότως ὅτοι uel sim. ‖ 11 τύτῳ] τῦτο *BHβ*. certe καὶ τῦτο ferri nequit: neque enim loci p 897 b26 eadem est condicio, nec ὡς μὲν sic positum est ut p. 931 a3. ‖ 14 τῶν post αἰτίων interposui. ‖ 16 τῶν scripsi cum *β*: τὴν *BH*. cf. Plato Tim. p. 38 A ὅσα γένεσις τοῖς ἐν αἰσθήσει φερομένοις προσῆψεν. ‖ φερομένων (*A*)*Hβ*: φερομένην *C*? ‖ ἑαυτῶν] fort. σωμάτων. ‖ γένησιν *H*. ‖ 17 ἀγένητα *B*. ‖ ἔξω] ἐξ *BHβ*. ἐξ ἀιδίυ olim ego, καὶ ὐκ ἐξ αἰτίυ alius. ‖ 19 ἀναφῆ] ἀναφανῆ *A*. ‖ καταληπτέον *BHβ*. ‖ 20 τοῖς] ταῖς *H*. ‖ ἀμερῶν] ἀμφῶν *H*. ‖ τὰ μεγεθυσμένα *H*, similiter (*A*). ‖ 21 ὑπὲρ δὴ *H*. ‖ 22 γὲν] ὂν *BHβ*. ‖ 24 αὐτὸν] *ipsum β* ἑαυτὸν *CH* ἑαυτῶν (*A*). ‖ 25 ἵνα] *ut β* εἰ μὲν ci. Brandisius. inclusi ut incertum, fort. ex uocis εἰκόνας uaria lectione ἰνδ(άλματα) relictum. ‖ μὲν] ἢ *BHβ*. cf. p. 879 b2. 914 b11. 918 b7. ‖ 27 ἀντιλογιτάτοις *H*. ‖ 28 καὶ] *aut β*. ‖ 29 ἄνελε *Hβ*: ἄνειλε *C* ἄνεσχε *A*.

3 κοινὰ αὐτοῖς *BHβ*: ἐν inserui, cf. p. 851 b35. 852 a4. 881 b32. 895 b10. ‖ κατακρατεῖται] καὶ κρατεῖται *CHβ* γὰρ κρατεῖται *A*. cf. p. 868 b10. possis etiam κεκράτηται. ‖ 4 ἰσαξίοις *Cβ*: ἴσα *AH*. ‖ 6—8 ὐσίαι] Alexandrum p. 794, 8—12 sequitur. ‖ 8 πλέον] παρεὸν *H*. ‖ 9 συνεγνωσμένα] cf. ad p. 914 a19. ‖ 10 ἃ *H*: ἃ καὶ *Bβ*. ‖ 13—17 σώματα] Alexandro p. 794, 22—27 debentur. ‖ 13 *Dubitat contra β*: πρὸς *BH*. ἀποροῖ etiam Bonitzius adiciebat. ‖ μόνην Alex. μόνον *BHβ*, sed cf. infra l. 22. 26. Omnino cum ὐ μόνον (ut p. 842 a10) admittat, μόνον aduerbium, nisi ad uerbum refertur, Syriani sermo respuit, cf. ut pauca delibem p. 842 b1. 844 a27. 845 a13. b14. 846 a1. 849 a19. 855 a22. 884 b20. 927 b19. qua re μόνων p. 842 a29 ex *A*, 848 b37 ex *C*, 855 a7 ex *CH* recipiendum erat. ‖ 14 πρεσβεύοντα *H*. ‖ ὄντων] ὄντων τῶν Alex. hinc corrigendus. ‖ παρ'] καὶ παρ' *H*. ‖ 15 καὶ ante σώμ. om (*A*)*H*. ‖ ἀεὶ om. Alex. p. 794, 25. ‖ 16 καί ἐςι *B*. ‖ 17 ταυτά *H*. ‖ ψυχή ἐςι *BH*, Al. ‖ σώματος Al. hinc emendandus. ‖ πρὸς . . . 19 ὅ ex Alex. p. 795, 22. 27 sq. petita. ‖ 18 τὺς τὸν] τὺς *BH*. correxi cum Bonitzio. ‖ πότερον *Hβ*: πρότερον *B*. ‖ 19 ἐκ] ἐκ τῆς ὕλης καὶ Al. ‖ 20 ἰδέαν *H*. ‖ 21 μεταφέρει *H*. ‖ ὑπὲρ τῶν προτέρων πρότερον *C* ὑπὲρ τέρων πρότερον *H* ὑπὲρ τῶν πυότερον *A pro prioribus quidem β*. ‖ ὅτι] οἱ *B* ὁ *H*: correxi cum *β* et Bonitzio. ‖ 25 *naturalium rerum β*: τῶν φύσει πραγμάτων *BH*. ‖ 26 μόνον *H*. ‖ 28 τοῖς νυητοῖς *H*. *etiam quae de diuinis sunt β*. ‖ ἀναδιδάσκωσιν *BH*, sed *etsi . . . doceant β*. ‖ 29 δῆλοι *H*.

ψυχὴν προτέρων ὄντων αὐτῆς, μαρτυρεῖ σαφῶς ὅτι τοὺς ἐν νῷ καὶ τοὺς θείους ἐγέννων ἀριθμούς. ὑπὲρ δὲ τῶν δευτέρων, ὅτι καὶ τὰ πρῶτα μεγέθη ἰδέαι, ὁ αὐτοκύκλος ἡ αὐτοπυραμὶς καὶ αὐτοτρίγωνον, ἀπὸ δὲ τῶν μαθηματικῶν λόγων αἱ ἀναμνήσεις ἡμῖν ἐκείνων γίγνονται. οὐ γὰρ ὅτι ἐκείνοις ἐφαρμόζουσιν αἱ μαθηματικαὶ θεωρίαι διεξοδικαὶ οὖσαι καὶ μεμερισμέναι καὶ ποθέν ποι προϊοῦσαι καὶ δι' ὑποθέσεων περαίνουσαι, ἀλλ' ὥσπερ ἐν ταῖς Ἐπιζολαῖς εἴρηται περὶ τοῦ αὐτοκύκλου ὡς ὅτε τὸ χῆμα ὅτε τοὔνομα οὐθ' ὁρισμὸς οὔτ' ἐπιζήμη γνῶσίς ἐζιν αὐτοῦ, ἀλλὰ θέαν δεῖ τοῦ πράγματος παραγενέζθαι, καὶ ὥσπερ ἐκ πυρείων τῶν ἐπιζημονικῶν θεωρημάτων παρατριβομένων φῶς ἀναλάμψαι νοερόν, δι' οὗ συζυγήσομεν ἐκείνῳ· ἡ τοίνυν μαθηματικὴ μέθοδος παρασκευή τίς ἐζιν ὡς ἐν εἰκόζι γυμνάζουσα τὴν ψυχὴν πρὸς αὐτοπτικὴν τοῦ παραδείγματος ἐπιβολήν· οὐκ ἄρα προσγλίχονται ταῖς ἰδέαις ἐφαρμόζειν τὰ μαθηματικά, ἀλλ' ὡς ἀπὸ εἰκόνων εἰς ἐκείνας διὰ τούτων ἀναπέμπεζθαι βούλονται.

1090b 32. "οἱ δὲ ... κατ' ἐκεῖνον". ἀποτείνεται μὴ νῦν πρὸς τὸν ἑαυτοῦ διδάσκαλον· αὐτὸς γάρ ἐζιν ὁ σαφῶς τὰ μαθήματα τῶν νοερῶν διακρίνας εἰδῶν, καίτοι καὶ παρὰ τοῖς ἄλλοις οὐ θάτερα μόνον ἀλλὰ καὶ θάτερα γιγνώσκεται. λέγει δὲ ὅτι περὶ γενέσεως οὐ διδάσκει τοῦ μαθηματικοῦ ἀριθμοῦ (δεῖ γὰρ αὐτὸν γίγνεζθαι μὴ πρῶτον ὄντα)· ὅτε δὴ ἐκ τῶν αὐτῶν ὀφείλει γίγνεζθαι τῷ εἰδητικῷ, ἵνα μὴ ὁ αὐτὸς ἐκείνῳ φανῇ, ὅτε ἐξ ἄλλων· ἀριθμὸν γὰρ οὐ δυνατὸν ἑτέρως ὑποζῆναι ἢ ἐκ μονάδος καὶ τῆς ἀορίζου δυάδος. διὰ τί οὖν, φήσομεν πρὸς αὐτόν, μὴ τοῦτο δὴ τὸ πολυπάτητον ὑποτίθεσαι λέγειν τὸν διδάσκαλον, ᾧ καὶ αὐτὸς ἐν ταῖς φυσιολογίαις χρῆζθαι μεμελέτηκας, ὡς ἀναλογίᾳ μὴ τῶν διαφόρων ἀριθμῶν αἱ αὐταί εἰσιν ἀρχαί, ἁπλῶς δὲ οὐχ αἱ αὐταί; τοιοῦτον δή τι καὶ σὺ νῦν αἰνίττῃ, ὅταν λέγῃς "ἐξ ἄλλου δὲ μεγάλου καὶ μικροῦ", πλὴν οὐκ ἐξ οὗ τὰ μεγέθη· ἄλλη γὰρ ἡ δυὰς ἡ γεννητικὴ τῶν ἀριθμῶν τῶν μαθηματικῶν, ἄλλη δὲ ἡ τῶν μεγεθῶν· καθ' ἑκάζην γὰρ τῶν ὄντων τάξιν ἰδίως αἱ νοεραὶ καὶ αἱ ἀναλογικαὶ καὶ αἱ φυσικαὶ θεωροῦζθαι ἀρχαί. τὸ μέντοι ζητεῖν πῶς τὸ ἓν τὰ πανταχοῦ πολλὰ παράγει καὶ γεννᾷ, καὶ φιλόσοφόν ἐζι καὶ παρ' ἐκείνοις ἠτιολόγηζθαι. "πάντα δὴ ... λέγωσι". ταῦτα τοὺς παρὰ τοῖς ῥήτορζιν ἐπιλόγους μιμεῖζθαι, οὐκ ἀπήλλακζθαι δὲ οὐδὲ κωμικῆς βωμολοχίας. διὸ τὰ πλεῖζα αὐτῶν ὅζα μὴ ἔζι πραγματειώδη χρὴ καὶ ὑπερβαίνειν ἢ ἄλλως συνείρειν. Σιμωνίδου δὲ μνημονεύει τῶν Ἀτάκτων οὕτως ἐπιγραφομένων· εἰρόμενα γὰρ ταῦτα καὶ ἥκιζα διανοίας πληρωτικά. "φαίνεζθαι ... διπλασιαζόμενον". ἐπειδὴ δυὰς ἐζι τὸ μέγα καὶ τὸ μικρόν, ἡ δὲ δυὰς τὸν ἄρτιον μόνον, μάλιζα δὲ τὸν ἀρτιάκις ἄρτιον ὑφίζηζι, τοὺς ἄλλους οὔ φηζιν ἐκ τοῦ μεγάλου καὶ μικροῦ δύναζθαι γεννηθῆναι. εἴρηζθαι δὲ πολλάκις ποίαν δυάδα μέγα καὶ σμικρὸν ἐκάλουν, καὶ ὅτι τὴν παντὸς πλήθους γεννητικήν. "ἄτοπον δὲ ... τῶν ἀδυνάτων". εἰ καθ' ὑπόθεσιν ποιοῖεν διδασκαλίας ἕνεκα, τί πλημμελοῦζιν; εἰ μὴ ἄρα κατὰ σὲ τὸν ποιητικὴν αἰτίαν ἐπὶ τῶν ἀιδίων μὴ προτιέμενον· τοῖς δὲ ἀρέσκει πάντα ἐκ τῶν ἀρχῶν ἔχειν τὴν ὑπόζασιν. "οἱ μὴ οὖν ... τὴν γένεζιν". ποίῳ μὴ ἤθει τοὺς λόγους καταβάλλεζθαι τούτους ὁ Ἀριζοτέλης, οὐ λήζεζθαι τοὺς συνετωτέρους. ἵνα δὲ καὶ ἐξ ὧν τίθηζιν ἐπακολουθήζωμεν τῇ τῶν Πυθαγορείων διανοίᾳ, ῥητέον ὡς ἓν μὴ τὸ σύνολον λέγουζι τὸ ἐξ ὕλης καὶ εἴδους διακοσμηθέν· τοῦτο δὲ τὴν σύζασίν φαζιν οὕτω γίγνεζθαι· τοῦ λόγου τοῦ ἀπὸ τῆς φύζεως προελθόντος χρῶμα καὶ χῆμα καὶ τὴν αἰτίαν πάντως γεννήζαντος πρῶτον μὴ τὸ ἄποιον σῶμα γίγνεζθαι, τοῦτο γάρ ἐζι "τὸ ἔγγιζα τοῦ ἀπείρου", εἶτα τὸ διακοσμηθέν, ὅταν τὸ πέρας καὶ ὁ φυζικὸς λόγος καταχῇ τέλεον τὸ ὑποκείμενον. ὅτι δὲ καὶ περὶ χωριζῶν ἀριθμῶν εἰρήκαζιν οἱ ἄνδρες καὶ μάλιζα πάντων οὗτοι, καὶ πρότερον ὑπεμνήζαμεν.

"Τοῦ μὴ οὖν ... γενέζεως". ζυμβολικῶς εὕροις ἂν παρ' ἐκείνοις ταῦτα λεγόμενα· τὸν γὰρ περιττὸν τοῖς θεοῖς προζοικειοῦντες εἰκότως ἀγένητον εἶναί φαζι, τὸν δὲ ἄρτιον τοῖς ἐνύλοις ἀνάλογον λαμβάνοντες γεννητὸν καλοῦζι καὶ δυάδι προζοικειοῦζιν· ἐπεὶ ὅτι τοὺς ζυζοίχους ἀρτίους καὶ περιττοὺς ἀριθμοὺς ἐκ τῶν αὐτῶν ἀρχῶν ἀπογεννῶζιν, εἰ καὶ τοὺς μὴ μονάδι προζοικει-

1091a 5.

1091a 9.

1091a 12.

1091a 13.

1091a 23.

1 fort. τὰ ἐν νῷ. ‖ 2 ἐγέννως *H*. ‖ 5 ὅτι a uerbo dicendi uidetur aptum fuisse. ante l. 7 ἀλλ' puto ἔλεγον intercidisse, de qua uerbi collocatione cf. p. 927 b23. ‖ 6 πόθεν ποῖ *BHβ*. cf. Pl. Parmen. p. 162 C. ‖ 7 ταῖς om *H*. ‖ 8 Pl. epist. VII p. 343 A—D cf. 342 A sq. ‖ 9 οὐθ' ὁ ὁρισμὸς *B*: ὁ om *H*. ‖ 10 θέαν ... 12 νοερόν] cf. Plat. ep. VII p. 341 D. 344 B, sed colorem uerborum Syr. ex Pl. rei p. IV p. 435 in. repetiit, ut iam Ruhnkenius ad [Longin.] de subl. 44, 3 p. 481 Weisk. adnotauit. ‖ 11 ἐκλάμψαι Pl. r. p., ut ἐξέλαμψε epist. 344 B. ‖ 12 δι' οὗ] διὸ ὁ *BHβ*. ‖ *associamus β*. ‖ 13 προκατασκευή *H*. ‖ γυμνάζουσι *AH*. *in imaginibus exercentibus β*. ‖ 14 *attingentiam β* ἐπιβολήν *BH*: correxit etiam Bonitzius. ‖ 16 εἰς] fort. εἰς παράδειγμα, οὕτως εἰς. ‖ 18 τὰ post σαφῶς om *H*. ‖ 20 ὁ θάτερον *AHβ*. ‖ 22 ὅτε ... 25 δυάδος] ex Alex. p. 797, 1—4 conpilata. ‖ 22 ὅτε δὲ *β*. ‖ 24 ὁ δυν.] ἀδύνατον Al. ‖ 26 δὴ καὶ τὸ *Aβ*. ‖ τὸ πολυπλάτητον *BH latissimum β*. ‖ ὑποτίθεσθαι (*A*)*H*. ‖ 27 μελέτηκας (*A*). ‖ 28 διαφόρων om *β*. ‖ 29 δή τι] δέ τι *C* δὴ *AH*. correxit iam *β*. ‖ 30 δὲ] δέ τινος Ar. ‖ 31 γὰρ ἡ ... 32 ἄλλη om *A*. ‖ γὰρ δυὰς ἡ γεννητικὴ *H*. ‖ 33 καὶ φυσικαὶ *BH*: αἱ inserui.

2 *et philosophi est β*. ‖ ἠτιολογεῖτο *H*. ‖ 3 ταῦτα et 5 αὐτῶν non tantum ad uerba proposita sed ad totum Aristotelis epilogum p. 1091 a5—22 pertinent. ‖ 4 οὐδὲ κωμωδιῶν *AHβ*. ‖ 6 καὶ ἄλλως *A*. ‖ συνει ρεῖν *A* συνηρεῖν *H*. fort. scribendum ἢ ὅλως συναιρεῖν. ‖ *meminit autem de Simonide in his quae adeo inordinate scripta sunt. β*. cf. Alex. p. 797, 9 et Schneidewinus mus. rhen. VII p. 461 sq. ‖ 7 εἰρομένα *H* εἰρημένα *A cauillatorie dicta* (εἰρωνευόμενα) *β*. ‖ 8 fort. πληρωματικά. ‖ 11 οὔ φησιν] ὑφίζησιν *H*. ‖ γεινθῆναι (*A*)*H*. ‖ 12 μικρὸν *H*. ‖ 14 *si ... faciunt β*. ‖ 15 τὸν ποιητὴν *CH*. ‖ 18 τούτου] τρίτον *A*. ‖ λύσεται *H*. ‖ 20 μὲν] fort. καὶ. ‖ 21 διακοσμικῶν *A* διακοσμηκῶν *H*. ‖ 23 αἰτίαν] cf. Arist. ἐκ σπέρματος. ‖ γενήσαντος *H*. ‖ 25 κατάσχῃ *H*. ‖ 29 *appropriantes β* ἀποικειοῦντες *BH*. ‖ 30 ἀγένητον *B*. ‖ τοῖς ἐν ὕλοις *H*. cf. ad p. 857 b9 et 931 b11. ‖ 31 γεννητὸν *B*. ‖ 32 καὶ τοὺς περιττοὺς *A*. ‖ ἀριθμοὺς om *A*.

1091a 24. κέναι τοὺς δὲ δυάδι φασί, πολλάκις ὑπεμνήσαμεν. "τὸν δ' ἄρτιον ... ἀριθμῶν". τὸν ἄρτιον ὕλην ἔχοντα καὶ εἶδος καὶ μὴν τὴν ὕλην ὡς ἐκ τῆς δυάδος προελθόντα μέγα καὶ σμικρὸν ἔχειν, καὶ δὲ τὸ εἶδος ἰσότητι κεκρατῆσθαί φασι. ταῦτα δὲ οὐκ ἀπὸ χρόνου ἀλλ' ἀεί. εἰ δὲ πρότερα τὰ ἄκοσμα τῶν κεκοσμημένων ἀποφαίνουσι διδασκαλίας ἕνεκα, κοινόν ἐστι τοῦτο πάντων ἡμῶν ἔθος· καὶ γὰρ σὺ τὴν ὕλην προτέραν εἶναι λέγεις
1091a 29. καὶ ἀρχὴν τοῦ σώματος, καίτοι ἀεὶ κεκοσμημένην. "ἔχει δ' ἀπορίαν ... ἑνός". ὅτι μὲν τὸ εὖ ταῖς ἀρχικωτέραις αἰτίαις ἀπονέμειν θέλει, κατορθοῖ. ὅτε δὲ ὅτως ἄρξαιν τοῦ λόγου δίκαιον ἦν, ἀλλ' ἦν εὐλογώτερον εἰπεῖν "ἔχει δὲ ἀπορίαν καὶ εὐπορήσαντι θαυμαστήν"· ὅτε τοὺς θεολόγους ἄλλο τι λέγειν ὀρθῶς τις ὑποτίθεται. πάντων δὲ ἀτοπώτατον τὸ νομίζειν ἢ ὅτι τῷ ἑνὶ τὸ ἀγαθὸν ὅτως συντρέχει ἢ ὅτι τὸ ἓν τὸ πρώτιστον ὅτως ἀρχὴ λέγεται ὡς στοιχεῖον ἐξ οὗ ἐνυπάρχοντος ὁ ἀριθμὸς συνίσταται· πάντα γὰρ ταῦτα ψευδῶς ἱστόρηται· τὸ γὰρ ἓν καὶ τἀγαθὸν ταὐτόν ἐστι παρὰ Πλάτωνι καὶ ἐξήρηται πάσης οὐσίας
1091b 4. καὶ νοῦ καὶ ζωῆς. "οἱ δὲ ποιηταὶ ... Δία". οὐδὲ ταῦτα καλῶς τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι γὰρ Νύκτα μὲν καὶ Οὐρανὸν φασι βασιλεύειν, καὶ πρὸ τούτων τὸν μέγιστον αὐτῶν πατέρα·

"τὸν τόθ' ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον,
ὅ πρῶτος βασίλευσε, περικλυτὸς Ἠρικεπαῖος",

μεθ' ὃν ἡ Νύξ

"σκῆπτρον ἔχουσ' ἐν χερσὶν *ἀριπρεπὲς* Ἠρικεπαίου".

μεθ' ἣν ὁ Οὐρανός,

"ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα".

τὸ δὲ χάος ὑπὲρ τὴν τοῦ βασιλεύοντός ἐστι χέσιν· τὸν δὲ Δία οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί·

"ἀθανάτων βασιλῆα θεῶν πέμπτον τε γενέσθαι".

ἡ πρωτίστη οὖν ἀρχὴ καὶ παρ' αὐτοῖς ἓν καὶ τἀγαθόν, μεθ' ἣν ἡ δυὰς ἡ κρείττων τοῦ βασιλεύειν, αἰθὴρ μὲν καὶ χάος ** καὶ τὸν Πυθαγόραν· εἶτα τὰ πρώτιστα καὶ κρύφια τῶν θεῶν γένη· ἐφ' οἷς ὁ πρῶτος ἀναφανεὶς τῶν ὅλων πατὴρ καὶ βασιλεύς, ὃν διὰ τοῦτο Φάνητα προσεῖπον. ὅτ' οὖν οἱ ἄριστοι τῶν φιλοσόφων ἀφίστανται τῶν θεολόγων, οὐθ' οἱ θεολόγοι τὰ δεύτερα δυνατώτερα καὶ ἀμείνω τῶν ἀρχηγικωτέρων φασὶν εἶναι, ἀλλὰ μία ἡ παρὰ πᾶσιν αὐτοῖς ἀλήθεια. "οὐ μὴν ... ποιήσας". εὖ 1091b 6.
μὲν ὅτι τοὺς τὸ πρῶτον αἴτιον ἄριστον εἶναι λέγοντας ἀποδέχεται· οὐ μὴν οἱ θεολόγοι μεταβολὰς ποιοῦσι τῶν βασιλειῶν, κἂν τὰ μυθώδη πλάσματα τοῦτο προφαίνειν δοκῇ· τῶν δὲ πρεσβυτέρων ἀεὶ μενουσῶν ἐν ἤθεσι τοῖς οἰκείοις οὕτω τὰς δευτέρας ὑφίστασθαι λέγουσιν. "τῶν δὲ ... μάλιστα". ἔστι μὲν ὑπερούσιον 1091b 13.
παρά τε τῷ Πλάτωνι τὸ ἓν καὶ τἀγαθὸν καὶ παρὰ Βροτίνῳ τῷ Πυθαγορείῳ καὶ παρὰ πᾶσιν ὡς εἰπεῖν τοῖς ἀπὸ τοῦ διδασκαλείου τοῦ τῶν Πυθαγορείων ὡρμημένοις· ὅμως δὲ κείσθω τὸ ἓν οὐσίαν εἶναι τῆς πρωτίστης ἀρχῆς, ἣν ἐκάλουν τἀγαθόν, ὡς ἑνώσεως καὶ τοῦ ἀγαθοῦ πᾶσιν αἰτίαν ὑπάρχουσαν, καὶ ἴδωμεν εἴπερ ἔπεταί τι αὐτοῖς ἄτοπον. "ἢ μὲν ... λέγειν". ἀπορεῖ βουλόμενος· τοῖς 1091b 15.
δὲ ἀνδράσιν ἐκείνοις πρὸ πάσης ἐπιστάσεως καὶ ἀποδείξεως κεῖται τὸ πρώτιστον εἶναι τὸ πανάριστον. "θαυμαστὸν δ' εἰ ... ἀγα- 1091b 16.
θόν τι". τῷ μὲν πρωτίστῳ καὶ αὐταρκεστάτῳ τοῦτ' αὐτὸ ἀγαθὸν τὸ αὔταρκες· ἀλλ' ὑπάρχει αὐτῷ δι' ἀπλότητα καὶ ἑνότητα τῆς ὑποστάσεως· οὐ γάρ ἐστι τἀγαθὸν καὶ ἄλλο τι, ἀλλ' αὐτὸ τοῦτο ἀγαθόν· ὥστε ἕν, ἐπεὶ μὴ σύγκειται αὐτοῦ ἡ φύσις ἐξ ἀγαθοῦ καὶ ἄλλου τινός· ὅτω γὰρ ἂν ἐδεήθημεν ἑτέρας ἀρχῆς ἐν ᾗ τὸ ἀγαθὸν ἀμιγὲς ἦν πρὸς πᾶν ὁτιοῦν καὶ ἄκρατον. δυσχεραίνει γὰρ αὐτὸς πρὸς τὸ ἓν καὶ τὸ στοιχεῖον, ἐπειδὴ συνηθέστερον αὐτῶν ἀλλ' οὐ θεολογικώτερον ἀκούει· εἰ δέ τινες ἓν ὑποθέμενοι εἶναι τῶν μαθηματικῶν ἀριθμῶν τὴν ἀρχὴν ἀφεῖλον ἀπ' αὐτοῦ τἀγαθόν, οὐ περὶ τῆς ἁπάντων ἀρχῆς διαλέγονται, ἀλλὰ περὶ τῆς τῶν μοναδικῶν ἀριθμῶν αἰτίας· καὶ δῆλον μὲν ὅτι καὶ αὕτη τὸ ἀγαθόν ἐστι τῶν ἐξ αὐτῆς ἀπογεννωμένων, οὐ μέντοι ἁπλῶς τἀγαθόν.

4 ἰσότητα **H**. ‖ 7 ἡμῶν om *β*. ‖ 10 θέλειν κατορθοῦν **H**. ‖ 11 ἀλλ' ἦν **Hβ**: ἀλλὰ **B**. ‖ 12 ἄλλό τι (**A**)**H**. ‖ 13 τις] an γε? ‖ 13. 14 ὅτι τὸ ἑνὶ τὸ ἀγ. **H**. ‖ 14 ὅτω **H**. ‖ 16 καὶ τὸ ἀγαθὸν (**A**). ‖ 18 κατὰ τὸ ἀληθὲς] *ut rei ueritas est* *β* τὸ ἀληθὲς **BH**: κατὰ addidi cum Lobeckio qui l. 18—b7 Aglaoph. p. 577 ex **B** edidit. ‖ 22 τὸν τόθ'] τοῖον Simplicius in phys. f. 150r, Galei apographon (cf. classical journal t. XVII p. 163). fort. τοῦτό θ' sc. μέτρον? *patrem qui et aetherem deis mundumque mortalibus diuisit* (αἰθέρα θ' ὃς διένειμε) *β*. ‖ ἑλὼ διέκειμε **H**. ‖ τε] δὲ Gal. ‖ 23 ὅ] ὃς Gal. καὶ Proclus in Tim. p. 291, licentius πρῶτον μὲν Alex. p. 800, 18. ‖ βασίλευε Gal., item 27. ‖ ἠρισκεπαῖος **BHβ**: corr. Brandisius. ‖ 25 σκῆπτρον om **H**. ‖ χερσῶν **A**. ‖ ἀοιπρεπὲς om **BHβ** Gal., ex Alex. restituit Brand. ‖ ἠρισκεπαίου **BHβ**. ‖ 27 μετὰ om Gal. ‖ 28 χάος] exspectes χάος καὶ ὁ αἰθὴρ καὶ ὁ χρόνος (cf. p. 859 b31) ὑπὲρ ... εἰσὶ σχέσιν cf. quae mox l. 32 secuntur. ‖ 31 ἀθανάτων Lob.: ἀθάνατον **BHβ** Gal. ‖ βασιλῆα sic **H**. ‖ τε om **Hβ**, Galeus. σὲ coni. Lobeckius.

1 μὲν om *β*. sed post χάος et hiare orationem manifesto apparet et supplere satis probabiliter hiatum licet αἰθὴρ μὲν καὶ χάος κατ' ἐκείνους (siue κατὰ τὸν Ὀρφέα siue κατὰ τοὺς θεολόγους mauis), Πρωτεὺς δὲ καὶ χάος κατὰ τὸν Πυθ.: haec enim nomina Syrianus p. 931 a5 testatur, cum p. 842 a8 Πρατέα καὶ δυάδα dicat. ‖ τὸν post κατὰ om (**A**). ‖ 4 φάνη τὰ **H**. ‖ προσεῖπεν Lobeckius errore. ‖ 5 θεολόγων **C**: θεῶν **BHβ**. ‖ 8 ἀποδέχει (**A**). ‖ 9 μεταβολαὶ pr **H**. ‖ βασιλέων **A**. ‖ 10 δοκεῖ (**A**)**H**. ‖ τῶν] fort. ὡς δὲ τῶν? ‖ 13 Βροτίνῳ] cf. Alex. p. 800, 32. κροτίνῳ **CHβ** κρόνῳ **A** Βροντίνῳ edidit Brandisius, sed cf. ad p. 926 a2. ‖ 14 διδασκαλίᾳ **H** διδασκάλῳ **A** *scholis* *β*. ‖ 15 ὡρμωμένοις **BH** ὁρμωμένοις Brandisius edidit. ‖ οὐσίαν] οὐσία **BH** οὐσίᾳ *β*. cf. Arist. ‖ 18 ἀπορεῖ ... 20 ἀγαθόν τι" om *β*. ‖ ἀπορεῖ **C**: ἀπορείωτον **A** ἀπορείτω **H**. latet fort. ἀπορεῖ αὐτός. ‖ 21 τοῦτ' ... αὔτ.] *hoc est ei bonum esse per se sufficiens* *β*. ‖ 22 αὐτῷ **Hβ**: αὐτὸ **B**. ‖ καὶ ἑνότητα om **Aβ**. ‖ 23 ἄλλό τι (**A**)**H**. ‖ αὐτὸ τοῦτο τὸ ἀγαθόν **C**. ‖ 25 γὰρ ἂν **H** (*indigeremus*) *β*: γὰρ **B**. ‖ 26 γὰρ αὐτός] fort. δ' Ἀριστοτέλης. ‖ 27 καὶ τὸ στοιχεῖον om **AHβ**. ‖ αὐτῶν] αὐτοῦ *β*. ‖ 30 τῆς τῶν] τῶν **CH** om **A**. ‖ 31 καὶ αὐτὸ τὸ ἀγαθόν *β*.

ἢ γὰρ ἄν, ὅπερ λέγει, ἅπασαι αἱ μονάδες ἐγίγνοντο ὅπερ ἀγαθόν; αἱ μονάδες οὐχ αἱ ὑλικαί ἀλλ' αἱ κᾷ τὰ εἴδη τῶν ἀριθμῶν θεωρούμεναι, αἵ τινες εἰσὶ μᾷ τοῦδε τοῦ ἀριθμοῦ τἀγαθόν, ἡ πεντὰς τοῦ πέντε καὶ ἡ δεκὰς τοῦ δέκα, οὐ μὴν ὅπερ τὸ ἀγαθὸν ἁπλῶς, ὥσπερ αἱ μονάδες ἢ ἑνάδες αἱ ἀπὸ τῆς πρωτίσης αἰτίας προελθοῦσαι· ἐκεῖναι γὰρ οὐ μόνον θεοὶ ἀλλὰ καὶ συνοχαί τινες θεῶν. καὶ οὐδὲν ἄτοπον ἐν τοῖς ὅλοις εὐπορίαν εἶναι τῶν ἀγαθῶν. ἄφθονον γὰρ τὸ θεῖον καὶ ἀπερίληπτον ἀνθρωπίνῳ λογισμῷ, καὶ τὰ εἴδη δὲ καὶ οἱ ἀριθμοὶ θεῖα καὶ ἀγαθοειδῆ ἅτε τῆς πρωτίσης αἰτίας ὄντα γεννήματα. καὶ οὐ δεῖ ταῦτα ὡς ἄτοπα
1091b 27. προφέρειν, ἅπερ αὐτόθεν οἱ ἄνδρες προσίενται. "ἀλλὰ μὴν ... κακὸν αὐτό". εἰ τὸ ἕν, φησίν, ἀγαθόν, ἀγαθοειδῆ καὶ τὰ εἴδη· ὃ συγχωρηθέντος ἄπορον αὐτῷ καταφαίνεται, τίνων χρὴ τὰς ἰδέας ὑποτίθεσθαι· εἴτε γὰρ τῶν τῇδε ἀγαθῶν μόνων, οἷον τῶν ἀρετῶν, ὅτε οὐσιῶν ἔσονται αἱ ἰδέαι ὅτε οὐσίαι· εἴτε τῶν οὐσιῶν, ἔσονται πᾶσαι αἱ τῇδε οὐσίαι ἀγαθαί, ἐπειδὴ κᾷ τὰς ἰδέας ὑπέςησαν ἀγαθὰς οὔσας. πρὸς τούτοις δὲ πᾶσιν εἰ τὸ ἕν, φησίν, ἀγαθόν, τὸ μὴ ἓν ὁ εἴτε δυάδα εἴτε ἄνισον εἴτε πλῆθος χρὴ καλεῖν, ἔςαι κακόν, ἵνα ἐξ ἐναντίων ἡ γένεσις ᾖ τῶν πραγμάτων. πρὸς ὃν φαίη τις ἂν ὅτι καὶ εἰ τῶν ἀρετῶν μόνων ἦσαν αἱ ἰδέαι, οὐκ ἐκωλύοντο εἶναι οὐσίαι· οὐ γὰρ οἷον τὸ παράδειγμα, τοιαύτη κᾷ πάντα καὶ ἡ εἰκών, ἀλλὰ ὡς ἀμερὴ μεριςῶν αἴτια καὶ νοερὰ ἀνοήτων καὶ θεῖα θνητῶν, ὅτω καὶ οὐσίαι ποιοτήτων, οὐ τῶν τυχουσῶν ἀλλ' ὅσαι οὐσιῶν εἰσι τελειωτικαί. καὶ εἰ πασῶν δὲ οὐσιῶν εἰσιν ἰδέαι, ὥσπερ ὧν εἰσίν, οὐκ ἀνάγκη τὰ τῇδε πάντα καλὰ εἶναι καὶ ἀγαθά· οὐ γὰρ ἀεὶ κατέχει τὸ μέτρον ὅπερ ἄνωθεν δέχεται, παρατρεπόμενα δὲ εἰς ἀμετρίαν ὑποφέρεται. τίς δὲ ἀνάγκη καὶ τοῦ ἑνὸς ἀγαθοῦ ὄντος τὴν ἑτέραν ἀρχὴν κακὴν εἶναι; πρῶτον μᾷ γὰρ ἐκεῖνο τὸ ἓν λέγουσιν εἶναι τἀγαθόν, ὃ ἐξήρηται πάσης τῆς πρὸς ἕτερον συντάξεως καὶ ἔςιν ἐπέκεινα καὶ τῶν μετ' αὐτὸ δυοῖν ἀρχῶν· κἂν τὴν προτέραν δὲ καὶ θειοτέραν τῶν δυεῖν ἀρχῶν, ἣν μονάδα καλοῦσι, τὸ ἀγαθὸν εἶναι λέγωσιν, οὐχ ἕπεται αὐτοῖς τὴν δυάδα, κἂν ἄλλην ἀντίθεσιν ἔχῃ πρὸς τὴν μονάδα, κακὸν λέγειν· οὐ γὰρ ἐκ τοιαύτης ἀντιθέσεως τὰ θεῖα γεννᾶται καὶ πρόεισιν, ἀλλ' ἐκ παναρίςου καὶ ἀκράτως ἐχούσης τὸ ἀγαθόν. ὥςθ' ὅσα ἐν τοῖς ἑπομένοις ὡς ἀκολουθοῦντα τῇ ὑποθέσει συλλέγει ἀδύνατα, οὐδὲν προσήκοντα τοῖς ἀνδράσιν ἐκείνοις ἐπιφέρει· πάντῃ γὰρ τὸ κακὸν ἐκ τῶν ἀρχῶν παρ' αὐτοῖς ἐξώριςαι, ὥσπερ ὁ θεῖος Πλάτων ἐν Θεαιτήτῳ σαφῶς εἴρηκεν, ὡς οὐ δυνατὸν αὐτὸ ἐν θεοῖς ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον ἀνάγκη περιπολεῖν. "διόπερ ... τῷ ἐνί". τίς ἐςιν ὁ φυγών; διὰ τί μάτην ὀνειδίζεται ὁ χρυσοῦς Σπεύσιππος; πῶς δὲ εἴπετο ἐκ τοιούτων ἐναντίων εἶναι τὴν τῶν θείων πραγμάτων ὑπόςασιν; "οἱ δὲ ... φύσιν". εὐφήμει· τὸ γὰρ ἄνισον ὁ ἐπὶ τῆς αἰτίας τῶν ὄντων παρελάμβανον πρεσβύτερον ὂν καὶ τῆς ἐν τοῖς γένεσι τοῦ ὄντος ἑτεροότητος οὐ μόνον πανάριςον ἔλεγον εἶναι, ἀλλὰ καὶ τῶν παναρίςων γεννητικώτατον· εἰ δέ γε πρὸς τοῖς ἐχάτοις καὶ ἐνύλοις ἐςί τι παρ' αὐτοῖς ἄνισον κακιζόμενον, οὐδὲν τοῦτο πρὸς τὴν γεννητικὴν τοῦ πλήθους αἰτίαν, εἰ μὴ ὅτι ἐκεῖθέν πως καὶ τοῦτο. "συμβαίνει ... ἀγαθόν". πάντα ταῦτα ἕπεται τοῖς δύο μᾷ ἀρχὰς ποιοῦσι τῶν ὅλων, διαιροῦσι δὲ αὐτὰς τῷ ἀγαθῷ καὶ τῷ κακῷ· πάντα τε γὰρ μεθέξει τοῦ κακοῦ πλὴν τῆς ἑτέρας τῶν ἀρχῶν, ὡς παρ' Ἐμπεδοκλεῖ πάντα δόξειεν ἂν μετέχειν τοῦ νείκους πλὴν αὐτῆς τῆς φιλίας, καὶ τὰ πρῶτα τῶν δευτέρων ἀκρατότερον ἕξει τὸ κακόν, καὶ ἐνεργήσει τὸ ἀγαθὸν ἐν τῷ κακῷ, ἐρασθήσεταί τε τὸ κακὸν τοῦ ἀγαθοῦ, καίπερ ὄντος ἑαυτοῦ λύμης καὶ φθορᾶς. εἰ δὲ καὶ ὑλικὸν εἴη τοῦτο, τὸ κακὸν ἔςαι δυνάμει βέλτιςον. καὶ ἄξιον μᾷ θαυμάσαι τὸν Ἀριςοτέλην καὶ ἐν τούτοις, ὅπως εἰδέ τε τὰ ἑπόμενα ταύτῃ τῇ ὑποθέσει ἄτοπα καὶ δι' ἐλαχίςων παραδέδωκεν· οὐ μὴν διὰ τοῦτο καὶ λέγειν τι πρὸς τοὺς Πυθαγορείους οἰητέον αὐτόν· οὐδαμοῦ γὰρ ἐκεῖνοι τὸ κακὸν ἐν ταῖς ἀρχαῖς παρελάμβανον. "ταῦτα ... πρῶται οὐσίαι". τὸ μᾷ τῶν ἀτόπων ἕπεται, φησίν, "ὅτι πᾶσαν ἀρχὴν ςοιχεῖον ποιοῦσι"· ποῖον ἄτοπον εἶναι τούτῳ ἕπεται; τὸ πάντα εἶναι ἀγαθά, εἰ τἀγαθὸν ὡς ςοιχεῖον ἀρχή. "τὸ δὲ ὅτι τἀναντία ἀρχάς", τὸ εἶναι καὶ τὸ κακὸν ἀρχήν· "τὸ δὲ ὅτι τὸ ἓν ἀρχήν", οὐκέτι γάρ, φησίν, ἔςαι ἀγαθόν, εἴπερ ἕν· τὸ δὲ ὅτι τὰς πρώτας οὐσίας ἀριθμοὺς εἰρήκασιν εἶναι, τὸ ἀκράτου μετέχειν τοῦ κακοῦ τοὺς ἀριθμούς. τέτταρα ὧν ἄτοπα ἀκολουθήσει ταῖς τέτταρσιν ὑποθέσεσιν· καὶ

1091b 32. 1091b 35. 1091b 35. 1092a 5.

2 post ἀγαθόν interrogationis notam posui. sed forsitan initio responsi quidpiam intercideriit. ‖ 4 οὐ μὴν ἀλλ' ὅπερ *A*. ‖ 6 προσελθοῦσαι *H*. ‖ θεὸς ἀλλὰ *H*. ‖ 7 *affluentiam* β: ἀπορίαν *BH*. correxi cum Bonitzio. ‖ 9 θεῖσα καὶ *H*, om β. ‖ 10 γενήματα *B*. ‖ 11 προῖενται pr *H*. ‖ 12—20 πραγμάτων sublata ex Alex. p. 801, 32—802, 5. ‖ 13 ἄπορον] ἄτοπον *A*. ‖ 14 μόνον β. ‖ 19 ᾖ] ἢ *H*. ‖ 20 πραγμάτων] εἰδῶν Alex. ‖ fort. πρὸς ἃ. ‖ μόνων om *Aβ*. ‖ 21 ἐκώλυον τὸ *H prohibebant* β. ‖ οὐσίαν *H substantias* β. ‖ 22 ὡς] καὶ *BH*β. ‖ 25 ὧν εἰσίν] ὄνσιν *H*. ‖ 26 πάντα καλὰ] πάγκαλα *H*. ‖ εἶναι om *AH*. ‖ τὸ μέτριον *H*. *non enim semper retinet mensura* β praue, cf. p. 937 b13. ‖ 29 ἀρχὴν κακὴν cum β Bonitzius et ego: ἀοχικὴν κακὴν *C* ἀρχικὴν *AH*. ‖ 30 ἐξήκτηται *H*. ‖ 31 καὶ τὸ μετ' *AH*. ‖ κἂν τὴν] καὐτὴν *H*. ‖ δυοῖν *H*. ‖ 34 πρὸς om *A*. ‖ 35 *sed ex optimo principio et sincerissimum bonum habente* β.

2 συλλέγειν *H*. ‖ 4 ἐνθεςήκτω sic *H*. Pl. Theaet. p. 176 A. ‖ 5 αὐτὸ om *H*. ‖ ἱδρύσθαι *B* ἑδρύσθαι *H*. ‖ 7 *somniatur* (ὀνειράζεται) β ex coniectura. ‖ 8 ὁ] καὶ ὁ *BH*: καὶ deleui cum β. ‖ σπεύσιπος *H Chrysippus* β. cf. Alex. p. 802, 6. ‖ 10 *Recte dicit.* β. ‖ 12 ἔλεγεν εἶναι *H* εἶναι ἔλεγον *A*. ‖ 13 γεννητικώτατον *BH*. ‖ ἐσχάτης *H*. ‖ 15 γεννητικὴν *H*. ‖ 17 αὐτὰς] τὰς *H*. ‖ 18 πάντα . . . 24 βέλτ. ex Alex. p. 802, 8—19 conpilata. ‖ πλὴν τῆς Alex. πλὴν *BH*. ‖ 19 ὥσπερ ἐμπεδοκλῆς *BH*β: emend. Bonitzius. ‖ δόξειεν ἂν] *uisa sunt* β. ‖ 21 fort. ἀκρ. μεθέξει τοῦ κακοῦ cl. Alex. 802, 14. ‖ 24 βέλτιςον καὶ ἀγαθόν Alex. ‖ μὲν *CH*: δὲ *A* δὴ β. ‖ 25 οἷδέ τε *Aβ* εἰδότες *H*. ‖ 28—937 a2 ἀκρ.] Alexandrum p. 802, 21—27 integrum Syrianus conpilabat. ‖ 30 sq. εἶτ' ἀγαθὸν *H*. ‖ 31 ἔτι] ἔτι *BH*: cum β corr. Bonitzius et Brandisius. ‖ 32 τὸ ἓν ἀρχὴ *B*. ‖ 34 ἀκράτου *H*. ‖ 35 τέσσαρα Alex. δ libri. ‖ ἠκολούθησε *H*β. ‖ ταῖς τέσσαρσιν Alex. τέτρασιν *BH*.

γὰρ πάντα ἔχει ἀγαθὰ καὶ κακὰ πλὴν ἑνός, καὶ τὸ κακὸν ἀρχή, καὶ ἀρχὴ οὐκ ἀγαθόν, καὶ οἱ ἀριθμοὶ τοῦ κακοῦ μεθέξουσιν ἀκράτου. ῥητέον οὖν πρὸς αὐτὸν ὡς ὅτε στοιχεῖον οἷον σὺ νοεῖς ποιοῦσι πᾶσαν ἀρχήν, ὅτε τοιαῦτα ἐναντία ποιοῦσι τὰς ἀρχάς, ὡς τὴν μὲν εἶναι ἀγαθὸν τὴν δὲ κακόν, ὅτε τὸ ἓν καὶ τὴν ἐκείνων ἐκλαμβάνεις διάνοιαν οὐθ' ἕπεται τῷ χωρισθὲς εἶναι τοὺς ἀριθμοὺς τὸ μετέχειν αὐτοὺς ἀκράτου τοῦ κακοῦ ἢ κεκραμένου, τοῦ κακοῦ πεφυγαδευμένου πάλαι οὐκ ἐκ τῆς νοητῆς μόνης οὐσίας ἀλλὰ καὶ ἐκ τοῦ σύμπαντος αἰθέρος, ἐνταῦθα δὲ περὶ τὴν θνητὴν φύσιν περιπλανωμένου καὶ παρυφισαμένου τοῖς μερικωτέροις τῶν ἀγαθῶν καὶ τὴν ἐξ αὐτῶν ἀπόπτωσιν. καλῶς οὖν ἀπεδόθησαν αἱ ἀρχαί, καὶ ἄμεινον τἀγαθὸν ἓν λέγειν ἢ νοῦν· ὁ μὲν γὰρ ἓν αὐτὸ καλῶν ἄκρατον τἀγαθὸν φυλάττει καὶ μόνως ἀγαθόν. τὸ γὰρ ἓν οὐκ ἐθέλει συνδυάζεσθαί τινι· ὁ δὲ νοῦν καλῶν οὐ μόνον ἀγαθὸν ποιεῖ· ἐὰν δὲ καὶ ζῷον καὶ ὂν καὶ νοητόν, δῆλός ἐστιν ἀπὸ τἀγαθοῦ ἐπὶ τὸ ἀγαθοειδὲς ἀποφερόμενος, καὶ τοῦ μὲν ὄντως ἑνὸς ἀποτετυχηκώς, ἐπὶ δὲ τὸ ἓν πολλὰ κατανείμας.

1092a 11. "Οὐκ ὀρθῶς ... πρῶτον". ἦσάν τινες ἴσως οἳ καὶ τὰς τῶν ὅλων ἀρχὰς ἀτελεστέρας ὑπελάμβανον εἶναι τῶν ἐξ αὐτῶν, οἰόμενοι τοῖς γενητοῖς ὁμοίως ἔχειν τὰ ὅλα· πρὸς οὓς φησιν ὅτι οὐδ' ἡ γένεσις ἁπλῶς ἐξ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἄγει, οἷον ἐκ σπέρματος ἐπὶ τὸ ζῷον, ἀλλὰ καὶ τὸ ἀτελὲς ἐκ τοῦ τελείου ὑφίστησιν· ἄνθρωπος γὰρ πρὸ σπέρματος καὶ αἴτιος τοῦ σπέρματος, καὶ ἁπλῶς τὸ ἐντελεχείᾳ πρὸ τοῦ δυνάμει. καὶ ἔρρωται μὲν αὐτοῦ κατ' ἀμφότερα ὁ λόγος· καὶ γὰρ ἐπιπλήττει καλῶς τοῖς τὸ ἓν ἅμα μὲν ἀρχὴν λέγουσι τῶν ὄντων, ἅμα δὲ ἀνύσιον καὶ τὸ χεῖρον τῆς οὐσίας, καὶ περὶ τῶν γενητῶν ἱκανῶς διαλέγεται, τὸ τέλειον ἀεὶ τοῦ ἀτελοῦς προτιθείς. μὴ προσιέμενος δὲ τοὺς ἐν τῷ παντὶ λόγους οὐκ οἶδ' ὅπως τὸ δόγμα διασῶσαι δυνήσεται. τί γὰρ ἐπὶ τῶν ἀπὸ σήψεως ἐρεῖ ζῳῶν, τί δὲ περὶ δένδρων ἢ θάμνων ἢ ποῶν αὐτομάτως φυομένων; ἡμεῖς μὲν γὰρ καὶ τούτοις οἰησόμεθα προϋπάρχειν ἐν τῇ φύσει τοῦ παντὸς τοὺς ποιητικοὺς αὐτῶν λόγους. ὁ δὲ τούτους μὴ προσιέμενος, πῶς ἢ πρὸ τοῦ ἀτελοῦς τὸ τέλειον ἐν παντὶ παραλήψεται, ἢ ἐκ συνωνύμων ἕκαστον ὑποστήσει; τὸ γὰρ λέγειν ὅτι ὁ ἥλιος καὶ ὁ ζῳδιακὸς τέλεια ὄντα καὶ ὑφίστησι ταῦτα καὶ τελειοῖ, μάλιστα μὲν τὴν κοινὴν ἐστι λέγειν αἰτίαν πάντων τῶν γενητῶν καὶ οὐ τὴν ἑκάστων ἰδίαν· ἔπειτα πῶς ὀργανοποιεῖ τὴν ἐμπίδα καὶ τὸν σφῆκα καὶ τἆλλα τὰ ἀπὸ σήψεως, εἰ μήτε αὐτὸς ἔχοι τούτων τοὺς λόγους μήτε τὸ ἔχον κινοίη; εἰ μὴ ἄρα τῷ αὐτομάτῳ ἀεὶ τὴν γένεσιν αὐτῶν ἐπιτρέψαι καὶ τὴν ὀργάνωσιν· ἀλλὰ ταὐτόματον οὐκ ἀεὶ ὁμοίως ἀλλ' ἐν τοῖς ἐπ' ἔλαττον ἐνδεχομένοις ὁρᾶται. "ἄτοπον ... 1092a 17.
ὁ τόπος μή". τοῦτο Ἀλέξανδρος εἰς Πλάτωνά φησιν ἀπερρίφθαι. εἰ τοίνυν ὀρθῶς στοχάζεται τῆς Ἀριστοτέλους διανοίας, οὐδ' ἂν ἡμεῖς ἄστοχόν τι λέγοιμεν περὶ τοῦ θείου Πλάτωνος φήσαντες αὐτὸν τοῖς μαθηματικοῖς σώμασι τὴν φαντασίαν ἡμῶν τόπον ποιεῖν, ὥσπερ τοῖς ἐνύλοις εἴδεσι τὴν ὕλην, διαφέρειν δὲ τοσοῦτον ὅτι παρὰ μὲν τῆς φύσεως ἡ ὕλη τὸ ἔνυλον εἶδος ὑποδεχομένη οὔτε οἶδεν ὃ δέχεται οὔτε διακατέχειν αὐτὸ δύναται, παρὰ δὲ τῆς ἄνω ψυχῆς ἡ φαντασία τὸ μαθηματικὸν σῶμα δεξαμένη καὶ θεωρεῖ αὐτὸ καὶ διαφυλάττειν ἐφ' ὅσον ἔχει αὐτῇ δύναται· ἄλλος οὖν τόπος σωμάτων φυσικῶν, ἄλλος ἐνύλων εἰδῶν, ἄλλος μαθηματικῶν σωμάτων, ἄλλος ἀύλων λόγων. καὶ οὐχ ἡμεῖς ταῦτα καινοτομοῦντες λέγομεν, ἀλλὰ καὶ αὐτὸς Ἀριστοτέλης τόπον εἰδῶν τὴν διανοητικὴν ψυχὴν κέκληκεν. ὅτι δὲ καὶ περὶ τοῦ τῶν φυσικῶν σωμάτων τόπου λέλεκται τῷ Πλάτωνι, οἱ τὸν Τίμαιον μὴ παρέργως ἐξετάσαντες γιγνώσκουσιν. "ἔδει δὲ ... ἐκεί- 1092a 21.
νῳ γε ἐναντίον". οὐχ ὁ αὐτὸς λόγος περὶ τῆς τῶν μαθηματικῶν ἀριθμῶν ὑποστάσεως καὶ περὶ τῆς τῶν εἰδητικῶν· τοῖς μὲν γὰρ εἰ καὶ μὴ φυσικήν, ἀλλ' οὖν μαθηματικὴν ὕλην δίδομεν τὴν ὑποβεβλημένην αὐτοῖς ποσότητα, τοὺς δὲ εἰδητικοὺς ἀμερεῖς πάντῃ καὶ νοερὸς δραστήρίους τε καὶ δημιουργικοὺς εἶναι πεπιστεύκαμεν, ἐν εἴδεσιν ἁπλοῖς καὶ ἀύλοις καὶ ἀρρεπέσι πρὸς τὰ τελευταῖα τὴν ὑπόστασιν ἔχοντας. καὶ ἔδει τούτων οὕτως ἐχόντων σαφῶς διακρῖναι, περὶ ποίων ἀριθμῶν τὰς ἐρωτήσεις ταύτας πεποίηται. οὐ μὴν ἀλλ' ἐπειδὴ μᾶλλον δοκεῖ περὶ τῶν εἰδητικῶν ἐρωτᾶν (τὰ γὰρ πρῶτα τῶν ὄντων οὐ τοὺς μαθηματικοὺς ἔλεγον οἱ ἄνδρες ἀριθμούς, ἀλλὰ τοὺς εἰδητικούς), ἀκουέτω πάλιν ὡς οὔτε μῖξις οὔτε σύνθεσις οὐθ' ὑποκείμενον οὔτε φέρησιν οὔτε φθορὰν ἐπιδεχόμενον στοιχεῖον οὔτ' ἄλλο τοιοῦτον οὐδὲν εἰς τὴν σύστασιν τῶν θείων ἀριθμῶν παραλαμβάνει· πάντα μὲν γὰρ ταῦτα περὶ τὴν ἔνυλον καὶ ἄλλοτε ἄλλως ἔχουσαν φύσιν στρέφει· τὰ δὲ θεῖα

1 ἔχει τἀγαθὰ *H*. ‖ 3 πᾶσαν] πᾶσιν *Aβ*. ‖ 4 τοιαῦτα Bonitzius et Brandisius: ταῦτα *BHβ*. ‖ 6 τῷ] τὸ (*A*)*H*. ‖ 7 αὐτὰς *H*. ‖ ἀκράτου τοῦ] τοῦ om *BHβ*. ‖ ἢ ... πάλαι] *cum scilicet mistum malum effugerit pridem β*. ‖ 11 ἐξ αὐτῶν suspectum. ‖ 13 ἄκρατον ἀγαθὸν *BHβ*. ‖ 15 ἀπὸ τοῦ ἀγ. *AH*. ‖ 16 ἀναφεσόμενος *BH defertur β*. ‖ ὄντως] ὄντος *BH*: cum *β* correxi, item Bonitzius. ‖ ἀποτετυχηκέναι *A*. ‖ 17 καταμείνας *AH*. ‖ 18—24 δυνάμει petita ex Alex. p. 803, 4—7. 10—13. ‖ 18 οἱ om (*A*)*H*. ‖ 19 ὑπολαμβάνοντες εἶναι *A*. ‖ 21 ὅτι οὐδ'] οὐδ' (omisso ὅτι) *BHβ*: ὅτι οὐδὲ ἐνταῦθα Alex. ‖ 25 αὐτοῦ *H*: αὐτῷ *B* om *β*. ‖ γὰρ om *β*. ‖ καλῶς *H*. ‖ 26 ἀνύσιον *H*. ‖ 28 ἀεὶ om *β*. ‖ 29 λόγους] fort. φυσικοὺς λόγους. ‖ δόγμα σῶσαι *Aβ*. ‖ 30 γὰρ ἐπὶ τῶν ἀπὸ τῶν ἀποσήψεως *H*. cf. p. 866 b15. ‖ ἐρεῖ] *dicetur β*. ‖ 31 αὐτομάτων *H*. ‖ καὶ] καὶ ἐν *BHβ*. ‖ 33 αὐτῶν λόγους *Hβ*: λόγους αὐτῶν *B*. ‖ 35 ὁ ante ἥλιος om *H*. cf. Ar. hist. an. V 19 p. 552 a10.

2 τὸν (τὴν *C*?) σφῆκα *CH*: τὴν σφίγγα *A uermem β*. ‖ τἆλλα *H*. ‖ 3 *si neque ipsi* (αὐτὰ) *horum habent rationes neque moueant id quod habet β*. ‖ ἔχει *BHβ*. ‖ 4 αὐτομάτως *AH*. ‖ 5 ἐπιτρέψει ci. Brandisius. ‖ 7 Alex. p. 803, 16. ‖ ἀπερίφθαι *H*. ‖ 8 τῆς] τὰς *β*. ‖ 11 διαφέρει *β*. ‖ 12 ἀποδεχομένη (*A*)*H*. ‖ 15 διαφυλάττει *H* διαλλάττειν *Aβ*. ‖ ἐφὶν (*A*)*H*. ‖ αὐτῇ] *in se ipsa β*. ‖ δύνασθαι *H*. ‖ 18 Arist. de anima III 4 p. 429 a27. ‖ 27 ἀρεπέσι *H*. ‖ 29 διακρίναι *BH*. ‖ 30 fort. ποιεῖται. ‖ 32 τοὺς post ἀλλὰ om *AH*. ‖ 33 μῖξις *BH*. ‖ 36 δὲ ante θεῖα addidi cum *β*, item Bonitzius.

πάντα, μενυσῶν ἀεὶ τῶν ἀρχῶν ἐν οἰκείοις ἤθεσι, πρόεισιν αὐτογόνως διά τε τὴν τῆς γονίμυ δυνάμεως τῶν πρωτυργῶν αἰτίων περιυσίαν ϗ διὰ τὴν ἑαυτῶν αὐτοφανῆ ϗ αὐτόγονον ἰδιότητα, ἔχει τε ἀεὶ κῇ τὰ αὐτὰ ϗ ὡσαύτως, πόρρω μὴ ἱδρυμένα γενέσεως ϗ φθορᾶς συνθέσεώς τε ϗ διαιρέσεως ϗ ὅλως μεταβολῆς, τὴν δὲ φύσιν ὅλην ϗ τὴν ἐπιβατεύυσαν τῇ φύσει ψυχὴν ποδηγετῆντα ϗ κατευθύνοντα ϗ περὶ ἑαυτὰ ποιεῖϑϑ τὰς ἐνεργείας παρασκευάζοντα, ἵνα μήθ' ἡ γένεσις ἐκλίπῃ μήθ' ἡ περὶ τὴν ὕλην ἀνωμαλία κρατῇ, κοσμῇϑ δὲ πάντα ταῖς τῶν εἰδῶν ϗ τῶν ἀριθμῶν φυσικαῖς ϗ δημιυργικαῖς ἐπιςήμαις· περὶ δὴ τοιούτων ἀριθμῶν διαλεγόμενοι πῶς ἂν φθορᾶς ἐποιήσαντο μνήμην; οἱ γὰρ ϗ τὰ ῥευςὰ τῇ ἑαυτῶν φύσει ϗ τὰ θνητὰ ϗ ἐπίκηρα διακατέχοντες ϗ ἀνανεκμενοι πῶς ἂν ὑπελήφθησαν παρὰ τῶν ὀρθῶς αὐτοῖς ἐπιβεβληκότων φθαρήσεϑϑ; ἀλλ' οὐδ' ὁ Ἐμπεδοκλῆς δικαίως ἐπιτετίμηϑ νῦν, τάχα δὲ οὐδὲ ἄλλοτε, ὡς τὸ μῖγμα φθείρων διὰ τοῦ νείκους· ὅτε γὰρ τὸ νεῖκος φθαρτικόν (αὐτὸ γὰρ ἐςι τὸ κοσμοποιοῦν) οὔθ' ὁ σφαῖρός ποτε διαλύεϑ παρ' αὐτῷ, εἰ μή τις τῶν ῥημάτων ἐχόμενος τῶν προβεβλημένων τῆς ὅλης αὐτοῦ θεολογίας ἀφίςαιτο τῆς διανοίας τάνδρός, ἀλλ' ἔςι τὸ μὴ νεῖκος αὐτῷ πλήθυς ϗ ἑτερότητος γεννητικόν, ἡ δὲ φιλία ταὐτότητος ϗ ἑνώσεως· διὸ ϗ κρατεῖ μὴ ἐν τοῖς νοητοῖς, ἃ δὴ σφαῖρον ὠνόμασεν, ἡ φιλία, ἐν δὲ τοῖς αἰσθητοῖς τὸ νεῖκος· ἑκατέρωθι μὴ γὰρ ἓν ϗ πλῆθος, ἀλλ'
1092b 8. ὅ μὴ τὸ ἓν ὅ δὲ τὸ πλῆθος ἐπικρατεῖ. "Ὀθὲν . . . θερμόν"; δύο δόξας ἐκτίθεϑ περὶ τῆς τῶν ὀσιῶν ἐκ τῶν ἀριθμῶν ὑποςάσεως, ὧν ὀδετέραν προσίεϑ· ὅτε γάρ, φησίν, ὅροι τῶν ὀσιῶν εἰσιν οἱ ἀριθμοί, ὥσπερ τῶν γραμμῶν αἱ ςιγμαί (ὅτω γὰρ ὁ Πυθαγόρειος οἰηθεὶς Εὔρυτος τοῦδε μὴ τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον ἔλεγεν εἶναι, τοῦδε δὲ τοῦ ζῴου τόνδε, ὥσπερ ϗ τοῦ μὴ τριγώνου τὸν $\overline{\varsigma}$, τοῦ δὲ τετραγώνου τὸν $\overline{\theta}$, τοῦ δὲ κύβου τὸν $\overline{\eta}$)· ὅθ' ὡς ἕτεροι λέγουσιν, ὅτι αἱ μὴ ὀσίαι διὰ λόγων δημιυργοῦνϑ, οἱ δὲ λόγοι συμφωνίαι εἰσίν, αἱ δὲ συμφωνίαι σχέσεις ἀριθμῶν ἐναρμόνιοι· κατ' ὀδετέραν γάρ, φησί, τούτων τῶν δοξῶν ἔςιν εἰπεῖν, πῶς τὰ συμβεβηκότα γίγνεϑ ἐκ τῶν ἀριθμῶν. ῥητέον δὲ ὅτι οἱ μὴ περὶ τὸν Εὔρυτον εἰκόνας ὁρῶντες ἐν τοῖς μαθηματικοῖς ἀριθμοῖς τῶν πραγμάτων εὐλόγως ἀπένεμον τινὰς τιςὶ κατ' οἰκειότητα, οἷον τὸν μὴ ςὶ ὡς βωμίσκον τῷ σώματι, τὸν δὲ ςὶς ὡς τετράγωνον κύβον τῇ ψυχῇ· οἱ δὲ δεύτεροι τοὺς φυσικοὺς ἐῴκεσαν ἀριθμοὺς παραδιδόναι· τῷ γὰρ ὄντι ὅτοι συμφωνίας εἰςὶ τῷ ὑποκειμένῳ ποιητικοί· πῶς γὰρ ἂν ϗ ἓν γένοιτο τὸ ὑποκείμενον τῇ τοῦ ἑνὸς εἴδους ἐπικρατείᾳ μὴ συμφωνησάντων ἐν αὐτῷ ϗ ἁρμοϑέντων τῶν ἐναντίων; ταύτῃ δὲ τίς ἂν ἄλλος ἀριθμήσειε πλὴν τῆς φύσεως; ὥσπερ δὲ ὁ μυσικὸς διὰ τῶν ἑαυτοῦ μαθηματικῶν ἀριθμῶν τὴν λύραν, ὅτως ἡ φύσις διὰ τῶν ἑαυτῆς φυσικῶν ἀριθμῶν τὰ ἑαυτῆς ἁρμόζει δημιυργήματα. "Ὅτι δὲ 1092b 16.
οὐχ . . . ὁποιωνοῦν". βυλόμενος δεῖξαι ὅτι τὸ εἶδος ὅτε ἀριθμός ἐςιν ὅτε ἐκ τῶν ἀριθμῶν ἐνδίδοϑ, ἀλλ' εἴπερ ὅλως συμβάλλεταί τι τοῖς πράγμασιν, ὁ ἀριθμὸς τὸ ποσόν ἐςι τῆς ὕλης, ἀποχρῆϑ δὴ τοῖς Ἐμπεδοκλεῖ περὶ συςάσεως τῶν ὀςῶν ῥηθεῖσι·

"τὰς δύο τῶν ὀκτὼ μερέων λάχε Νήςιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίςοιο, τὰ δ' ὀςέα λευκ' ἐγένοντο".

φησὶ δὲ πάντα ἀριθμὸν ἐν ὑποκειμένῳ εἶναι, ἢ ἐν μονάσιν ἢ ἐν ξηροῖς ἢ ἐν ὑγροῖς σώμασι, τὸ δὲ τῆς μίξεως αἴτιον λόγον εἶναι ϗ οὐκ ἀριθμόν. γελοῖον δὴ πρὸς ἐκείνους ἀποτεινόμενον τοὺς ἄνδρας λαβεῖν ὅτι πᾶς ἀριθμὸς τινῶν ἐςι ϗ ὑποκειμένου δεῖϑ, ϗ πάλιν ὅτι ὁ λόγος ὁ τῆς μίξεως αἴτιος οὐκ ἔςιν ἀριθμός, ἐκείνων ϗ ἄλλους ἀριθμοὺς ὑποτιθεμένων ϗ τοὺς τῆς φύσεως ἀριθμοὺς αἰτίους ἀποφαινομένων εἶναι πάσης τῆς ἐν τοῖς αἰϑητοῖς ἐναρμονίου μίξεως. τίς ἂν οὖν ἕτερος τὸ ἐν ἀρχῇ μᾶλλον — οὐκ αἰτήσειεν ἀλλὰ προσαρπάσειεν, οὐκ εὔπορον εἰπεῖν. "Ὅτε 1092b 23.
οὖν . . . ἕνεκα". τεττάρων ὄντων αἰτίων, οὐδὲν τούτων εἶναί φησι τὸν ἀριθμόν· ὅτε γὰρ ὡς τὸ σπέρμα ποιητικὴν ἔχει δύνα-

1 ἐν inserui cf. p. 935 b 11. ‖ 2 διά τι τὴν (*A*)*H*. ‖ 3 fort. παρυσίαν. ‖ 5 τε post συνθ. om (*A*). ‖ 8 παρεσκευάζοντο (*A*). ‖ μηδ' — μηδ' libri. ‖ 9 κρατεῖ *H*. ‖ κοσμεῖται *Hβ* μιμεῖται *A*. ‖ 10 ἐπιςήμαις] num ἐπικρατείαις? cf. p. 940 a 20. ‖ 12 οἱ] εἰ *H*. ‖ καὶ θνητὰ libri: interposui τὰ, ut τῇ ἑ. φύσει ad uerba referri posset. ‖ 13 *qui . . . reiiciunt et renuunt β*. ‖ 14 ὀρθῶν (*A*)*H*. ‖ 15 sq. cf. p. 859 b 3 sqq. ‖ ἐπιτιμῆται (*A*). ‖ 16 ὡς τὸ] ὥςε *A* ὡς ὅτε *CH*. correxi cum *β*, item Bon. ‖ μίγμα *BH*. ‖ 19 αὐτοῦ τῆς ὅλης θεολ. *H*. ‖ 20 τοῦ ἀνδρὸς *A*. ‖ ἀλλά ἐςι μὲν τὸ *A*. ‖ πλῆθος (*A*). ‖ 21 γεννητικόν (*A*)*H*. ‖ 23 *nam ex utruque parte β*. ‖ 24 ὁ μὲν et οὐδὲ *BH*: correxi cum *β* et Bonitzio. ‖ 25 περὶ τῶν *BH*: inserui τῆς, item Bonitzins. ‖ 26 ὅτε . . . 31 $\overline{\eta}$] uestigia deprehendas Alexandri p. 805, 17—30. ‖ 28 τοῦ δὲ μὲν (*A*). ‖ τοῦ ante φυτοῦ om (*A*)*H*. ‖ 29 ἔλεγον *H*. ‖ τοῦδε δὲ cum *β* edidit Brandisius: τοῦδε *BH*. ‖ 30 τὸν $\overline{\varsigma}$ edidit Brandisius: τὸν om *BH*. ‖ τὸ $\overline{\theta}$· τοῦ κύβου τὸ $\overline{\eta}$· ὡς θ' ὡς ἕτεροι *H*. ‖ τὸν ante $\overline{\eta}$ om (*A*). ‖ 32 συμφωνίαι εἰσίν] *sunt quaedam consonantiae β*.

